τὸν Κλεῖτον αὐτῷ συνηγορεῖν, δυστυχίαν ἀποφαίνοντα τὴν δειλίαν, ἐπαναστὰς ὁ Κλεῖτος· «Αὕτη μέντοι σε (εἶπεν) ἡ δειλία » τὸν ἐκ θεῶν, ἤδη τῷ Σπιθριδάτου ξίφει τὸ νῶτον ἐκτρέποντα » περιεποίησε· καὶ τῷ Μακεδόνων αἵματι καὶ τοῖς τραύμασι τού- » τοις ἐγένου τηλικοῦτος, ὥς' Ἄμμωνι σαυτὸν εἰσποιεῖν ἀπει- » πάμενος Φίλιππον».

ΝΑ. Παροξυνθεὶς οὖν ὁ Ἀλέξανδρος· «Ἦ ταῦτ' (εἶπεν), ὦ » κακὴ κεφαλὴ, σὺ περὶ ἡμῶν ἑκάστοτε λέγων, καὶ διαστασιάζων » Μακεδόνας, χαιρήσειν νομίζεις»; «Ἀλλ' οὐδὲ νῦν (ἔφη) χαίρο- » μεν, Ἀλέξανδρε, τοιαῦτα τέλη τῶν πόνων κομιζόμενοι· μακα- » ρίζομεν δὲ τοὺς ἤδη τεθνηκότας, πρὶν ἐπιδεῖν Μηδικαῖς ῥάβδοις » ξαινομένους Μακεδόνας, καὶ Περσῶν δεομένους, ἵνα τῷ βα- » σιλεῖ προσέλθωμεν». Τοιαῦτα τοῦ Κλείτου παῤῥησιαζομένου, καὶ τῶν περὶ Ἀλέξανδρον ἀντανισταμένων καὶ λοιδορούντων αὐτὸν, οἱ πρεσβύτεροι κατέχειν ἐπειρῶντο τὸν θόρυβον. Ὁ δ' Ἀλέξανδρος, ἀποστραφεὶς πρὸς Ξενόδοχον τὸν Καρδιανὸν καὶ τὸν Κολοφώνιον Ἀρτέμιον· «Οὐ δοκοῦσιν (εἶπεν) ὑμῖν οἱ Ἕλληνες ἐν » τοῖς Μακεδόσιν, ὥσπερ ἐν θηρίοις, ἡμίθεοι περιπατεῖν»; Τοῦ δὲ Κλείτου μὴ εἴκοντος, ἀλλ' εἰς μέσον, ἃ βούλεται, λέγειν τὸν Ἀλέξανδρον κελεύοντος, ἢ μὴ καλεῖν ἐπὶ δεῖπνον ἄνδρας ἐλευθέρους, καὶ παῤῥησίαν ἔχοντας, ἀλλὰ μετὰ βαρβάρων ζῆν καὶ ἀνδραπόδων, οἳ τὴν Περσικὴν ζώνην καὶ τὸν διάλευκον αὐτοῦ χιτῶνα προσκυνήσουσιν, οὐκ ἔτι φέρων τὴν ὀργὴν Ἀλέξανδρος, μήλων παρακειμένων ἑνὶ βαλὼν ἔπαισεν αὐτὸν, καὶ τὸ ἐγχειρίδιον ἐζήτει. Τῶν δὲ σωματοφυλάκων ἑνὸς, Ἀριστοφάνους, φθάσαντος ὑφελέσθαι καὶ τῶν ἄλλων περιεχόντων καὶ δεομένων ἀναπηδήσας ἐβόα Μακεδονιςὶ καλῶν τοὺς ὑπασπιστὰς (τοῦτο δ' ἦν σύμβολον θορύβου μεγάλου), καὶ τὸν σαλπιγκτὴν ἐκέλευε σημαίνειν, καὶ πὺξ ἔπαισεν, ὡς διατρίβοντα καὶ μὴ βουλόμενον. Οὗτος μὲν οὖν ὕστερον εὐδοκίμησεν, ὡς τοῦ μὴ συνταραχθῆναι

τὸ στρατόπεδον αἰτιώτατος γενόμενος. Τὸν δὲ Κλεῖτον, οὐχ ὑφιέμενον, οἱ φίλοι μόλις ἐξέωσαν τοῦ ἀνδρῶνος. Ὁ δὲ κατ' ἄλλας θύρας αὖθις εἰσῄει, μάλα ὀλιγώρως θρασέως καὶ Εὐριπίδου τὰ ἐξ Ἀνδρομάχης ἰαμβεῖα ταῦτα περαίνων,

Οἴμοι! καθ' Ἑλλάδ' ὡς κακῶς νομίζεται.

Οὕτω δὴ λαβὼν παρά τινος τῶν δορυφόρων Ἀλέξανδρος αἰχμὴν, ἀπαντῶντα τὸν Κλεῖτον αὐτῷ, καὶ παράγοντα τὸ πρὸ τῆς θύρας παρακάλυμμα, διελαύνει. Πεσόντος δὲ μετὰ στεναγμοῦ καὶ βρυχήματος, εὐθὺς ἀφῆκεν ὁ θυμὸς αὐτόν. Καὶ γενόμενος παρ' ἑαυτῷ, καὶ τοὺς φίλους ἰδὼν ἀφώνους ἑστῶτας, ἑλκύσασθαι μὲν ἐκ τοῦ νεκροῦ τὴν αἰχμὴν ἔφθασε, παῖσαι δ' ἑαυτὸν ὁρμήσας παρὰ τὸν τράχηλον ἐπεσχέθη, τῶν σωματοφυλάκων τὰς χεῖρας αὐτοῦ λαβόντων, καὶ τὸ σῶμα βίᾳ παρενεγκόντων εἰς τὸν θάλαμον.

NB. Ἐπεὶ δὲ τήν τε νύκτα κακῶς κλαίων διήνεγκε, καὶ τὴν ἐπιοῦσαν ἡμέραν, ἤδη τῷ βοᾶν καὶ θρηνεῖν ἀπειρηκὼς, ἄναυδος ἔκειτο, βαρεῖς ἀναφέρων στεναγμοὺς, δείσαντες οἱ φίλοι τὴν ἀποσιώπησιν, εἰσῆλθον βίᾳ. Καὶ τῶν μὲν ἄλλων οὐ προσίετο τοὺς λόγους· Ἀριστάνδρου δὲ τοῦ μάντεως ὑπομιμνήσκοντος αὐτὸν τήν τ' ὄψιν, ἣν εἶδε περὶ τοῦ Κλείτου, καὶ τὸ σημεῖον, ὡς δὴ πάλαι καθειμαρμένων τούτων, ἔδοξεν ἐνδιδόναι. Διὸ Καλλισθένη τε τὸν φιλόσοφον παρεισήγαγον, Ἀριστοτέλους οἰκεῖον ὄντα, καὶ τὸν Ἀβδηρίτην Ἀνάξαρχον. Ὧν Καλλισθένης μὲν ἠθικῶς ἐπειρᾶτο καὶ πρᾴως, ὑποδυόμενος τῷ λόγῳ καὶ περιιὼν ἀλύπως, λαβέσθαι τοῦ πάθους. Ὁ δ' Ἀνάξαρχος, ἰδίαν τινὰ πορευόμενος ἐξ ἀρχῆς ὁδὸν ἐν φιλοσοφίᾳ, καὶ δόξαν εἰληφὼς ὑπεροψίας καὶ ὀλιγωρίας τῶν συνήθων, εὐθὺς εἰσελθὼν ἀνεβόησεν· « Οὗτός ἐστιν Ἀλέξανδρος, εἰς ὃν ἡ οἰκουμένη νῦν » ἀποβλέπει· ὁ δ' ἔρριπται κλαίων, ὥσπερ ἀνδράποδον, ἀνθρώ» πων νόμον καὶ ψόγον δεδοικὼς, οἷς αὐτὸν προσήκει νόμον

εἶναι, καὶ ὅρον τῶν δικαίων, ἐπείπερ ἄρχειν καὶ κρατεῖν νενίκηκεν, ἀλλὰ μὴ δουλεύειν ὑπὸ κενῆς δόξης κεκρατημένον. « Οὐκ » οἶσθα (εἶπεν), ὅτι τὴν Δίκην ἔχει πάρεδρον ὁ Ζεὺς, καὶ τὴν » Θέμιν· ἵνα πᾶν τὸ πραχθὲν ὑπὸ τοῦ κρατοῦντος θεμιτὸν ᾖ καὶ » δίκαιον »; Τοιούτοις τισὶ λόγοις χρησάμενος ὁ Ἀνάξαρχος, τὸ μὲν πάθος ἐκούφισε τοῦ βασιλέως, τὸ δ' ἦθος εἰς πολλὰ χαυνότερον καὶ παρανομώτερον ἐποίησεν· αὐτὸν δὲ δαιμονίως ἐνήρμοσε, καὶ τοῦ Καλλισθένους τὴν ὁμιλίαν, οὐδ' ἄλλως ἐπίχαριν διὰ τὸ αὐστηρὸν οὖσαν, προσδιέβαλε. Λέγεται δέ ποτε παρὰ δεῖπνον ὑπὲρ ὡρῶν καὶ κράσεως τοῦ περιέχοντος λόγων ὄντων τὸν Καλλισθένη, μετέχοντα δόξης τοῖς λέγουσι τἀκεῖ μᾶλλον εἶναι ψυχρὰ καὶ δυσχείμερα τῶν Ἑλληνικῶν, ἐναντιουμένου τοῦ Ἀναξάρχου καὶ φιλονεικοῦντος, εἰπεῖν· « Ἀλλὰ μὴν ἀνάγκη σοι » ταῦτ' ἐκείνων ὁμολογεῖν ψυχρότερα· σὺ γὰρ ἐκεῖ μὲν ἐν τρίβωνι » διεχείμαζες, ἐνταῦθα δὲ τρεῖς ἐπιβεβλημένος δάπιδας κατά» κεισαι ». Τὸν μὲν οὖν Ἀνάξαρχον καὶ τοῦτο προσπαρώξυνε.

ΝΓ. Τοὺς δ' ἄλλους σοφιστὰς καὶ κόλακας ὁ Καλλισθένης ἐλύπει, σπουδαζόμενος μὲν ὑπὸ τῶν νέων διὰ τὸν λόγον, οὐχ ἧττον δὲ τοῖς πρεσβυτέροις ἀρέσκων διὰ τὸν βίον, εὔτακτον ὄντα καὶ σεμνὸν καὶ αὐτάρκη, καὶ βεβαιοῦντα τὴν λεγομένην τῆς ἀποδημίας πρόφασιν· ὅτι, τοὺς πολίτας καταγαγεῖν καὶ κατοικίσαι πάλιν τὴν πατρίδα φιλοτιμούμενος, ἀνέβη πρὸς Ἀλέξανδρον. Φθονούμενος δὲ διὰ τὴν δόξαν, ἔστιν ἃ καὶ καθ' αὑτοῦ τοῖς διαβάλλουσι παρεῖχε, τάς τε κλήσεις τὰ πολλὰ διωθούμενος, ἔν δὲ τῷ συνεῖναι, βαρύτητι καὶ σιωπῇ δοκῶν οὐκ ἐπαινεῖν, οὐδ' ἀρέσκεσθαι τοῖς γινομένοις· ὥστε καὶ τὸν Ἀλέξανδρον εἰπεῖν ἐπ' αὐτῷ·

Μισῶ σοφιστὴν, ὅστις οὐχ αὑτῷ σοφός.

Λέγεται δέ ποτε, πολλῶν παρακεκλημένων ἐπὶ τὸ δεῖπνον, ἐπαινέσαι κελευσθεὶς ἐπὶ τοῦ ποτηρίου Μακεδόνας ὁ Καλλισθένης,

οὕτως εὐροῆσαι πρὸς τὴν ὑπόθεσιν, ὥς ἀνισαμένους κροτεῖν καὶ βάλλειν τοὺς ςεφάνους ἐπ' αὐτόν· εἰπεῖν οὖν τὸν Ἀλέξανδρον, ὅτι, κατ' Εὐριπίδην, τὸν λαβόντα τῶν λόγων

Καλὰς ἀφορμὰς, οὐ μέγ' ἔργον εὖ λέγειν·

» Ἀλλ' ἔνδειξαι (φάναι) τὴν σαυτοῦ δύναμιν ἡμῖν, κατηγορήσας » Μακεδόνων, ἵνα καὶ βελτίους γένωνται μαθόντες, ἃ πλημμε- » λοῦσιν». Οὕτω δὴ τὸν ἄνδρα, πρὸς τὴν παλινῳδίαν τραπόμενον, πολλὰ παῤῥησιάσασθαι κατὰ τῶν Μακεδόνων, καὶ, τὴν Ἑλληνικὴν ςάσιν αἰτίαν ἀποφήναντα τῆς γενομένης περὶ Φίλιππον αὐξήσεως καὶ δυνάμεως, εἰπεῖν·

Ἐν δὲ διχοστασίῃ καὶ ὁ πάγκακος ἔλλαχε τιμῆς.

Ἐφ' ᾧ πικρὸν καὶ βαρὺ ἐγγενέσθαι μῖσος τοῖς Μακεδόσι· καὶ τὸν Ἀλέξανδρον εἰπεῖν, ὡς « Οὐ τῆς δεινότητος ὁ Καλλισθένης, » ἀλλὰ τῆς δυσμενείας, Μακεδόσιν ἀπόδειξιν δέδωκε ».

ΝΔ. Ταῦτα μὲν οὖν ὁ Ἕρμιππός φησι τὸν ἀναγνώςην τοῦ Καλλισθένους, Στροῖβον, Ἀριςοτέλει διηγεῖσθαι· τὸν δὲ Καλλισθένη, συνέντα τὴν ἀλλοτριότητα τοῦ βασιλέως, δὶς, ἢ τρὶς, ἐπανιόντα πρὸς αὐτὸν εἰπεῖν·

Κάτθανε καὶ Πάτροκλος, ὅπερ σέο πολλὸν ἀμείνων.

Οὐ φαύλως οὖν εἰπεῖν ἔοικεν ὁ Ἀριςοτέλης, ὅτι Καλλισθένης λόγῳ μὲν ἦν δυνατὸς καὶ μέγας, νοῦν δ' οὐκ εἶχεν. Ἀλλὰ τήν γε προσκύνησιν ἰσχυρῶς ἀπωσάμενος καὶ φιλοσόφως, καὶ μόνος ἐν φανερῷ διελθὼν, ἃ κρύφα πάντες οἱ βέλτιςοι καὶ πρεσβύτατοι τῶν Μακεδόνων ἠγανάκτουν, τοὺς μὲν Ἕλληνας αἰσχύνης ἀπήλλαξε μεγάλης, καὶ μείζονος Ἀλέξανδρον, ἀποτρέψας τὴν προσκύνησιν, αὐτὸν δ' ἀπώλεσεν, ἐκβιάσασθαι δοκῶν μᾶλλον, ἢ πεῖσαι τὸν βασιλέα. Χάρης δ' ὁ Μιτυληναῖος φησὶ, τὸν Ἀλέξανδρον ἐν τῷ συμποσίῳ πιόντα φιάλην προτεῖναι τινὶ τῶν φίλων· τὸν δὲ, δεξάμενον, πρὸς ἑςίαν ἀναςῆναι, καὶ πιόντα προσκυνῆσαι πρῶτον, εἶτα φιλῆσαι τὸν Ἀλέξανδρον ἐν τῷ συμ-

ποσίῳ, καὶ κατακλιθῆναι. Πάντων δὲ τοῦτο ποιούντων ἐφεξῆς, τὸν Καλισθένη λαβόντα τὴν φιάλην, οὐ προσέχοντος τοῦ βασιλέως, ἀλλ' Ἡφαιςίωνι προσδιαλεγομένου, πιόντα προσιέναι φιλήσοντα. Δημητρίου δὲ, τοῦ προσονομαζομένου Φείδωνος, εἰπόντος· « Ὦ βασιλεῦ, μὴ φιλήσῃς· οὗτος γάρ σε μόνος οὐ προσ-» κεκύνηκε »· διακλῖναι τὸ φίλημα τὸν Ἀλέξανδρον· τὸν δὲ Καλλισθένη μέγα φθεγξάμενον εἰπεῖν· « Φιλήματι τοίνυν ἔλασσον » ἔχων ἄπειμι ».

ΝΕ. Τοιαύτης ὑπογενομένης ἀλλοτριότητος, πρῶτον μὲν Ἡφαιςίων ἐπιστεύετο, λέγων, ὅτι συνθέμενος πρὸς αὐτὸν ὁ Καλλισθένης προσκυνῆσαι, ψεύσαιτο τὴν ὁμολογίαν· ἔπειτα Λυσίμαχοι καὶ Ἄγνωνες ἐπεφύοντο, φάσκοντες περιιέναι τὸν σοφιςὴν, ὡς ἐπὶ καταλύσει τυραννίδος μέγα φρονοῦντα, και συντρέχειν πρὸς αὐτὸν τὰ μειράκια, καὶ περιέπειν, ὡς μόνον ἐλεύθερον ἐν τοσαύταις μυριάσι. Διὸ καὶ τὸν περὶ Ἑρμόλαον, ἐπιβουλευσάντων τῷ Ἀλεξάνδρῳ, καὶ φανερῶν γενομένων, ἔδοξαν ἀληθέσιν ὅμοια κατηγορεῖν οἱ διαβάλλοντες, ὡς τῷ μὲν προβαλόντι, « Πῶς ἂν ἐνδοξότατος γένοιτο ἄνθρωπος », εἶπεν, » Ἂν » ἀποκτείνῃ τὸν ἐνδοξότατον »· τὸν δ' Ἑρμόλαον ἐπὶ τὴν πρᾶξιν παροξύνων, ἐκέλευε μὴ δεδιέναι τὴν χρυσῆν κλίνην, ἀλλὰ μνημονεύειν, ὅτι καὶ νοσοῦντι καὶ τιτρωσκομένῳ πρόσεισιν ἀνθρώπῳ. Καίτοι τῶν περὶ Ἑρμόλαον οὐδεὶς, οὐδὲ διὰ τῆς ἐσχάτης ἀνάγκης, τοῦ Καλλισθένους κατεῖπεν. Ἀλλὰ καὶ Ἀλέξανδρος αὐτὸς εὐθὺς Κρατερῷ γράφων καὶ Ἀττάλῳ καὶ Ἀλκέτᾳ, φησὶ, τοὺς παῖδας βασανιζομένους ὁμολογεῖν, ὡς αὐτοὶ ταῦτα πράξειαν, ἄλλος δ' οὐδεὶς συνειδείη. Ὕςερον δὲ γράφων πρὸς Ἀντίπατρον, καὶ τὸν Καλλισθένη συνεπαιτιασάμενος· « Οἱ μὲν παῖδες, » (φησὶν) ὑπὸ τῶν Μακεδόνων κατελεύσθησαν· τὸν δὲ σοφιςὴν » ἐγὼ κολάσω, καὶ τοὺς ἐκπέμψαντας αὐτὸν, καὶ τοὺς ὑποδεχο-» μένους ταῖς πόλεσι τοὺς ἐμοὶ ἐπιβουλεύοντας », ἄντικρυς ἐν γε

Π 2

τούτοις ἀποκαλυπτόμενος πρὸς Ἀριςοτέλη· καὶ γὰρ ἐτέθραπτο Καλλισθένης παρ' αὐτῷ διὰ τὴν συγγένειαν, ἐξ Ἡροῦς γεγονὼς, ἀνεψιᾶς Ἀριστοτέλους. Ἀποθανεῖν δ' αὐτὸν οἱ μὲν ὑπ' Ἀλεξάνδρου κρεμασθέντα λέγουσιν, οἱ δ' ἐν πέδαις δεδεμένον καὶ νοσήσαντα. Χάρης δὲ, μετὰ τὴν σύλληψιν ἑπτὰ μῆνας φυλάττεσθαι δεδεμένον, ὡς ἐν τῷ συνεδρίῳ κριθείη, παρόντος Ἀριστοτέλους· ἐν αἷς δ' ἡμέραις Ἀλέξανδρος ἐν Μαλλοῖς *Ὀξυδράκαις* ἐτρώθη, περὶ τὴν Ἰνδίαν ἀποθανεῖν ὑπέρπαχυν γενόμενον καὶ φθειριάσαντα.

ΝϚ. Ταῦτα μὲν οὖν ὕστερον ἐπράχθη· Δημάρατος δ' ὁ Κορίνθιος, ἤδη πρεσβύτερος ὢν, ἐφιλοτιμήθη πρὸς Ἀλέξανδρον ἀναβῆναι· καὶ θεασάμενος αὐτὸν, εἶπε, μεγάλης ἡδονῆς ἐστερῆσθαι τοὺς Ἕλληνας, ὅσοι τεθνήκασι, πρὶν ἰδεῖν Ἀλέξανδρον ἐν τῷ Δαρείου θρόνῳ καθήμενον. Οὐ μὴν ἐπὶ πλέον γε τῆς πρὸς αὐτὸν εὐνοίας τοῦ βασιλέως ἀπέλαυσεν· ἀλλ' ἐξ ἀῤῥωστίας ἀποθανὼν ἐκηδεύθη μεγαλοπρεπῶς, καὶ τάφον ἔχωσεν ὁ ςρατὸς ἐπ' αὐτῷ, τῇ περιμέτρῳ μέγαν, ὕψος δὲ πηχῶν ὀγδοήκοντα. Τὰ δὲ λείψανα τέθριππον κεκοσμημένον λαμπρῶς ἐπὶ θάλασσαν κατεκόμισε.

ΝΖ. Μέλλων δ' ὑπερβάλλειν εἰς τὴν Ἰνδικὴν, ὡς ἑώρα πλήθει λαφύρων τὴν ςρατιὰν ἤδη βαρεῖαν καὶ δυσκίνητον οὖσαν, ἅμ' ἡμέρᾳ συνεσκευασμένων τῶν ἁμαξῶν, πρώτας μὲν ὑπέπρησε τὰς αὐτοῦ καὶ τῶν ἑταίρων· μετὰ δὲ ταύτας ἐκέλευσε καὶ ταῖς τῶν Μακεδόνων ἐνεῖναι πῦρ. Καὶ τοῦ πράγματος τὸ βούλευμα μεῖζον ἐφάνη καὶ δεινότερον, ἢ τὸ ἔργον. Ὀλίγους μὲν γὰρ ἠνίασεν, οἱ δὲ πλεῖςοι βοῇ καὶ ἀλαλαγμῷ μετ' ἐνθουσιασμοῦ, τὰ μὲν ἀναγκαῖα τοῖς δεομένοις μεταδιδόντες, τὰ δὲ περιόντα τῆς χρείας, αὐτοὶ κατακαίοντες καὶ διαφθείροντες, ὁρμῆς καὶ προθυμίας ἐνεπίμπλασαν τὸν Ἀλέξανδρον. Ἤδη δὲ καὶ φοβερὸς ἦν καὶ ἀπαραίτητος κολαστὴς τῶν πλημμελούντων.

Καὶ γὰρ Μένανδρον, τινὰ τῶν ἑταίρων, ἄρχοντα φρουρίου καταςήσας, ὡς οὐκ ἐβούλετο μένειν, ἀπέκτεινε· καὶ τῶν ἀποστάντων βαρβάρων Ὀρσοδάτην αὐτὸς κατετόξευσε. Προβάτου δὲ τεκόντος ἄρνα περὶ τῇ κεφαλῇ σχῆμα καὶ χρῶμα τιάρας ἔχοντα, καὶ διδύμους ἑκατέρωθεν αὐτοῦ, βδελυχθεὶς τὸ σημεῖον, ἐκαθάρθημὲν ὑπὸ τῶν Βαβυλωνίων, οὓς ἐξ ἔθους ἐπήγετο πρὸς τὰ τοιαῦτα· διελέχθη δὲ πρὸς τοὺς φίλους, ὡς οὐ δι' αὐτὸν, ἀλλὰ δι' ἐκείνους ταράττοιτο, μὴ τὸ κράτος εἰς ἀγεννῆ καὶ ἄναλκιν ἄνθρωπον, ἐκλιπόντος αὐτοῦ, περιςήσῃ τὸ δαιμόνιον. Οὐ μὴν ἀλλὰ βέλτιόν τι σημεῖον γενόμενον τὴν ἀθυμίαν ἔλυσεν· Ὁ γὰρ ἐπὶ τῶν ςρωματοφυλάκων τεταγμένος, ἀνὴρ Μακεδὼν, ὄνομα Πρόξενος, τῇ βασιλικῇ σκηνῇ χώραν ὀρύττων παρὰ τὸν Ὦξον ποταμὸν, ἀνεκάλυψε πηγὴν ὑγροῦ λιπαροῦ καὶ πιμελώδους· ἀπαντλουμένου δὲ τοῦ πρώτου, καθαρὸν ἀνέβλυζεν ἤδη καὶ διαυγὲς ἔλαιον, οὔτ' ὀσμῇ δοκοῦν, οὔτε γεύσει ἐλαίου διαφέρειν, ςιλβότητά τε καὶ λιπαρότητα παντάπασιν ἀπαράλλακτον· καὶ ταῦτα, τῆς χώρας μηδ' ἐλαίας φερούσης. Λέγεται μὲν οὖν, καὶ τὸν Ὦξον αὐτὸν εἶναι μαλακώτατον ὕδωρ, ὥστε τὸ δέρμα τοῖς λουομένοις ἐπιλιπαίνειν. Οὐ μὴν ἀλλὰ θαυμαστῶς Ἀλέξανδρος ἡσθεὶς δῆλός ἐστιν, ἐξ ὧν γράφει πρὸς Ἀντίπατρον, ἐν τοῖς μεγίστοις τοῦτο τῶν ἀπὸ τοῦ θεοῦ γεγονότων αὐτῷ τιθέμενος. Οἱ δὲ μάντεις, ἐνδόξου μὲν στρατείας, ἐπιπόνου δὲ καὶ χαλεπῆς, τὸ σημεῖον ἐποιοῦντο· πόνων γὰρ ἀρωγὴν ἔλαιον ἀνθρώποις ὑπὸ θεοῦ δεδόσθαι.

ΝΗ. Πολλοὶ μὲν οὖν κατὰ τὰς μάχας αὐτῷ κίνδυνοι συνέπεσον, καὶ τραύμασι νεανικοῖς ἀπήντησε· τὴν δὲ πλείςην φθορὰν ἀπορίαι τῶν ἀναγκαίων καὶ δυσκρασίαι τοῦ περιέχοντος ἀπειργάσαντο τῆς στρατιᾶς. Αὐτὸς δὲ τόλμῃ τὴν τύχην ὑπερβαλέσθαι, καὶ τὴν δύναμιν ἀρετῇ φιλοτιμούμενος, οὐδὲν ᾤετο τοῖς θαρῥοῦσιν ἀνάλωτον, οὐδ' ὀχυρὸν εἶναι τοῖς ἀτόλμοις. Λέγεται

δὲ, τὴν Σισιμίθρου πολιορκῶν πέτραν, ἄβατον οὖσαν καὶ ἀπρόσβατον, ἀθυμούντων τῶν στρατιωτῶν, ἐρωτῆσαι τὸν Ὀξυάρτην, ποῖός τις αὐτὸς εἴη τὴν ψυχὴν ὁ Σισιμίθρης. Φήσαντος δὲ τοῦ Ὀξυάρτου, δειλότατον ἀνθρώπων· « Λέγεις σύ γε (φάναι) τὴν » πέτραν ἁλώσιμον ἡμῖν εἶναι· τὸ γὰρ ἄρχον αὐτῆς οὐκ ὀχυρόν » ἐστιν ». Ταύτην μὲν οὖν, ἐκφοβήσας τὸν Σισιμίθρην ἔλαβεν. Ἑτέρᾳ δ' ὁμοίως ἀποτόμῳ προσβάλλων, ἐν τοῖς νεωτέροις τῶν Μακεδόνων Ἀλέξανδρον τινὰ καλούμενον προσαγορεύσας· « Ἀλλὰ » σοί γε (εἶπεν) ἀνδραγαθεῖν προσήκει καὶ διὰ τὴν ἐπωνυμίαν». Ἐπεὶ δὲ λαμπρῶς ἀγωνιζόμενος ὁ νεανίας ἔπεσεν, οὐ μετρίως ἐδήχθη. Τῇ δὲ καλουμένῃ Νύσῃ τῶν Μακεδόνων ὀκνούντων προσάγειν (καὶ γὰρ ποταμὸς ἦν πρὸς αὐτῇ βαθὺς), ἐπιστάς. « Τί » γὰρ (εἶπεν) ὁ κάκιστος ἐγὼ νεῖν οὐκ ἔμαθον»; καὶ ἤδη ἔχων τὴν ἀσπίδα περᾶν ἠθέλησεν. Ἐπεὶ δὲ, καταπαύσαντος τὴν μάχην αὐτοῦ, παρῆσαν ἀπὸ τῶν πολιορκουμένων πόλεων πρέσβεις δεησόμενοι, πρῶτον μὲν, ὀφθεὶς ἀθεράπευτος ἐν τοῖς ὅπλοις, ἐξέπληξεν αὐτούς· ἔπειτα προσκεφαλαίου τινὸς αὐτῷ κομισθέντος, ἐκέλευσε λαβόντα καθίσαι τὸν πρεσβύτατον· Ἄκουφις ἐκαλεῖτο. Θαυμάσας οὖν τὴν λαμπρότητα καὶ φιλανθρωπίαν ὁ Ἄκουφις, ἠρώτα τί βούλεται ποιοῦντας αὐτοὺς ἔχειν φίλους· Φήσαντος δὲ τοῦ Ἀλεξάνδρου· « Σὲ μὲν αὐτὸν ἄρχοντα καταστήσαντας » αὐτῶν, πρὸς δ' ἡμᾶς πέμψαντας ἑκατὸν ἄνδρας τοὺς ἀρί» στους », γελάσας ὁ Ἄκουφις· « Ἀλλὰ βέλτιον (εἶπεν) ἄρξω, βασι» λεῦ, τοὺς κακίστους πρός σε πέμψας μᾶλλον, ἢ τοὺς ἀρίστους ».

ΝΘ. Ὁ δὲ Ταξίλης λέγεται μὲν τῆς Ἰνδικῆς ἔχειν μοῖραν οὐκ ἀποδέουσαν Αἰγύπτου τὸ μέγεθος, εὔβοτον δὲ καὶ καλλίκαρπον ἐν τοῖς μάλιστα· σοφὸς δέ τις ἀνὴρ εἶναι, καὶ τὸν Ἀλέξανδρον ἀσπασάμενος· « Τί δεῖ πολέμων (φάναι) καὶ μάχης ἡμῖν, » Ἀλέξανδρε, πρὸς ἀλλήλους, εἰ μήτε ὕδωρ ἀφαιρησόμενος ἡμῶν » ἀφῖξαι, μήτε τροφὴν ἀναγκαίαν, ὑπὲρ ὧν μόνων ἀνάγκη δια-

» μάχεσθαι νοῦν ἔχουσιν ἀνθρώποις; Τοῖς δ' ἄλλοις χρήμασι καὶ
» κτήμασι λεγομένοις, εἰ μὲν εἰμι κρείττων, ἕτοιμος εὖ ποιεῖν·
» εἰ δ' ἥττων, οὐ φεύγω χάριν ἔχειν εὖ παθών» Ἥσθεὶς οὖν ὁ
Ἀλέξανδρος, καὶ δεξιωσάμενος αὐτόν. « Ἦ που νομίζεις (ἔφη)
» δίχα μάχης ἔσεσθαι τὴν ἔντευξιν ἡμῖν ἀπὸ τοιούτων λόγων καὶ
» φιλοφροσύνης; Ἀλλ' οὐδὲν σοι πλέον· ἐγὼ γὰρ ἀγωνιοῦμαι πρός
» σε καὶ διαμαχοῦμαι ταῖς χάρισιν, ὥς μου χρηστὸς ὢν μὴ περι-
» γένῃ». Λαβὼν δὲ δῶρα πολλὰ, καὶ δοὺς πλείονα, τέλος χίλια
τάλαντα νομίσματος αὐτῷ προέπιεν. Ἐφ' οἷς τοὺς μὲν φίλους
ἰσχυρῶς ἐλύπησε, τῶν δὲ βαρβάρων πολλοὺς ἐποίησεν ἡμερω-
τέρως ἔχειν πρὸς αὐτόν· Ἐπεὶ δὲ τῶν Ἰνδῶν οἱ μαχιμώτατοι
μισθοφοροῦντες ἐπεφοίτων ταῖς πόλεσιν ἐῤῥωμένως ἀμύνοντες,
καὶ κατὰ πολλὰ τὸν Ἀλέξανδρον ἐκακοποίουν, σπεισάμενος ἔν
τινι πόλει πρὸς αὐτοὺς, ἀπιόντας ἐν ὁδῷ λαβὼν, ἅπαντας
ἀπέκτεινε. Καὶ τοῦτο τοῖς πολεμικοῖς ἔργοις αὐτοῦ, τἄλλα
νομίμως καὶ βασιλικῶς πολεμήσαντος, ὡς κηλὶς πρόσεστιν. Οὐκ
ἐλάσσονα δὲ τούτων οἱ φιλόσοφοι πράγματα παρέσχον αὐτῷ,
τούς τε προστιθεμένους τῶν βασιλέων κακίζοντες, καὶ τοὺς ἐλευ-
θέρους δήμους ἀφιστάντες. Διὸ καὶ τούτων πολλοὺς ἐκρέμασεν.

Ξ. Τὰ δὲ πρὸς Πῶρον αὐτὸς ἐν ταῖς ἐπιστολαῖς ὡς ἐπράχθη
γέγραφε. Φησὶ γὰρ, ἐν μέσῳ τῶν στρατοπέδων τοῦ Ὑδάσπου
ῥέοντος, ἀντιπρώρους ἱστάντα τοὺς ἐλέφαντας ἀεὶ τὸν Πῶρον
ἐπιτηρεῖν τὴν διάβασιν. Αὐτὸν μὲν οὖν καθ' ἡμέραν ἑκάστην
ψόφον ποιεῖν καὶ θόρυβον ἐν τῷ στρατοπέδῳ πολὺν, ἐθίζοντα
τοὺς βαρβάρους μὴ φοβεῖσθαι. νυκτὸς δὲ χειμερίου καὶ ἀσελή-
νου, λαβόντα τῶν πεζῶν μέρος, ἱππεῖς δὲ τοὺς κρατίστους,
καὶ προελθόντα πόῤῥω τῶν πολεμίων, διαπερᾶσαι πρὸς νῆσον
οὐ μεγάλην. Ἐνταῦθα δὲ ῥαγδαίου μὲν ἐκχυθέντος ὄμβρου,
πρηστήρων δὲ πολλῶν καὶ κεραυνῶν εἰς τὸ στρατόπεδον φερο-
μένων, ὅμως ὁρῶν ἀπολλυμένους τινὰς καὶ συμφλεγομένους

ὑπὸ τῶν κεραυνῶν, ἀπὸ τῆς νησῖδος ἄρας, προσφέρεσθαι ταῖς ἀντιπέρας ὄχθαις. Τραχὺν δὲ τὸν Ὑδάσπην ὑπὸ τοῦ χειμῶνος ἐπιόντα καὶ μετέωρον, ἔκρηγμα ποιῆσαι μέγα, καὶ πολὺ μέρος ἐκείνῃ φέρεσθαι τοῦ ῥεύματος· αὐτὸς δὲ διανήξασθαι τὸ μέσον οὐ βεβαίως, ἅτε δὴ συνολισθαῖνον καὶ περιῤῥηγνύμενον. Ἐνταῦθα δ' εἰπεῖν φασιν αὐτόν. « Ὦ Ἀθηναῖοι, ἆρά γε πιστεύσαιτ' ἂν, ἡλί» κους ὑπομένω κινδύνους ἕνεκα τῆς παρ' ὑμῖν εὐδοξίας »; Ἀλλὰ τοῦτο μὲν Ὀνησίκριτος εἴρηκεν· αὐτὸς δέ φησι, τὰς σχεδίας ἀφέντας αὐτοὺς μετὰ τῶν ὅπλων τὸ ἔκρηγμα διαβαίνειν ἄχρι μαστῶν βρεχομένους. Διαβὰς δὲ, τῶν πεζῶν εἴκοσι σταδίους προϊππεῦσαι, λογιζόμενος, εἰ μὲν οἱ πολέμιοι τοῖς ἵπποις προσβάλοιεν, πολὺ κρατήσειν· εἰ δὲ κινοῖεν τὴν φάλαγγα, φθήσεσθαι τοὺς πεζοὺς αὐτῷ προσγενομένους· θάτερον δὲ συμβῆναι. Τῶν γὰρ ἱππέων χιλίους, καὶ τῶν ἁρμάτων ἑξήκοντα συμπεσόντα τρεψάμενος, τὰ μὲν ἅρματα λαβεῖν ἅπαντα, τῶν δ' ἱππέων ἀνελεῖν τετρακοσίους. Οὕτω δὴ συμφρονήσαντα τὸν Πῶρον, ὡς αὐτὸς εἴη διαβεβηκὼς Ἀλέξανδρος, ἐπιέναι μετὰ πάσης τῆς δυνάμεως, πλὴν ὅσον ἐμποδὼν εἶναι τοῖς διαβαίνουσι τῶν Μακεδόνων ἀπέλιπε. Φοβηθεὶς δὲ τὰ θηρία καὶ τὸ πλῆθος τῶν πολεμίων, αὐτὸς μὲν ἐνσεῖσαι κατὰ θάτερον κέρας, Κοῖνον δὲ τῷ δεξιῷ προσβαλεῖν κελεῦσαι. Γενομένης δὲ τροπῆς ἑκατέρωθεν, ἀναχωρεῖν ἀεὶ πρὸς τὰ θηρία καὶ συνειλεῖσθαι τοὺς ἐκβιαζομένους. Ἕωθεν δὲ τὴν μάχην ἀναμεμιγμένην εἶναι, καὶ μόλις ὀγδόης ὥρας ἀπειπεῖν τοὺς πολεμίους· Ταῦτα μὲν οὖν ὁ τῆς μάχης ποιητὴς αὐτὸς ἐν ταῖς ἐπιστολαῖς εἴρηκεν. Οἱ δὲ πλεῖστοι τῶν συγγραφέων ὁμολογοῦσι, τὸν Πῶρον ὑπεραίροντα τεσσάρων πηχῶν σπιθαμῇ τὸ μῆκος, ἱππότου μηδὲν ἀποδεῖν πρὸς τὸν ἐλέφαντα συμμετρίᾳ, διὰ τὸ μέγεθος καὶ τὸν ὄγκον τοῦ σώματος· καίτοι μέγιστος ἦν ὁ ἐλέφας. Σύνεσιν δὲ θαυμαστὴν ἐπεδείξατο καὶ κηδεμονίαν τοῦ βασιλέως, ἐῤῥωμένου μὲν ἔτι,

θυμῷ τοὺς προσμαχομένους ἀμυνόμενος καὶ ἀνακόπτων· ὡς δ' ᾔσθετο βελῶν πλήθει καὶ τραυμάτων κάμνοντα, δείσας, μὴ περιῤῥυῇ, τοῖς μὲν γόνασιν, εἰς γῆν ὑφῆκε πράως ἑαυτὸν, τῇ δὲ προνομαίᾳ λαμβάνων ἀτρέμα τῶν δορατίων ἕκαστον, ἐξῄρει τοῦ σώματος. Ἐπεὶ δὲ ληφθέντα τὸν Πῶρον ὁ Ἀλέξανδρος ἠρώτα, πῶς αὐτῷ χρήσεται; «Βασιλικῶς», εἶπε· προσπυθομένου δὲ, μή τι ἄλλο λέγει, «Πάντα (εἶπεν) ἐστὶν ἐν τῷ βασιλικῶς». Οὐ μόνον οὖν ἀφῆκεν αὐτὸν ἄρχειν, ὧν ἐβασίλευε, σατράπην καλούμενον, ἀλλὰ καὶ προσέθηκε χώραν, *καὶ* τοὺς αὐτονόμους καταστρεψάμενος, ἐν ᾗ πεντεκαίδεκα μὲν ἔθνη, πόλεις δὲ πεντακισχιλίας ἀξιολόγους, κώμας δὲ παμπόλλας εἶναι φασίν· ἄλλην δὲ τρὶς τοσαύτην, ἧς Φίλιππον, τινὰ τῶν ἑταίρων, σατράπην ἀπέδειξεν.

ΞΑ. Ἐκ δὲ τῆς πρὸς Πῶρον μάχης καὶ ὁ Βουκεφάλας ἐτελεύτησεν, οὐκ εὐθὺς, ἀλλ' ὕστερον, ὡς οἱ πλεῖστοι λέγουσιν, ὑπὸ τραυμάτων θεραπευόμενος· ὡς δ' Ὀνησίκριτος, διὰ γῆρας ὑπέρπονος γενόμενος· τριάκοντα γὰρ ἐτῶν ἀποθανεῖν αὐτόν. Ἐδήχθη δ' ἰσχυρῶς Ἀλέξανδρος, οὐδὲν ἄλλο, ἢ συνήθη καὶ φίλον, ἀποβεβληκέναι νομίζων· καὶ πόλιν οἰκίσας ἐπ' αὐτῷ παρὰ τὸν Ὑδάσπην, Βουκεφαλίαν προσηγόρευσε. Λέγεται δὲ καὶ κύνα, Περίταν ὄνομα, τεθραμμένον ὑπ' αὐτοῦ καὶ στεργόμενον ἀποβαλὼν κτίσαι πόλιν ἐπώνυμον· Τοῦτο δὲ Σωτίων φησὶ Ποτάμωνος ἀκοῦσαι τοῦ Λεσβίου.

ΞΒ. Τοὺς μέν τοι Μακεδόνας ὁ πρὸς Πῶρον ἀγὼν ἀμβλυτέρους ἐποίησε, καὶ τοῦ πρόσω τῆς Ἰνδικῆς ἔτι προελθεῖν ἐπέσχε. Μόλις γὰρ ἐκεῖνον ὠσάμενοι, δισμυρίοις πεζοῖς καὶ δισχιλίοις ἱππεῦσι παραταξάμενον, ἀντέστησαν ἰσχυρῶς Ἀλεξάνδρῳ βιαζομένῳ καὶ τὸν Γάγγην περάσαι ποταμὸν, εὖρος μὲν αὐτοῦ δύο καὶ τριάκοντα σταδίων εἶναι πυνθανόμενοι, καὶ βάθος ὀργυιὰς ἑκατόν· ἀντιπέρας δὲ τὰς ὄχθας ἀποκεκρύφθαι πλήθεσιν ὅπλων

καὶ ἵππων καὶ ἐλεφάντων. Ἐλέγοντο γὰρ ὀκτὼ μὲν μυριάδας ἱπποτῶν, εἴκοσι δὲ πεζῶν, ἅρματα δ' ὀκτακισχίλια, καὶ μαχίμους ἐλέφαντας ἑξακισχιλίους ἔχοντες οἱ Γανδαριτῶν καὶ Πραισίων βασιλεῖς ὑπομένειν. Καὶ κόμπος οὐκ ἦν περὶ ταῦτα. Ἀνδρόκοττος γὰρ ὕςερον οὐ πολλῷ βασιλεύσας, Σελεύκῳ πεντακοσίους ἐλέφαντας ἐδωρήσατο, καὶ στρατοῦ μυριάσιν ἑξήκοντα τὴν Ἰνδικὴν ἐπῆλθεν ἅπασαν καταστρεφόμενος. Τὸ μὲν οὖν πρῶτον ὑπὸ δυσθυμίας καὶ ὀργῆς αὑτὸν εἰς τὴν σκηνὴν καθείρξας ἔκειτο, χάριν οὐδεμίαν εἰδὼς τοῖς διαπεπραγμένοις, εἰ μὴ περάσειε τὸν Γάγγην, ἀλλ' ἐξομολόγησιν ἥττης τιθέμενος τὴν ἀναχώρησιν. Ὡς δ' οἵ τε φίλοι τὰ εἰκότα παρηγοροῦντες αὐτὸν, οἵ τε στρατιῶται κλαυθμῷ καὶ βοῇ προσιστάμενοι ταῖς θύραις ἱκέτευον, ἐπικλασθεὶς ἀνεζεύγνυε, πολλὰ πρὸς δόξαν ἀπατηλὰ καὶ σοφιςικὰ μηχανώμενος. Καὶ γὰρ ὅπλα μείζονα καὶ φάτνας ἵππων καὶ χαλινοὺς βαρυτέρους κατασκευάσας, ἀπέλιπε τε καὶ διέρριψεν. Ἱδρύσατο δὲ βωμοὺς θεῶν, οὓς μέχρι νῦν οἱ Πραισίων βασιλεῖς διαβαίνοντες σέβονται, καὶ θύουσιν Ἑλληνικὰς θυσίας. Ἀνδρόκοττος δὲ, μειράκιον ὢν, αὐτὸν Ἀλέξανδρον εἶδε, καὶ λέγεται πολλάκις εἰπεῖν ὕστερον, ὡς παρ' οὐδὲν ἦλθε τὰ πράγματα λαβεῖν Ἀλέξανδρος, μισουμένου τε καὶ καταφρονουμένου τοῦ βασιλέως διὰ μοχθηρίαν καὶ δυσγένειαν.

ΞΓ. Ἐντεῦθεν ὁρμήσας Ἀλέξανδρος τὴν ἔξω θάλασσαν ἐπιδεῖν, καὶ πολλὰ πορθμεῖα κωπήρη καὶ σχεδίας πηξάμενος, ἐκομίζετο τοῖς ποταμοῖς ὑποφερόμενος σχολαίως. Ὁ δὲ πλοῦς οὐκ ἀργὸς ἦν, οὐδ' ἀπόλεμος. προσβάλλων δὲ ταῖς πόλεσι καὶ ἀποβαίνων ἐχειροῦτο πάντα. Πρὸς δὲ τοῖς καλουμένοις Μαλλοῖς, οὕς φασιν Ἰνδῶν μαχιμωτάτους γενέσθαι, μικρὸν ἐδέησε κατακοπῆναι. Τοὺς μὲν γὰρ ἀνθρώπους βέλεσιν ἀπὸ τῶν τειχῶν ἀπεσκέδασε· πρῶτος δὲ διὰ κλίμακος τεθείσης ἀναβὰς ἐπὶ τὸ τεῖχος, ὡς ἥ τε κλίμαξ συνετρίβη, καὶ, τῶν βαρβάρων ὑφ-

ςαμένων παρὰ τὸ τεῖχος, ἐλάμβανε πληγὰς κάτωθεν, ὀλιγοςὸς ὢν, συςρέψας ἑαυτὸν εἰς μέσους ἀφῆκε τοὺς πολεμίους, καὶ κατὰ τύχην ὀρθὸς ἔςη. Τιναξαμένου δὲ τοῖς ὅπλοις, ἔδοξαν οἱ βάρβαροι σέλας τι καὶ φάσμα πρὸ τοῦ σώματος φέρεσθαι. Διὸ καὶ τὸ πρῶτον ἔφυγον καὶ διεσκεδάσθησαν· ὡς δ᾽ εἶδον αὐτὸν μετὰ δυεῖν ὑπασπιςῶν, ἐπιδραμόντες, οἱ μὲν ἐκ χειρὸς ξίφεσι καὶ δόρασι διὰ τῶν ὅπλων συνετίτρωσκον ἀμυνόμενον. εἷς δὲ μικρὸν ἀπωτέρω ςὰς, ἐφῆκεν ἀπὸ τόξου βέλος οὕτως εὔτονον καὶ βίαιον, ὥςε τὸν θώρακα διακόψαν ἐμπαγῆναι τοῖς περὶ τὸν μασθὸν ὀςέοις. Πρὸς δὲ τὴν πληγὴν ἐνδόντος αὐτοῦ, καὶ τὸ σῶμα κάμψαντος, ὁ μὲν βαλὼν ἐπέδραμε, σπασάμενος βαρβαρικὴν μάχαιραν. Πευκέςας δὲ καὶ Λιμναῖος προέστησαν· ὧν πληγέντων ἑκατέρων, ὁ μὲν ἀπέθανε, Πευκέςας δ᾽ ἀντεῖχε. Τὸν δὲ βάρβαρον Ἀλέξανδρος ἀπέκτεινεν. Αὐτὸς δὲ τραύματα πολλὰ λαμβάνων, τέλος δὲ πληγεὶς ὑπέρῳ κατὰ τοῦ τραχήλου, προσείρησε τῷ τείχει τὸ σῶμα, βλέπων πρὸς τοὺς πολεμίους. Ἐν τούτῳ δὲ τῶν Μακεδόνων περιχυθέντων, ἁρπασθεὶς, ἀναίσθητος ἤδη τῶν περὶ αὐτὸν ἐπὶ σκηνῆς ἐκομίζετο. Καὶ παραυτίκα μὲν ὡς τεθνεῶτος ἦν λόγος ἐν τῷ ςρατοπέδῳ· χαλεπῶς δὲ καὶ πολυπόνως τὸν οἶςὸν ἐκπρισάντων, ξύλινον ὄντα, καὶ τοῦ θώρακος οὕτω μόλις ἀπολυθέντος, περὶ τὴν ἐκκοπὴν ἐγίνοντο, τῆς ἀκίδος ἐνδεδυκυίας ἑνὶ τῶν ὀςέων. Λέγεται δὲ τὸ μὲν πλάτος τριῶν δακτύλων εἶναι, τὸ δὲ μῆκος τεσσάρων. Διὸ ταῖς λειποθυμίαις ἔγγιςα θανάτου συνελαυνόμενος ἐξαιρουμένης αὐτῆς, ὅμως ἀνέλαβε. Καὶ διαφυγὼν τὸν κίνδυνον, ἔτι δ᾽ ἀσθενὴς ὢν, καὶ πολὺν χρόνον ἐν διαίτῃ καὶ θεραπείαις ἔχων αὐτὸν, ἔξω θορυβοῦντας ὡς ᾔσθετο, ποθοῦντας αὐτὸν ἰδεῖν, τοὺς Μακεδόνας, λαβὼν ἱμάτιον προῆλθε, καὶ θύσας τοῖς θεοῖς, αὖθις ἀνήχθη, καὶ παρεκομίζετο χώραν τε πολλὴν καὶ πόλεις μεγάλας καταςρεφόμενος.

ΞΔ. Τῶν δὲ Γυμνοσοφιςῶν τοὺς μάλιςα τὸν Σάββαν ἀναπείσαντας ἀποςῆναι, καὶ κακὰ πλεῖςα τοῖς Μακεδόσι παρασχόντας, λαβὼν δέκα, δεινοὺς δοκοῦντας εἶναι περὶ τὰς ἀποκρίσεις καὶ βραχυλόγους, ἐρωτήματα προὔγραφεν αὐτοῖς ἄπορα· φήσας, ἀποκτενεῖν τὸν μὴ ὀρθῶς ἀποκρινάμενον πρῶτον, εἶτ' ἐφεξῆς οὕτω τοὺς ἄλλους. Ἕνα δὲ τὸν πρεσβύτατον ἐκέλευσε κρίνειν. Ὁ μὲν οὖν πρῶτος ἐρωτηθεὶς, Πότερον οἴεται τοὺς ζῶντας εἶναι πλείονας, ἢ τοὺς τεθνηκότας; ἔφη, Τοὺς ζῶντας· οὐκ ἔτι γὰρ εἶναι τοὺς τεθνηκότας. Ὁ δὲ δεύτερος, Πότερον τὴν γῆν, ἢ τὴν θάλατταν, μείζονα τρέφειν θηρία; Τὴν γῆν· ταύτης γὰρ ἔφη μέρος εἶναι τὴν θάλατταν. Ὁ δὲ τρίτος, Ποῖον ἐςὶ ζῶον πανουργότατον; Ὃ μέχρι τοῦ νῦν, εἶπεν, ἄνθρωπος οὐκ ἔγνωκεν. Ὁ δὲ τέταρτος ἀνακρινόμενος, Τίνι λογισμῷ τὸν Σάββαν ἀπέςησεν; ἀπεκρίνατο, καλῶς ζῆν βουλόμενος αὐτὸν, ἢ καλῶς ἀποθανεῖν. Ὁ δὲ πέμπτος ἐρωτηθεὶς, Πότερον οἴεται τὴν ἡμέραν, ἢ τὴν νύκτα, προτέραν γεγονέναι; Τὴν ἡμέραν, εἶπεν, ἡμέρᾳ μιᾷ· καὶ προσεῖπεν οὗτος, θαυμάσαντος τοῦ βασιλέως, ὅτι τῶν ἀπόρων ἐρωτήσεων ἀνάγκη καὶ τὰς ἀποκρίσεις ἀπόρους εἶναι. Μεταλαβὼν οὖν, τὸν ἕκτον ἠρώτα, Πῶς ἄν τις φιληθείη μάλιςα; Ἂν κράτιςος ὢν, ἔφη, μὴ φοβερὸς ᾖ. Τῶν δὲ λοιπῶν, ὁ μὲν ἐρωτηθεὶς, Πῶς ἄν τις ἐξ ἀνθρώπων γένοιτο θεός; Εἴ τι πράξειεν, εἶπεν, ὃ πρᾶξαι δυνατὸν ἀνθρώπῳ μὴ ἔστιν. ὁ δὲ, Περὶ ζωῆς καὶ θανάτου, πότερον ἰσχυρότερον, ἀπεκρίνατο, Τὴν ζωὴν, τοσαῦτα κακὰ φέρουσαν. Ὁ δὲ τελευταῖος, Μέχρι τίνος ἀνθρώπῳ καλῶς ἔχοι ζῆν; Μέχρις οὗ μὴ νομίζῃ τὸ τεθνάναι τοῦ ζῆν ἄμεινον. Οὕτω δὴ τραπόμενος πρὸς τὸν δικαστὴν, ἐκέλευσεν ἀποφαίνεσθαι. Τοῦ δ', ἕτερον ἑτέρου χεῖρον εἰρηκέναι φήσαντος· «Οὐκοῦν (ἔφη) καὶ σὺ πρῶτος ἀποθανῇ, τοιαῦτα κρίνων. Οὐκ ἄν γ' (εἶπεν), ὦ βασιλεῦ, εἰ μὴ σὺ ψεύδῃ, φήσας, πρῶτον ἀποκτενεῖν τὸν ἀποκρινάμενον κάκιςα.»

ΞΕ. Τούτους μὲν οὖν ἀφῆκε δωρησάμενος. πρὸς δὲ τοὺς ἐν δόξῃ μάλιστα καὶ καθ' ἑαυτοὺς ἐν ἡσυχίᾳ ζῶντας ἔπεμψεν Ὀνησίκριτον, ἀφικέσθαι δεόμενος πρὸς αὐτόν. Ὁ δ' Ὀνησίκριτος ἦν φιλόσοφος τῶν Διογένει τῷ Κυνικῷ συνεσχολακότων. Καί φησι, τὸν μὲν Κάλανον ὑβριστικῶς πάνυ καὶ τραχέως κελεύειν, ἀποδύντα τὸν χιτῶνα, γυμνὸν ἀκροᾶσθαι τῶν λόγων· ἄλλως δ' οὐ διαλέξεσθαι πρὸς αὐτὸν, οὐδ' εἰ παρὰ τοῦ Διὸς ἀφῖκται· τὸν δὲ Δάνδαμιν, πρᾳότερον, *καὶ* διακούσαντα περὶ Σωκράτους καὶ Πυθαγόρου καὶ Διογένους, εἰπεῖν, ὡς εὐφυεῖς μὲν αὐτῷ γεγονέναι δοκοῦσιν οἱ ἄνδρες, λίαν δὲ τοὺς νόμους αἰσχυνόμενοι βεβιωκέναι. Ἄλλοι δέ φασι, τὸν Δάνδαμιν οὐδὲν εἰπεῖν, ἀλλ' ἢ τοσοῦτον μόνον, « Τίνος χάριν ὁ Ἀλέξανδρος ὁδὸν τοσαύτην « δεῦρ' ἦλθε » ; Τὸν μέντοι Κάλανον ἔπεισεν ὁ Ταξίλης ἐλθεῖν πρὸς Ἀλέξανδρον. Ἐκαλεῖτο δὲ Σφίνης· Ἐπεὶ δὲ κατ' Ἰνδικὴν γλῶτταν τῷ Καλὲ προσαγορεύων, ἀντὶ τοῦ Χαίρειν, τοὺς ἐντυγχάνοντας ἠσπάζετο, Κάλανος ὑπὸ τῶν Ἑλλήνων ὠνομάσθη. Τοῦτον δὲ λέγεται καὶ τὸ παράδειγμα τῆς ἀρχῆς τῷ Ἀλεξάνδρῳ προθέσθαι. Καταβαλὼν γὰρ ἐν μέσῳ βύρσαν τινὰ ξηρὰν καὶ κατεσκληκυῖαν, ἐπάτησε τὸ ἄκρον· ἡ δ', εἰς ἓν πιεσθεῖσα, τοῖς ἄλλοις ἐπήρθη μέρεσι. Καὶ τοῦτο, περιιὼν ἐν κύκλῳ καὶ πιέζων, καθ' ἕκαστον ἐδείκνυε γιγνόμενον, ἄχρις οὗ τὸ μέσον ἐπιστὰς κατέσχε, καὶ πάντα οὕτως ἠρέμησεν. Ἐβούλετο δ' ἡ εἰκὼν ἔνδειξις εἶναι τοῦ τὰ μέσα δεῖν μάλιστα τῆς ἀρχῆς πιέζειν, καὶ μὴ μακρὰν ἀποπλανᾶσθαι τὸν Ἀλέξανδρον.

ΞϚ. Ἡ δὲ διὰ τῶν ποταμῶν πρὸς τὴν θάλατταν ὑπαγωγὴ μηνῶν ἑπτὰ χρόνον ἀνήλωσεν. Ἐμβαλὼν δὲ ταῖς ναυσὶν εἰς τὸν Ὠκεανὸν ἀνέπλευσε πρὸς νῆσον, ἣν Σκιλλοῦστιν αὐτὸς ὠνόμασεν, ἕτεροι δὲ Ψιλτοῦκιν. Ἐνταῦθα δ' ἀποβὰς, ἔθυε τοῖς θεοῖς, καὶ τὴν φύσιν ἐπεῖδε τοῦ πελάγους καὶ τῆς παραλίας, ὅσον ἐφικτὸν ἦν. Εἶτ' ἐπευξάμενος μηδένα μετ' αὐτὸν ἀνθρώ-

πων ὑπερβῆναι τοὺς ὅρους τῆς ςρατείας, ἀνέστρεφε. Καὶ τὰς μὲν ναῦς ἐκέλευσε περιπλεῖν, ἐν δεξιᾷ τὴν Ἰνδικὴν ἐχούσας, ἡγεμόνα μὲν Νέαρχον ἀποδείξας, ἀρχικυβερνήτην δ' Ὀνησίκριτον. Αὐτὸς δὲ πεζῇ δι' Ὠρειτῶν πορευόμενος, εἰς ἐσχάτην ἀπορίαν προήχθη, καὶ πλῆθος ἀνθρώπων ἀπώλεσεν, ὥστε τῆς μαχίμου δυνάμεως μηδὲ τὸ τέταρτον ἐκ τῆς Ἰνδικῆς ἀπαγαγεῖν. Καίτοι δώδεκα μὲν μυριάδες ἦσαν οἱ πεζοί, τὸ δ' ἱππικὸν εἰς μυρίους καὶ πεντακισχιλίους. Ἀλλὰ καὶ νόσοι χαλεπαί, καὶ δίαιται πονηραί, καὶ καύματα ξηρά, καὶ πλείςους ὁ λιμὸς διέφθειρεν, ἄσπορον χώραν ἐπιόντας ἀνθρώπων κακοβίων, ὀλίγα καὶ ἀγεννῆ πρόβατα κεκτημένων, ἃ τοὺς θαλαττίους ἰχθύας εἰθισμένα προσφέρεσθαι, σάρκα μοχθηρὰν εἶχε καὶ δυσώδη. Μόλις οὖν ἐν ἡμέραις ἑξήκοντα ταύτην διελθὼν, καὶ τῆς Γεδρωσίας ἁψάμενος, εὐθὺς ἐν ἀφθόνοις ἦν πᾶσι, τῶν ἔγγιστα σατραπῶν καὶ βασιλέων παρασκευασάντων.

ΞΖ. Ἀναλαβὼν οὖν ἐνταῦθα τὴν δύναμιν, ἐξώρμησε κώμῳ χρώμενος ἐφ' ἡμέρας ἑπτὰ διὰ τῆς Καρμανίας. Αὐτὸν μὲν οὖν ἵπποι σχέδην ἐκόμιζον ὀκτὼ μετὰ τῶν ἑταίρων ὑπὲρ θυμέλης ἐν ὑψηλῷ καὶ περιφανεῖ πλαισίῳ πεπηγυίας, εὐωχούμενον συνεχῶς ἡμέρας καὶ νυκτός. Ἅμαξαι δὲ παμπληθεῖς, αἱ μὲν ἁλουργοῖς καὶ ποικίλοις περιβολαίοις, αἱ δ' ὕλης ἀεὶ προσφάτου καὶ χλωρᾶς σκιαζόμεναι κλάδοις εἵποντο, τοὺς ἄλλους ἄγουσαι φίλους καὶ ἡγεμόνας ἐςεφανωμένους καὶ πίνοντας. Εἶδες δ' ἂν οὐ πέλτην, οὐ κράνος, οὐ σάρισσαν· ἀλλὰ φιάλαις καὶ ῥυτοῖς καὶ θηρικλείοις παρὰ τὴν ὁδὸν ἅπασαν οἱ ςρατιῶται βαπτίζοντες ἐκ πίθων μεγάλων καὶ κρατήρων ἀλλήλοις προέπινον, οἱ μὲν ἐν τῷ προάγειν ἅμα καὶ βαδίζειν, οἱ δὲ κατακείμενοι. Πολλὴ δὲ μοῦσα συρίγγων καὶ αὐλῶν, ᾠδῆς τε καὶ ψαλμοῦ καὶ βακχείας γυναικῶν κατεῖχε πάντα τόπον. Τῷ δ' ἀτάκτῳ καὶ πεπλανημένῳ τῆς πορείας παρείπετο *ταῖς φιάλαις* καὶ παιδιὰ

βακχικῆς ὕβρεως, ὡς τοῦ θεοῦ παρόντος αὐτοῦ, καὶ συμπαραπέμποντος τὸν κῶμον. Ἐπεὶ δ' ἧκε τῆς Γεδρωσίας εἰς τὸ βασίλειον, αὖθις ἀνελάμβανε τὴν στρατιὰν πανηγυρίζων. Λέγεται δὲ, μεθύοντα αὐτὸν θεωρεῖν ἀγῶνας χορῶν, τὸν δ' ἐρώμενον Βαγώαν χορηγοῦντα νικῆσαι, καὶ κεκοσμημένον διὰ τοῦ θεάτρου παρελθόντα καθίσαι παρ' αὐτόν· ἰδόντας δὲ τοὺς Μακεδόνας, κροτεῖν καὶ βοᾷν, φιλῆσαι κελεύοντας, ἄχρις οὗ περιβαλὼν κατεφίλησεν.

ΞΗ. Ἐνταῦθα τῶν περὶ Νέαρχον ἀναβάντων πρὸς αὐτὸν, ἡσθεὶς καὶ διακούσας τὰ περὶ τὸν πλοῦν, ὥρμησεν αὐτὸς πλεύσας κατὰ τὸν Εὐφράτην στόλῳ μεγάλῳ, εἶτα περὶ τὴν Ἀραβίαν καὶ τὴν Λιβύην παρακομισθεὶς, διὰ στηλῶν Ἡρακλείων ἐμβαλεῖν εἰς τὴν ἐντὸς θάλασσαν. Καὶ πλοῖα παντοδαπὰ περὶ Θάψακον ἐπήγνυτο, καὶ συνήγοντο ναῦται καὶ κυβερνῆται πανταχόθεν. Ἡ δ' ἄνω στρατεία χαλεπὴ γενομένη, καὶ τὸ περὶ Μαλλοὺς τραῦμα καὶ ἡ φθορὰ πολλὴ λεχθεῖσα τῆς δυνάμεως, ἀπιστίᾳ τῆς σωτηρίας αὐτοῦ, τά τε ὑπήκοα πρὸς ἀποστάσεις ἐπῆρε, καὶ τοῖς στρατηγοῖς καὶ σατράπαις ἀδικίαν πολλὴν καὶ πλεονεξίαν καὶ ὕβριν [ἐν]εποίησε· καὶ ὅλως διέδραμε σάλος ἁπάντων καὶ νεωτερισμός. Ὅπου καὶ πρὸς Ἀντίπατρον Ὀλυμπιὰς καὶ Κλεοπάτρα στασιάσασαι διείλοντο τὴν ἀρχὴν, Ὀλυμπιὰς μὲν Ἤπειρον, Κλεοπάτρα δὲ Μακεδονίαν παραλαβοῦσα. Καὶ τοῦτ' ἀκούσας Ἀλέξανδρος, βέλτιον ἔφη βεβουλεῦσθαι τὴν μητέρα· Μακεδόνας γὰρ οὐκ ἂν ὑπομεῖναι βασιλευομένους ὑπὸ γυναικός. Διὰ ταῦτα Νέαρχον μὲν αὖθις ἐπὶ θάλασσαν ἔπεμψεν, ἐμπλῆσαι πολέμων ἅπασαν ἐγνωκὼς τὴν παραλίαν· αὐτὸς δὲ καταβαίνων ἐκόλασε τοὺς πονηροὺς τῶν στρατηγῶν. Τῶν δ' Ἀβουλίτου παίδων ἕνα μὲν, Ὀξυάρτην, αὐτὸς ἀπέκτεινε, σαρίσσῃ διελάσας· Ἀβουλίτου δὲ μηδὲν τῶν ἀναγκαίων παρασκευάσαντος, ἀλλ' ἢ τρισχίλια τάλαντα νομίσματος αὐτῷ προσαγαγόντος, ἐκέλευσε τοῖς ἵπποις

τὸ ἀργύριον παραβαλεῖν. Ὡς δ' οὐκ ἐγεύοντο, φήσας· «Τί οὖν» ὄφελος ἡμῖν τῆς σῆς παρασκευῆς»; καθεῖρξε τὸν Ἀβουλίτην.

ΞΘ. Ἐν δὲ Πέρσαις πρῶτον μὲν ἀπέδωκε τὸ νόμισμα ταῖς γυναιξὶν, ὥσπερ εἰώθεισαν οἱ βασιλεῖς, ὁσάκις εἰς Πέρσας ἀφίκοιντο, διδόναι χρυσοῦν ἑκάστῃ. Καὶ διὰ τοῦτο φασὶν ἐνίους μὴ πολλάκις, Ὦχον δὲ μηδ' ἅπαξ εἰς Πέρσας παραγενέσθαι, διὰ μικρολογίαν ἀποξενώσαντα τῆς πατρίδος ἑαυτόν. Ἔπειτα τὸν Κύρου τάφον εὑρὼν διορωρυγμένον, ἀπέκτεινε τὸν ἀδικήσαντα, καίτοι Πελλαῖος ἦν οὐ τῶν ἀσημοτάτων ὁ πλημμελήσας, ὄνομα Πολύμαχος. Τὴν δ' ἐπιγραφὴν ἀναγνοὺς, ἐκέλευσεν Ἑλληνικοῖς ὑποχαράξαι γράμμασιν. Εἶχε δ' οὕτως· «Ὦ ἄν» θρωπε, ὅστις εἶ, καὶ ὅθεν ἥκεις (ὅτι μὲν γὰρ ἥξεις, οἶδα)· ἐγὼ » Κῦρος εἰμὶ, ὁ Πέρσαις κτησάμενος τὴν ἀρχήν. Μὴ οὖν τῆς » ὀλίγης ταύτης γῆς φθονήσῃς, ἣ τοὐμὸν σῶμα περικαλύπτει». Ταῦτα μὲν οὖν ἐμπαθῆ σφόδρα τὸν Ἀλέξανδρον ἐποίησεν, ἐν νῷ λαβόντα τὴν ἀδηλότητα καὶ τὴν μεταβολήν. Ὁ δὲ Κάλανος ἐνταῦθα χρόνον οὐ πολὺν ὑπὸ κοιλίας ἐνοχληθεὶς, ᾐτήσατο πυρὰν αὐτῷ γενέσθαι. Καὶ κομισθεὶς ἵππῳ πρὸς αὐτὴν, ἐπευξάμενος καὶ κατασπείσας ἑαυτοῦ, καὶ τῶν τριχῶν ἀπαρξάμενος, ἀναβαίνων ἐδεξιοῦτο τοὺς παρόντας τῶν Μακεδόνων, καὶ παρεκάλει τὴν ἡμέραν ἐκείνην ἡδέως γενέσθαι, καὶ μεθυσθῆναι μετὰ τοῦ βασιλέως· αὐτὸν δ' ἐκεῖνον ἔφη μετ' ὀλίγον χρόνον ἐν Βαβυλῶνι ὄψεσθαι. Ταῦτα δ' εἰπὼν, κατακλιθεὶς καὶ συγκαλυψάμενος, οὐκ ἐκινήθη, τοῦ πυρὸς πλησιάζοντος, ἀλλ', ἐν ᾧ κατεκλίθη σχήματι, τοῦτο διατηρῶν, ἐκαλλιέρησεν ἑαυτὸν τῷ πατρίῳ νόμῳ τῶν ἐκεῖ σοφιστῶν. Τοῦτο πολλοῖς ἔτεσιν ὕστερον ἄλλος Ἰνδὸς, ἐν Ἀθήναις Καίσαρι συνὼν, ἐποίησε· καὶ δείκνυται μέχρι νῦν τὸ μνημεῖον, Ἰνδοῦ προσαγορευόμενον.

Ο. Ὁ δ' Ἀλέξανδρος ἀπὸ τῆς πυρᾶς γενόμενος, καὶ συναγαγὼν πολλοὺς τῶν φίλων καὶ τῶν ἡγεμόνων ἐπὶ δεῖπνον, ἀγῶνα

προύθηκε καὶ στέφανον ἀκρατοποσίας. Ὁ μὲν οὖν πλεῖστον πιὼν Πρόμαχος, ἄχρι χοῶν τεσσάρων προῆλθε· καὶ λαβὼν τὸ νικητήριον, στέφανον ταλάντου, ἡμέρας τρεῖς ἐπέζησε. Τῶν δὲ ἄλλων, ὥς Χάρης φησὶν, τετταράκοντα καὶ εἷς ἀπέθανον πίνοντες, ἰσχυροῦ τῇ μέθῃ κρύους ἐπιγενομένου. Τῶν δ' ἑταίρων γάμον ἐν Σούσοις ἐπιτελῶν, καὶ λαμβάνων μὲν αὐτὸς γυναῖκα, τοῦ Δαρείου θυγατέρα, Στάτειραν, διανέμων δὲ τὰς ἀρίστας τοῖς ἀρίστοις, κοινὸν δὲ τῶν ἤδη προγεγαμηκότων Μακεδόνων γάμον ἄλλον ἑστιάσας· ἐν ᾧ φασὶν, ἐννακισχιλίων τῶν παρακεκλημένων ἐπὶ τὸ δεῖπνον ὄντων, ἑκάστῳ χρυσῆν φιάλην πρὸς τὰς σπονδὰς δοθῆναι· τά τ' ἄλλα θαυμαστῶς ἐλαμπρύνατο, καὶ τὰ χρέα τοῖς δανείσασιν ὑπὲρ τῶν ὀφειλόντων αὐτὸς διαλύσας, τοῦ παντὸς ἀναλώματος ἐλάσσονος μυρίων ταλάντων ἑκατὸν τριάκοντα ταλάντοις γενομένου. Ἐπεὶ δ' Ἀντιγένης ὁ ἑτερόφθαλμος, ὡς ὀφείλων ἀπεγράψατο ψευδῶς, καὶ παραγαγὼν τινὰ φάσκοντα δεδανεικέναι πρὸς τὴν τράπεζαν, ἀπέτισε τὸ ἀργύριον, εἶτ' ἐφωράθη ψευδόμενος· ὀργισθεὶς ὁ βασιλεὺς, ἀπήλασε τῆς αὐλῆς αὐτὸν, καὶ παρείλετο τὴν ἡγεμονίαν. Ἦν δὲ λαμπρὸς ἐν τοῖς πολεμικοῖς ὁ Ἀντιγένης. Καὶ ἔτι δὲ νέος ὢν, Φιλίππου πολιορκοῦντος Πέρινθον, ἐμπεσόντος αὐτῷ καταπελτικοῦ βέλους, εἰς τὸν ὀφθαλμὸν, οὐ παρέσχε βουλομένοις ἐξελεῖν τὸ βέλος, οὐδὲ ὑφήκατο, πρὶν ὤσασθαι προσμαχόμενος καὶ κατακλεῖσαι τοὺς πολεμίους εἰς τὸ τεῖχος. Οὐ μετρίως οὖν τότε τὴν ἀτιμίαν ἔφερεν, ἀλλὰ δῆλος ἦν ἑαυτὸν ὑπὸ λύπης καὶ βαρυθυμίας διαχρησόμενος. Καὶ τοῦτο δείσας ὁ βασιλεὺς, ἀνῆκε τὴν ὀργὴν, καὶ τὰ χρήματα ἔχειν ἐκέλευσεν αὐτόν.

ΟΑ. Τῶν δὲ παίδων τῶν τρισμυρίων, οὓς ἀσκουμένους καὶ μανθάνοντας ἀπέλιπε, τοῖς τε σώμασιν ἀνδρείων φανέντων, καὶ τοῖς εἴδεσιν εὐπρεπῶν, ἔτι δὲ καὶ ταῖς μελέταις εὐχέρειαν καὶ κουφότητα θαυμαστὴν ἐπιδειξαμένων, αὐτὸς μὲν ἥσθη· τοῖς δὲ

Μακεδόσι δυσθυμία παρέστη καὶ δέος, ὡς ἧττον αὐτοῖς τοῦ βασιλέως προσέξοντος. Διὸ καὶ τοὺς ἀσθενεῖς καὶ πεπηρωμένους αὐτοῦ καταπέμποντος ἐπὶ θάλατταν, ὕβριν ἔφασαν εἶναι καὶ προπηλακισμὸν, ἀνθρώποις ἀποχρησάμενον εἰς ἅπαντα, νῦν ἀποτίθεσθαι σὺν αἰσχύνῃ, καὶ προσρίπτειν ταῖς πατρίσι καὶ τοῖς γονεῦσιν, οὐ τοιούτους παραλαβόντα. Πάντας οὖν ἐκέλευον ἀφιέναι, καὶ πάντας ἀχρήστους νομίζειν Μακεδόνας, ἔχοντα τοὺς νέους τούτους πυῤῥιχιςὰς, σὺν οἷς ἐπιὼν κατακτήσεται τὴν οἰκουμένην. Πρὸς ταῦτα χαλεπῶς ὁ Ἀλέξανδρος ἔσχε, καὶ πολλὰ μὲν ἐλοιδόρησεν αὐτοὺς πρὸς ὀργὴν, ἀπελάσας δὲ, τὰς φυλακὰς παρέδωκε Πέρσαις, καὶ κατέστησεν ἐκ τούτων δορυφόρους καὶ ῥαβδοφόρους· ὑφ' ὧν ὁρῶντες αὐτὸν παραπεμπόμενον, αὐτοὺς δ' ἀπειργομένους καὶ προπηλακιζομένους, ἐταπεινοῦντο· καὶ διδόντες λόγον, εὕρισκον αὐτοὺς ὀλίγου δεῖν μανέντας ὑπὸ ζηλοτυπίας καὶ ὀργῆς. Τέλος δὲ, συμφρονήσαντες, ἐβάδιζον ἄνοπλοι καὶ μονοχίτωνες ἐπὶ τὴν σκηνὴν μετὰ βοῆς καὶ κλαυθμοῦ, παριδιδόντες ἑαυτοὺς, καὶ χρήσασθαι κελεύοντες ὡς κακοῖς καὶ ἀχαρίστοις. Ὁ δ' οὐ προσίετο, καίπερ ἤδη μαλασσόμενος. Οἱ δ' οὐκ ἀπέστησαν, ἀλλ' ἡμέρας δύο καὶ νύκτας οὕτω προσεςῶτες καὶ ὀλοφυρόμενοι καὶ κοίρανον ἀνακαλοῦντες ἐκαρτέρησαν. Τῇ δὲ τρίτῃ προελθὼν, καὶ θεασάμενος οἰκτροὺς καὶ τεταπεινωμένους, ἐδάκρυε πολὺν χρόνον· εἶτα μεμψάμενος μέτρια, καὶ προσαγορεύσας φιλανθρώπως, ἀπέλυσε τοὺς ἀχρήστους, δωρησάμενος μεγαλοπρεπῶς, καὶ γράψας πρὸς Ἀντίπατρον, ὅπως ἐν πᾶσι τοῖς ἀγῶσι καὶ τοῖς θεάτροις προεδρίαν ἔχοντες ἐςεφανωμένοι καθέζοιντο. Τῶν δὲ τεθνηκότων τοὺς παῖδας, ὀρφανοὺς ὄντας, ἐμμίσθους ἐποίησεν.

ΟΒ· Ὡς δ' ἧκεν εἰς Ἐκβάτανα τῆς Μηδίας, καὶ διῴκησε τὰ κατεπείγοντα, πάλιν ἦν ἐν θεάτροις καὶ πανηγύρεσιν, ἅτε δὴ τρισχιλίων αὐτῷ τεχνιτῶν ἀπὸ τῆς Ἑλλάδος ἀφιγμένων. Ἔτυχε

δὲ περὶ τὰς ἡμέρας Ἡφαιςίων πυρέσσων· οἷα δὲ νέος καὶ ςρατιωτικὸς, οὐ φέρων ἀκριβῆ δίαιταν, ἀλλ', ἅμα τῷ τὸν ἰατρὸν Γλαῦκον ἀπελθεῖν εἰς τὸ θέατρον, περὶ ἄριςον γενόμενος, καὶ καταφαγὼν ἀλεκτρυόνα ἑφθὸν, καὶ ψυκτῆρα μέγαν ἐκπιὼν οἴνου, κακῶς ἔσχε, καὶ μικρὸν διαλιπὼν ἀπέθανε. Τοῦτ' οὐδενὶ λογισμῷ τὸ πάθος Ἀλέξανδρος ἤνεγκεν, ἀλλ' εὐθὺς μὲν ἵππους τε κεῖραι πάντας ἐπὶ πένθει καὶ ἡμιόνους ἐκέλευσε, καὶ τῶν πέριξ πόλεων ἀφεῖλε τὰς ἐπάλξεις· τὸν δ' ἄθλιον ἰατρὸν ἀνεςαύρωσεν. Αὐλοὺς δὲ κατέπαυσε καὶ μουσικὴν ἐν τῷ ςρατοπέδῳ πολὺν χρόνον, ἕως ἐξ Ἄμμωνος ἦλθε μαντεία τιμᾶν Ἡφαιςίωνα, καὶ θύειν ὡς ἥρωϊ παρακελεύουσα. Τοῦ δὲ πένθους παρηγορίᾳ τῷ πολέμῳ χρώμενος, ὥσπερ ἐπὶ θήραν καὶ κυνηγεσίαν ἀνθρώπων ἐξῆλθε, καὶ τὸ Κοσσαίων ἔθνος κατεςρέφετο, πάντας ἡβηδὸν ἀποσφάττων. Τοῦτο δ' Ἡφαιςίωνος ἐναγισμὸς ἐκαλεῖτο. Τύμβον δὲ καὶ ταφὴν αὐτοῦ καὶ τὸν περὶ ταῦτα κόσμον ἀπὸ μυρίων ταλάντων ἐπιτελέσαι διανοούμενος, ὑπερβαλέσθαι δὲ τῷ φιλοτέχνῳ καὶ περιττῷ τῆς κατασκευῆς τὴν δαπάνην, ἐπόθησε μάλιςα τῶν τεχνιτῶν Στασικράτην, μεγαλουργίαν τινὰ καὶ τόλμαν καὶ κόμπον ἐν ταῖς καινοτομίαις ἐπαγγελλόμενον. Οὗτος γὰρ αὐτῷ πρότερον ἐντυχὼν, ἔφη, τῶν ὀρῶν μάλιςα τὸν Θρᾴκιον Ἄθων διατύπωσιν ἀνδρείκελον δέχεσθαι καὶ διαμόρφωσιν· ἂν οὖν κελεύῃ, μονιμώτατον ἀγαλμάτων αὐτῷ καὶ περιφανέςατον ἐξεργάσεσθαι τὸν Ἄθων, τῇ μὲν ἀριςερᾷ χειρὶ περιλαμβάνοντα μυρίανδρον πόλιν οἰκουμένην, τῇ δὲ δεξιᾷ σπένδοντα ποταμοῦ ῥεῦμα δαψιλὲς εἰς τὴν θάλασσαν ἀποῤῥέοντος. Ταῦτα μὲν οὖν παρῃτήσατο, πολλῷ δ' ἀτοπώτερα καὶ δαπανηρότερα τούτων σοφιζόμενος τότε καὶ συμμηχανώμενος τοῖς τεχνίταις διέτριβεν.

ΟΓ. Εἰς δὲ Βαβυλῶνα προάγοντος αὐτοῦ, Νέαρχος (ἀφῖκτο γὰρ αὖθις εἰσπλεύσας εἰς τὸν Εὐφράτην διὰ τῆς μεγάλης

θαλάσσης) ἔφη τινὰς ἐντυχεῖν αὐτῷ Χαλδαίους, παραινοῦντας ἀπέχεσθαι Βαβυλῶνος τὸν Ἀλέξανδρον. Ὁ δ' οὐκ ἐφρόντισεν, ἀλλ' ἐπορεύετο· καὶ πρὸς τοῖς τείχεσι γενόμενος, κόρακας εἶδε πολλοὺς διαφερομένους, καὶ τύπτοντας ἀλλήλους, ὧν ἔνιοι κατέπεσον παρ' αὐτόν. Ἔπειτα, μηνύσεως γενομένης κατ' Ἀπολλοδώρου, τοῦ στρατηγοῦ τῆς Βαβυλῶνος, ὡς εἴη περὶ αὐτοῦ τεθυμένος, ἐκάλει Πυθαγόραν τὸν μάντιν. Οὐκ ἀρνουμένου δὲ τὴν πρᾶξιν, ἠρώτησε τῶν ἱερῶν τὸν τρόπον. Φήσαντος δ', ὅτι τὸ ἧπαρ ἦν ἄλοβον. « Παπαὶ (εἶπεν) ἰσχυρὸν τὸ σημεῖον· » καὶ τὸν Πυθαγόραν οὐδὲν ἠδίκησεν. Ἤχθετο δὲ μὴ πεισθεὶς τῷ Νεάρχῳ, καὶ τὰ πολλὰ τῆς Βαβυλῶνος ἔξω κατασκηνῶν, καὶ περιπλέων τὸν Εὐφράτην διέτριβεν. Ἠνώχλει δ' αὐτὸν σημεῖα πολλά. Καὶ γὰρ λέοντα τῶν τρεφομένων μέγιστον καὶ κάλλιστον ἥμερος ὄνος ἐπελθὼν καὶ λακτίσας ἀνεῖλεν. Ἀποδυσαμένου δὲ πρὸς ἄλειμμα, καὶ σφαῖραν αὐτοῦ παίζοντος, οἱ νεανίσκοι οἱ σφαιρίζοντες, ὡς ἔδει πάλιν λαβεῖν τὰ ἱμάτια, καθορῶσιν ἄνθρωπον ἐν τῷ θρόνῳ καθεζόμενον σιωπῇ, τὸ διάδημα καὶ τὴν στολὴν τὴν βασιλικὴν περικείμενον. Οὗτος ἀνακρινόμενος, ὅστις εἴη, χρόνον πολὺν ἄναυδος ἦν· μόλις δὲ συμφρονήσας, Διονύσιος μὲν ἔφη καλεῖσθαι, Μεσσήνιος δ' εἶναι τὸ γένος· ἔκ δέ τινος αἰτίας καὶ κατηγορίας ἐνταῦθα κομισθεὶς ἀπὸ θαλάσσης, πολὺν χρόνον γεγονέναι ἐν δεσμοῖς· ἄρτι δ' αὐτῷ τὸν Σάραπιν ἐπιστάντα τοὺς δεσμοὺς ἀνεῖναι, καὶ προάγειν δεῦρο, καὶ κελεῦσαι λαβόντα τὴν στολὴν καὶ τὸ διάδημα καθίσαι καὶ σιωπᾶν.

ΟΔ. Ταῦτ' ἀκούσας ὁ Ἀλέξανδρος, τὸν μὲν ἄνθρωπον, ὥσπερ ἐκέλευον οἱ μάντεις, ἠφάνισεν· αὐτὸς δ' ἠθύμει καὶ δύσελπις ἦν πρὸς τὸ θεῖον ἤδη, καὶ πρὸς τοὺς φίλους ὕποπτος. Μάλιστα δ' Ἀντίπατρον ἐφοβεῖτο, καὶ τοὺς παῖδας, ὧν Ἰόλαος μὲν ἀρχιοινοχόος ἦν· ὁ δὲ Κάσανδρος ἀφῖκτο μὲν νεωστί· θεασάμενος δὲ βαρβάρους τινὰς προσκυνοῦντας, ἅτε δὴ τεθραμμένος

Ἑλληνικῶς, καὶ τοιοῦτο πρότερον μηδὲν ἑωρακὼς, ἐγέλασε προπετέςερον. Ὁ δ' Ἀλέξανδρος ὠργίσθη, καὶ δραξάμενος αὐτοῦ τῶν τριχῶν, σφόδρα ταῖς χερσὶν ἀμφοτέραις ἔπαισε τὴν κεφαλὴν πρὸς τὸν τοῖχον· Αὖθις δὲ πρὸς τοὺς κατηγοροῦντας Ἀντιπάτρου λέγειν τι βουλόμενον τὸν Κάσανδρον ἐκκρούων· «Τί » λέγεις (ἔφη); τοσαύτην ὁδὸν ἀνθρώπους μηδὲν ἀδικουμένους, » ἀλλὰ συκοφαντοῦντας ἐλθεῖν»; Φήσαντος δὲ τοῦ Κασάνδρου, τοῦτ' αὐτὸ σημεῖον εἶναι τοῦ συκοφαντεῖν, ὅτι μακρὰν ἥκουσι τῶν ἐλέγχων, ἀναγελάσας ὁ Ἀλέξανδρος· «Ταῦτα ἐκεῖνα (ἔφη) σοφί» σματα τῶν Ἀριστοτέλους εἰς ἑκάτερον τῶν λόγων, οἰμωξομέ» νου γ', ἂν μικρὸν ἀδικοῦντες φανῆτε τοὺς ἀνθρώπους». Τὸ δ' ὅλον οὕτω φασὶ δεινὸν ἐνδῦναι καὶ δευσοποιὸν ἐγγενέσθαι τῇ ψυχῇ τοῦ Κασάνδρου τὸ δέος, ὥςε ὕστερον χρόνοις πολλοῖς, ἤδη Μακεδόνων βασιλεύοντα, καὶ κρατοῦντα τῆς Ἑλλάδος, ἐν Δελφοῖς περιπατοῦντα καὶ θεώμενον τοὺς ἀνδριάντας, εἰκόνος Ἀλεξάνδρου φανείσης, ἄφνω πληγέντα φρίξαι καὶ κραδανθῆναι τὸ σῶμα, καὶ μόλις ἀναλαβεῖν ἑαυτὸν ἰλιγγιάσαντα πρὸς τὴν ὄψιν.

ΟΕ. Ὁ δ' οὖν Ἀλέξανδρος, ὡς ἐνέδωκε τότε πρὸς τὰ θεῖα, ταραχώδης γενόμενος καὶ περίφοβος τὴν διάνοιαν, οὐδὲν ἦν μικρὸν οὕτως τῶν ἀήθων καὶ ἀτόπων, ὃ μὴ τέρας ἐποιεῖτο καὶ σημεῖον· ἀλλὰ θυομένων καὶ καθαιρόντων καὶ μαντευόντων μεςὸν ἦν τὸ βασίλειον. Οὕτως ἄρα δεινὸν μὲν ἀπιστία πρὸς τὰ θεῖα, καὶ καταφρόνησις αὐτῶν· δεινὴ δ' αὖθις ἡ δεισιδαιμονία, δίκην ὕδατος ἀεὶ πρὸς τὸ ταπεινούμενον, καὶ ἀναπληροῦν ἀβελτερίας καὶ φόβου τὸν Ἀλέξανδρον γενόμενον. Οὐμὴν ἀλλὰ, *καίπερ* χρησμῶν γε τῶν περὶ Ἡφαιστίωνος ἐκ θεοῦ κομισθέντων, ἀποθέμενος τὸ πένθος, αὖθις ἦν ἐν θυσίαις καὶ πότοις. Ἑςιασίας δὲ λαμπρῶς τοὺς περὶ Νέαρχον, εἶτα λουσάμενος, ὥσπερ εἰώθει, μέλλων καθεύδειν, Μηδίου δεηθέντος, ᾤχετο

κωμασόμενος πρὸς αὐτόν· κἀκεῖ πιὼν ὅλην τὴν ἐπιοῦσαν ἡμέραν, ἤρξατο πυρέττειν, οὔτε σκύφον Ἡρακλέους ἐκπιὼν, οὔτ' ἄφνω διαλγὴς γενόμενος τὸ μετάφρενον, ὥσπερ λόγχῃ πεπληγώς. Ἀλλὰ ταῦτά τινες ᾤοντο δεῖν γράφειν, ὥσπερ δράματος μεγάλου τραγικὸν ἐξόδιον καὶ περιπαθὲς πλάσαντες. Ἀριστόβουλος δέ φησιν αὐτὸν πυρέττοντα μανικῶς, διψήσαντα δὲ σφόδρα, πιεῖν οἶνον· ἐκ τούτου δὲ φρενιτιάσαι, καὶ τελευτῆσαι τριακάδι Δαισίου μηνός.

ΟϚ. Ἐν δὲ ταῖς ἐφημερίσιν οὕτως γέγραπται [τὰ] περὶ τὴν νόσον. Ὀγδόῃ ἐπὶ δεκάτῃ Δαισίου μηνὸς ἐκάθευδεν ἐν τῷ λουτρῶνι διὰ τὸ πυρέξαι. Τῇ δ' ἑξῆς λουσάμενος εἰς τὸν θάλαμον μετῆλθε, καὶ διημέρευσε πρὸς Μήδιον κυβεύων. Εἶτ' ὀψὲ λουσάμενος, καὶ τὰ ἱερὰ τοῖς θεοῖς ἐπιθεὶς, ἐμφαγὼν, διὰ νυκτὸς ἐπύρεξε. Τῇ εἰκάδι λουσάμενος, πάλιν ἔθυσε τὴν εἰθισμένην θυσίαν· καὶ κατακείμενος ἐν τῷ λουτρῶνι τοῖς περὶ Νέαρχον ἐσχόλαζεν, ἀκροώμενος τὰ περὶ τὸν πλοῦν καὶ τὴν μεγάλην θάλατταν. Τῇ δεκάτῃ φθίνοντος ταὐτὰ ποιήσας μᾶλλον ἀνεφλέχθη, καὶ τὴν νύκτα βαρέως ἔσχε, καὶ τὴν ἐπιοῦσαν ἡμέραν ἐπύρεττε σφόδρα· Καὶ μεταρθεὶς κατέκειτο παρὰ τὴν μεγάλην κολυμβήθραν· ὅτε δὴ τοῖς ἡγεμόσι διελέχθη περὶ τῶν ἐρήμων ἡγεμονίας τάξεων, ὅπως καταστήσωσι δοκιμάσαντες. Ἑβδόμῃ σφόδρα πυρέττων ἔθυσεν ἐξαρθεὶς πρὸς τὰ ἱερά. Τῶν δ' ἡγεμόνων ἐκέλευσε τοὺς μεγίστους διατρίβειν ἐν τῇ αὐλῇ, ταξιάρχους δὲ καὶ πεντακοσιάρχους ἔξω νυκτερεύειν. Εἰς δὲ τὰ πέραν βασίλεια διακομισθεὶς, τῇ ἕκτῃ σμικρὸν ὕπνωσεν· ὁ δὲ πυρετὸς οὐκ ἀνῆκεν. Ἐπελθόντων δὲ τῶν ἡγεμόνων, ἦν ἄφωνος, ὁμοίως δὲ καὶ τὴν πέμπτην· διὸ καὶ τοῖς Μακεδόσιν ἔδοξε τεθνάναι, καὶ κατεβόων ἐλθόντες ἐπὶ τὰς θύρας, καὶ διηπειλοῦντο τοῖς ἑταίροις, ἕως ἐβιάσαντο. Καὶ τῶν θυρῶν αὐτοῖς ἀνοιχθεισῶν, ἐν τοῖς χιτῶσι καθ' ἕνα πάντες παρὰ τὴν κλίνην παρεξῆλθον. Ταύτης δὲ τῆς

ἡμέρας οἱ περὶ Πύθωνα καὶ Σέλευκον εἰς τὸ Σαραπεῖον ἀποσταλέντες, ἠρώτων, εἰ κομίσουσιν ἐκεῖ τὸν Ἀλέξανδρον· ὁ δὲ θεὸς κατὰ χώραν ἐᾷν ἀνεῖλε. Τῇ δὲ τρίτῃ φθίνοντος πρὸς δείλην ἀπέθανε.

ΟΖ. Τούτων τὰ πλεῖστα κατὰ λέξιν ἐν ταῖς ἐφημερίσιν οὕτω γέγραπται. Φαρμακείας δ' ὑποψίαν αὐτίκα μὲν οὐδεὶς ἔσχεν· ἕκτῳ δ' ἔτει φασὶ μηνύσεως γενομένης, τὴν Ὀλυμπιάδα πολλοὺς μὲν ἀνελεῖν, ἐκρίψαι δὲ τὰ λείψανα τοῦ Ἰόλα τεθνηκότος, ὡς τούτου τὸ φάρμακον ἐγχέαντος. Οἱ δ' Ἀριστοτέλη φάσκοντες Ἀντιπάτρῳ σύμβουλον γεγενῆσθαι τῆς πράξεως, καὶ ὅλως δι' ἐκείνου κομισθῆναι τὸ φάρμακον, Ἁγνόθεμίν τινα διηγεῖσθαι λέγουσιν, ὡς Ἀντιγόνου τοῦ βασιλέως ἀκούσαντα· τὸ δὲ φάρμακον ὕδωρ εἶναι ψυχρὸν καὶ παγετῶδες ἀπὸ πέτρας τινὸς ἐν Νωνάκριδι οὔσης, ἣν ὥσπερ δρόσον λεπτὴν ἀναλαμβάνοντες εἰς ὄνου χηλὴν ἀποτίθενται· τῶν γὰρ ἄλλων οὐδὲν ἀγγείων στέγειν, ἀλλὰ διακόπτειν ὑπὸ ψυχρότητος καὶ δριμύτητος. Οἱ δὲ πλεῖστοι τὸν λόγον ὅλως οἴονται πεπλάσθαι τὸν περὶ τῆς φαρμακείας· καὶ τεκμήριον αὐτοῖς οὐ μικρὸν, ὅτι, τῶν ἡγεμόνων στασιασάντων ἐφ' ἡμέρας πολλὰς, ἀθεράπευτον τὸ σῶμα κείμενον ἐν τόποις θερμοῖς καὶ πνιγώδεσιν, οὐδὲν ἔσχε τοιαύτης φθορᾶς σημεῖον, ἀλλ' ἔμεινε καθαρὸν καὶ πρόσφατον. Ἡ δὲ Ῥωξάνη κύουσα μὲν ἐτύγχανε, καὶ διὰ τοῦτο τιμωμένη παρὰ τοῖς Μακεδόσι· δυσζήλως δ' ἔχουσα πρὸς τὴν Στάτειραν, ἐξηπάτησεν αὐτὴν ἐπιστολῇ τινι πεπλασμένῃ παραγενέσθαι, καὶ προσαγαγοῦσα μετὰ τῆς ἀδελφῆς ἀπέκτεινε, καὶ τοὺς νεκροὺς εἰς τὸ φρέαρ κατέβαλε καὶ συνέχωσεν, εἰδότος ταῦτα Περδίκκου καὶ συμπράττοντος. Ἦν γὰρ ἐκεῖνος εὐθὺς ἐν δυνάμει μεγίστῃ, τὸν Ἀρριδαῖον, ὥσπερ δορυφόρημα τῆς βασιλείας, ἐφελκόμενος, γεγονότα μὲν ἐκ γυναικὸς ἀδόξου καὶ κοινῆς, Φιλίννης, ἀτελῆ δὲ τῷ φρονεῖν ὄντα διὰ σώματος νόσον, οὐ φύσει προσπεσοῦσαν, οὐδὲ αὐτομάτως·

ἀλλὰ καὶ πάνυ φασὶ παιδὸς ὄντος αὐτοῦ διαφαίνεσθαι χάριεν ἦθος, καὶ οὐκ ἀγεννές, εἶτα μέντοι φαρμάκοις ὑπ' Ὀλυμπιάδος κακωθέντα διαφθαρῆναι τὴν διάνοιαν.

ΛΕΣΧΗ ΠΑΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ" ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

ΛΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ"
• ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878 •



Ι. ΚΑΙΣΑΡ

ΕΚ ΤΟΥ ΕΝ ΚΑΠΙΤΩΛΙΩΙ ΠΑΛΑΤΙΟΥ

Σελ: 265. Τ. 4

# ΠΛΟΥΤ. Γ. ΙΟΥΛΙΟΣ ΚΑΙΣΑΡ.

Τὴν Κίννα τοῦ μοναρχήσαντος θυγατέρα, Κορνηλίαν, ὡς ἐπεκράτησε Σύλλας, οὔτ᾽ ἐλπίσιν, οὔτε φόβῳ δυνηθεὶς ἀποσπάσαι Καίσαρος, ἐδήμευσε τὴν φερνὴν αὐτῆς. Αἰτία δὲ Καίσαρι τῆς πρὸς Σύλλαν ἀπεχθείας, ἡ πρὸς Μάριον οἰκειότης ἦν. Ἰουλίᾳ γὰρ, πατρὸς ἀδελφῇ Καίσαρος, ὁ πρεσβύτερος συνῴκει Μάριος, ἐξ ἧς ἐγεγόνει Μάριος ὁ νεώτερος, ἀνεψιὸς ὢν Καίσαρος. Ὡς δ᾽ ὑπὸ πλήθους φόνων ἐν ἀρχῇ καὶ δι᾽ ἀσχολίας ὑπὸ Σύλλα παρορώμενος οὐκ ἠγάπησεν, ἀλλὰ μετιὼν ἱερωσύνην εἰς τὸν δῆμον προῆλθεν, οὔπω *πάνυ* μειράκιον ὢν, ταύτης μὲν ἐκπεσεῖν αὐτὸν ὑπεναντιωθεὶς Σύλλας παρεσκεύασε· περὶ δ᾽ ἀναιρέσεως βουλευόμενος, ἐνίων λεγόντων, ὡς οὐκ ἔχοι λόγον ἀποκτιννύναι παῖδα τηλικοῦτον, οὐκ ἔφη νοῦν ἔχειν αὐτοὺς, εἰ μὴ πολλοὺς ἐν τῷ παιδὶ τούτῳ Μαρίους ἐνορῶσι. Ταύτης τῆς φωνῆς ἐνεχθείσης πρὸς Καίσαρα, συχνὸν μέν τινα χρόνον πλανώμενος ἐν Σαβίνοις ἔκλεπτεν ἑαυτόν· ἔπειτα δι᾽ ἀῤῥωστίαν εἰς οἰκίαν ἑτέραν μετακομιζόμενος, κατὰ νύκτα περιπίπτει στρατιώταις τοῦ Σύλλα διερευνωμένοις ἐκεῖνα τὰ χωρία, καὶ τοὺς κεκρυμμένους συλλαμβάνουσιν. Ὧν τὸν ἡγεμόνα, Κορνήλιον, πείσας δυσὶ ταλάντοις ἀφείθη, καὶ καταβὰς εὐθὺς ἐπὶ θάλατταν, ἐξέπλευσεν εἰς Βιθυνίαν πρὸς Νικομήδη τὸν βασιλέα. Παρ᾽ ᾧ διατρίψας χρόνον οὐ πολὺν, εἶτ᾽ ἀποπλέων, ἁλίσκεται περὶ τὴν Φαρμακοῦσαν νῆσον ὑπὸ πειρατῶν, ἤδη τότε στόλοις μεγάλοις καὶ σκάφεσιν ἀπλέτοις κατεχόντων τὴν θάλατταν.

Β. Πρῶτον μὲν οὖν αἰτηθεὶς ὑπ᾽ αὐτῶν λύτρα εἴκοσι τάλαντα κατεγέλασεν, ὡς οὐκ εἰδότων, ὃν ᾑρήκοιεν· αὐτὸς δ᾽ ὡμολόγησε πεντήκοντα δώσειν. Ἔπειτα τῶν περὶ αὐτὸν ἄλλον εἰς ἄλλην

διαπέμψας πόλιν ἐπὶ τὸν τῶν χρημάτων πορισμὸν, ἐν ἀνθρώποις φονικωτάτοις Κίλιξι μεθ' ἑνὸς φίλου καὶ δυοῖν ἀκολούθοιν ἀπολελειμμένος, οὕτω καταφρονητικῶς εἶχεν, ὥστε πέμπων, ὁσάκις ἀναπαύοιτο, προσέταττεν αὐτοῖς σιωπᾷν. Ἡμέραις δὲ τεσσαράκοντα δυεῖν δεούσαις, ὥσπερ οὐ φρουρούμενος, ἀλλὰ δορυφορούμενος ὑπ' αὐτῶν, ἐπὶ πολλῆς ἀδείας συνέπαιζε καὶ συνεγυμνάζετο. Καὶ ποιήματα γράφων, καὶ λόγους τινὰς, ἀκροαταῖς ἐκείνοις ἐχρῆτο· καὶ τοὺς μὴ θαυμάζοντας ἄντικρυς ἀπαιδεύτους καὶ βαρβάρους ἀπεκάλει, καὶ σὺν γέλωτι πολλάκις ἠπείλησε κρεμᾷν αὐτούς. Οἱ δ' ἔχαιρον, ἀφελείᾳ τινὶ καὶ παιδιᾷ τὴν παῤῥησίαν ταύτην νέμοντες. Ὡς δ' ἧκον ἐκ Μιλήτου τὰ λύτρα, καὶ δοὺς ἀφείθη, πλοῖα πληρώσας εὐθὺς ἐκ τοῦ Μιλησίων λιμένος, ἐπὶ τοὺς λῃστὰς ἀνήγετο· καὶ καταλαβὼν ἔτι πρὸς τῇ νήσῳ ναυλοχοῦντας, ἐκράτησε τῶν πλείστων. Καὶ τὰ μὲν χρήματα λείαν ἐποιήσατο, τοὺς δ' ἄνδρας ἐν Περγάμῳ καταθέμενος εἰς τὸ δεσμωτήριον, αὐτὸς ἐπορεύθη πρὸς τὸν διέποντα τὴν Ἀσίαν Ἰούνιον, ὡς ἐκείνῳ προσῆκον, ὄντι στρατηγῷ, κολάσαι τοὺς ἑαλωκότας. Ἐκείνου δὲ καὶ τοῖς χρήμασιν ἐποφθαλμιῶντος (ἦν γὰρ οὐκ ὀλίγα), καὶ περὶ τῶν αἰχμαλώτων σκέψεσθαι φάσκοντος ἐπὶ σχολῆς, χαίρειν ἐάσας αὐτὸν ὁ Καῖσαρ, εἰς Πέργαμον ᾤχετο, καὶ προαγαγὼν τοὺς λῃστὰς ἅπαντας ἀνεσταύρωσεν, ὥσπερ αὐτοῖς δοκῶν παίζειν ἐν τῇ νήσῳ προειρήκει πολλάκις.

Γ. Ἐκ δὲ τούτου, τῆς Σύλλα δυνάμεως ἤδη μαραινομένης, καὶ τῶν οἴκοι καλούντων αὐτὸν, ἔπλευσεν εἰς Ῥόδον ἐπὶ σχολὴν πρὸς Ἀπολλώνιον τὸν τοῦ Μόλωνος, οὗ καὶ Κικέρων ἠκροᾶτο, σοφιστεύοντος ἐπιφανῶς, καὶ τὸν τρόπον ἐπιεικοῦς εἶναι δοκοῦντος. Λέγεται δὲ καὶ φῦναι πρὸς λόγους πολιτικοὺς ὁ Καῖσαρ ἄριστα, καὶ διαπονῆσαι φιλοτιμότατα τὴν φύσιν, ὡς τὰ δευτερεῖα μὲν ἀδηρίτως ἔχειν, τὸ δὲ πρωτεῖον, ὅπως τῇ δυνάμει κα

τοῖς ὅπλοις πρῶτος εἴη μᾶλλον, ἀλλ' ἀσχοληθεὶς ὑφεῖναι, πρὸς ὅπερ ἡ φύσις ὑφηγεῖτο· τῆς ἐν τῷ λέγειν δεινότητος, ὑπὸ ςρατειῶν καὶ πολιτείας, ᾗ κατεκτήσατο τὴν ἡγεμονίαν, οὐκ ἐξικόμενος. Αὐτὸς δ' οὖν ὕςερον ἐν τῇ πρὸς Κικέρωνα περὶ Κάτωνος ἀντιγραφῇ παραιτεῖται, μὴ ςρατιωτικοῦ λόγον ἀνδρὸς ἀντεξετάζειν πρὸς δεινότητα ῥήτορος εὐφυοῦς, καὶ σχολὴν ἐπὶ τοῦτο πολλὴν ἄγοντος.

Δ. Ἐπανελθὼν δ' εἰς Ῥώμην, Δολοβέλλαν ἔκρινε κακώσεως ἐπαρχίας, καὶ πολλαὶ ἀπὸ τῆς Ἑλλάδος τῶν πόλεων μαρτυρίας αὐτῷ παρέσχον. Ὁ μὲν οὖν Δολοβέλλας ἀπέφυγε τὴν δίκην. Ὁ δὲ Καῖσαρ, ἀμειβόμενος τὴν Ἑλλάδα τῆς προθυμίας, συνηγόρευσεν αὐτῇ Πόπλιον Ἀντώνιον διωκούσῃ δωροδοκίας, ἐπὶ Λευκούλλου τοῦ Μάρκου, Μακεδονίας στρατηγοῦ. Καὶ τοσοῦτον ἴσχυσεν, ὥςε τὸν Ἀντώνιον ἐπικαλέσασθαι τοὺς δημάρχους, σκηψάμενον οὐκ ἔχειν τὸ ἴσον ἐν τῇ Ἑλλάδι πρὸς Ἕλληνας. Ἐν δὲ Ῥώμῃ πολλὴ μὲν ἐπὶ τῷ λόγῳ περὶ τὰς συνηγορίας αὐτοῦ χάρις ἐξέλαμπε, πολλὴ δὲ τῆς περὶ τὰς δεξιώσεις καὶ ὁμιλίας φιλοφροσύνης εὔνοια παρὰ τῶν δημοτῶν ἀπήντα, θεραπευτικοῦ παρ' ἡλικίαν ὄντος. Ἦν δέ τις καὶ ἀπὸ δείπνων καὶ τραπέζης, καὶ ὅλως τῆς περὶ τὴν δίαιταν λαμπρότητος αὐξανομένη κατὰ μικρὸν αὐτῷ δύναμις εἰς τὴν πολιτείαν. Ἣν τὸ πρῶτον οἱ φθονοῦντες, οἰόμενοι ταχὺ, τῶν ἀναλωμάτων ἐπιλιπόντων, ἐξίτηλον ἔσεσθαι, περιεώρων ἀνθοῦσαν ἐν τοῖς πολλοῖς· ὀψὲ δ' ᾔσθοντο, μεγάλης καὶ δυσανατρέπτου γενομένης, καὶ βαδιζούσης ἄντικρυς ἐπὶ τὴν τῶν ὅλων μεταβολὴν, ὡς οὐδεμίαν ἀρχὴν πράγματος ἡγητέον οὕτω μικρὰν, ἣν οὐ ταχὺ ποιεῖ μεγάλην τὸ ἐνδελεχὲς, ἐκ τοῦ καταφρονηθῆναι τὸ μὴ κωλυθῆναι λαβοῦσαν. Ὁ γοῦν πρῶτος ὑπιδέσθαι δοκῶν αὐτοῦ καὶ φοβηθῆναι τῆς πολιτείας, ὥσπερ θαλάττης, τὰ διαγελῶντα, καὶ τὴν ἐν τῷ φιλανθρώπῳ καὶ ἱλαρῷ κεκρυμμένην δεινότητα τοῦ ἤθους κατα-

μαθὼν Κικέρων, ἔλεγε τοῖς ἄλλοις ἅπασιν ἐπιβουλεύμασιν αὐτοῦ καὶ πολιτεύμασι τυραννικὴν ἐνορᾷν διάνοιαν· « Ἀλλ' ὅταν (ἔφη) » τὴν κόμην οὕτω διακειμένην περιττῶς ἴδω, κἀκεῖνον ἑνὶ δα- » κτύλῳ κνώμενον, οὔ μοι δοκεῖ πάλιν οὗτος ἄνθρωπος εἰς νοῦν » ἂν ἐμβαλέσθαι τηλικοῦτο κακὸν, ἀναίρεσιν τῆς Ῥωμαίων πο- » λιτείας ». Ταῦτα μὲν οὖν ὕστερον.

Ε. Τοῦ δὲ δήμου πρώτην μὲν ἀπόδειξιν τῆς πρὸς αὐτὸν εὐνοίας ἔλαβεν, ὅτε πρὸς Γάϊον Ποπίλιον ἐρίσας ὑπὲρ χιλιαρχίας, πρότερος ἀνηγορεύθη· δευτέραν δὲ, καὶ καταφανεστέραν, ὅτε, τῆς Μαρίου γυναικὸς, Ἰουλίας, ἀποθανούσης, ἀδελφιδοῦς ὢν αὐτῆς ἐγκώμιόν τε λαμπρὸν ἐν ἀγορᾷ διῆλθε, καὶ περὶ τὴν ἐκφορὰν ἐτόλμησεν εἰκόνας Μαρίου προθέσθαι, τότε πρῶτον ὀφθείσας μετὰ τὴν ἐπὶ Σύλλα πολιτείαν, πολεμίων τῶν ἀνδρῶν κριθέντων. Ἐπὶ τούτῳ γὰρ ἐνίων καταβοησάντων τοῦ Καίσαρος, ὁ δῆμος ἀντήχησε λαμπρῶς δεξάμενος κρότῳ, καὶ θαυμάσας ὥσπερ ἐξ ᾅδου διὰ χρόνων πολλῶν ἀνάγοντα τὰς Μαρίου τιμὰς εἰς τὴν πόλιν. Τὸ μὲν οὖν ἐπὶ γυναιξὶ πρεσβυτέραις λόγους ἐπιταφίους διεξιέναι, πάτριον ἦν Ῥωμαίοις· νέαις δ' οὐκ ὂν ἐν ἔθει, πρῶτος εἶπε Καῖσαρ ἐπὶ τῆς ἑαυτοῦ γυναικὸς ἀποθανούσης· καὶ τοῦτ' ἤνεγκεν αὐτῷ χάριν τινὰ, καὶ συνεδημαγώγησε τῷ πάθει τοὺς πολλοὺς ὡς ἥμερον ἄνδρα καὶ περίμεστον ἤθους ἀγαπᾷν. Θάψας δὲ τὴν γυναῖκα, ταμίας εἰς Ἰβηρίαν ἑνὶ τῶν στρατηγῶν, Βέτερι, συνεξῆλθεν, ὃν αὐτόν τε τιμῶν ἀεὶ διετέλεσε, καὶ τὸν υἱὸν αὐτοῦ πάλιν αὐτὸς ἄρχων ταμίαν ἐποίησε. Γενόμενος δ' ἀπὸ τῆς ἀρχῆς ἐκείνης, τρίτην ἠγάγετο γυναῖκα, Πομπηΐαν, ἔχων ἐκ Κορνηλίας θυγατέρα, τὴν ὕστερον Πομπηΐῳ Μάγνῳ γαμηθεῖσαν. Χρώμενος δὲ ταῖς δαπάναις ἀφειδῶς, καὶ δοκῶν μὲν ἐφήμερον καὶ βραχεῖαν ἀντικαταλλάττεσθαι μεγάλων ἀναλωμάτων δόξαν, ὠνούμενος δὲ ταῖς ἀληθείαις τὰ μέγιστα μικρῶν, λέγεται, πρὶν εἰς ἀρχήν τινα καθί-

σασθαι, χιλίων καὶ τριακοσίων γενέσθαι χρεωφειλέτης ταλάντων. Ἐπεὶ δὲ τοῦτο μὲν, ὁδοῦ τῆς Ἀππίας ἀποδειχθεὶς ἐπιμελητὴς, πάμπολλα χρήματα προσανάλωσε τῶν ἑαυτοῦ· τοῦτο δ', ἀγορανομῶν, ζεύγη μονομάχων τριακόσια καὶ εἴκοσι παρέσχε, καὶ ταῖς ἄλλαις περὶ τὰ θέατρα καὶ πομπὰς καὶ δεῖπνα χορηγίαις καὶ πολυτελείαις τὰς πρὸ αὐτοῦ κατέκλυσε φιλοτιμίας, οὕτω διέθηκε τὸν δῆμον, ὡς καινὰς μὲν ἀρχὰς, καινὰς δὲ τιμὰς ζητεῖν ἕκαστον, αἷς αὐτὸν ἀμείψαιντο.

ϛ. Δυεῖν δ' οὐσῶν ἐν τῇ πόλει στάσεων, τῆς μὲν ἀπὸ Σύλλα, μέγα δυναμένης, τῆς δὲ Μαριανῆς, ἣ τότε κατεπτήχει καὶ διέσπαστο, κομιδῆ ταπεινὰ πράττουσα, ταύτην ἀναῤῥῶσαι καὶ προαγαγέσθαι βουλόμενος, ἐν ταῖς ἀγορανομικαῖς φιλοτιμίαις ἀκμὴν ἐχούσαις εἰκόνας ἐποιήσατο Μαρίου κρύφα, καὶ νίκας τροπαιοφόρους, ἃς φέρων νυκτὸς εἰς τὸ Καπιτώλιον ἀνέστησεν. Ἅμα δ' ἡμέρᾳ, τοὺς θεασαμένους μαρμαίροντα πάντα χρυσῷ, καὶ τέχνῃ κατεσκευασμένα περιττῶς (διεδήλου δὲ γράμμασι τὰ Κιμβρικὰ κατορθώματα), θάμβος ἔσχε τῆς τόλμης τοῦ ἀναθέντος. Οὐ γὰρ ἦν ἄδηλος· ταχὺ δὲ περιὼν ὁ λόγος ἤθροιζε πάντας ἀνθρώπους πρὸς τὴν ὄψιν. Ἀλλ' οἱ μὲν ἐβόων, τυραννίδα πολιτεύεσθαι Καίσαρα, νόμοις καὶ δόγμασι κατορωρυγμένας ἐπανιστάντα τιμὰς, καὶ τοῦτο πεῖραν ἐπὶ τὸν δῆμον εἶναι προμαλαττόμενον, εἰ τετιθάσσευται ταῖς φιλοτιμίαις ὑπ' αὐτοῦ, καὶ δίδωσι παίζειν τοιαῦτα καὶ καινοτομεῖν Οἱ δὲ Μαριανοὶ παραθαῤῥύναντες ἀλλήλους, πλήθει τε θαυμαστοὶ ὅσοι διεφάνησαν ἐξαίφνης, καὶ κρότῳ κατεῖχον τὸ Καπιτώλιον· πολλοῖς δὲ καὶ δάκρυα τὴν Μαρίου θεωμένοις ὄψιν ὑφ' ἡδονῆς ἐχώρει· καὶ μέγας ἦν ὁ Καῖσαρ ἐγκωμίοις αἰρόμενος, ὡς ἀντὶ πάντων ἄξιος εἴη ὁ ἀνὴρ τῆς Μαρίου συγγενείας. Συναχθείσης δὲ περὶ τούτων τῆς βουλῆς, Κάτλος Λουτάτιος, ἀνὴρ εὐδοκιμῶν τότε μάλιστα Ῥωμαίων, ἀναστὰς καὶ κατηγορήσας Καίσαρος, ἐπ-

εφθέγξατο τὸ μνημονευόμενον· « Οὐκ ἔτι γὰρ ὑπονόμοις (ἔφη) » Καῖσαρ, ἀλλ' ἤδη μηχαναῖς αἱρεῖ τὴν πολιτείαν». Ἐπεὶ δ' ἀπολογησάμενος πρὸς ταῦτα Καῖσαρ ἔπεισε τὴν σύγκλητον, ἔτι μᾶλλον οἱ θαυμάζοντες αὐτὸν ἐπήρθησαν, καὶ παρεκελεύοντο μηδενὶ τοῦ φρονήματος ὑφίεσθαι· πάντων γὰρ ἑκόντι τῷ δήμῳ περιέσεσθαι καὶ πρωτεύσειν.

Ζ. Ἐν δὲ τούτῳ καὶ Μετέλλου τοῦ ἀρχιερέως τελευτήσαντος, καὶ τὴν ἱερωσύνην περιμάχητον οὖσαν Ἰσαυρικοῦ καὶ Κάτλου μετιόντων, ἐπιφανεστάτων ἀνδρῶν καὶ μέγιστον ἐν βουλῇ δυναμένων, οὐχ ὑπεῖξεν αὐτοῖς ὁ Καῖσαρ, ἀλλὰ καταβὰς εἰς τὸν δῆμον ἀντιπαρήγγελλεν. Ἀγχωμάλου δὲ τῆς σπουδῆς φαινομένης, ὁ Κάτλος [ὡς] ἀπὸ μείζονος ἀξίας μᾶλλον ὀῤῥωδῶν τὴν ἀδηλότητα, προσέπεμψε πείθων ἀποστῆναι τὸν Καίσαρα τῆς φιλοτιμίας ἐπὶ πολλοῖς χρήμασιν. Ὁ δὲ, καὶ πλείω προσδανεισάμενος ἔφη διαγωνιεῖσθαι. Τῆς δ' ἡμέρας ἐνστάσης, καὶ τῆς μητρὸς ἐπὶ τὰς θύρας αὐτὸν οὐκ ἀδακρυτὶ προπεμπούσης, ἀσπασάμενος αὐτήν· « Ὦ μῆτερ (εἶπεν), τήμερον ἢ ἀρχιερέα τὸν υἱὸν, ἢ » φυγάδα ὄψει ». Διενεχθείσης δὲ τῆς ψήφου, καὶ γενομένης ἁμίλλης, ἐκράτησε, καὶ παρέσχε τῇ βουλῇ καὶ τοῖς ἀρίστοις φόβον, ὡς ἐπὶ πᾶν θρασύτητος προάξων τὸν δῆμον. Ὅθεν οἱ περὶ Πείσωνα καὶ Κάτλον ᾐτιῶντο Κικέρωνα, φεισάμενον Καίσαρος ἐν τοῖς περὶ Κατιλίναν λαβὴν παρασχόντος. Ὁ γὰρ δὴ Κατιλίνας, οὐ μόνον τὴν πολιτείαν μεταβαλεῖν, ἀλλ' ὅλην ἀνελεῖν τὴν ἡγεμονίαν καὶ πάντα τὰ πράγματα συγχέαι διανοηθεὶς, αὐτὸς μὲν ἐξέπεσε περιπταίσας ἐλάττοσιν ἐλέγχοις, πρὸ τοῦ τὰς ἐσχάτας αὐτοῦ βουλὰς ἀποκαλυφθῆναι· Λέντλον δὲ καὶ Κέθηγον ἐν τῇ πόλει διαδόχους ἀπέλιπε τῆς συνωμοσίας· οἷς εἰ μὲν κρύφα παρεῖχε τί θάρσους καὶ δυνάμεως ὁ Καῖσαρ, ἄδηλόν ἐστιν. Ἐν δὲ τῇ βουλῇ κατὰ κράτος ἐξελεγχθέντων, καὶ Κικέρωνος τοῦ ὑπάτου γνώμας ἐρωτῶντος περὶ κολάσεως

ἕκαστον, οἱ μὲν ἄλλοι μέχρι Καίσαρος θανατοῦν ἐκέλευον· ὁ δὲ Καῖσαρ ἀναστὰς λόγον διῆλθε πεφροντισμένον, ὡς ἀποκτεῖναι μὲν ἀκρίτους ἄνδρας ἀξιώματι καὶ γένει λαμπροὺς, οὐ δοκεῖ πάτριον, οὐδὲ δίκαιον εἶναι, μὴ μετὰ τῆς ἐσχάτης ἀνάγκης· εἰ δὲ φρουροῖντο δεθέντες ἐν πόλεσι τῆς Ἰταλίας, ἃς ἂν αὐτὸς ἕληται Κικέρων, μέχρις οὗ καταπολεμηθῇ Κατιλίνας, ὕστερον ἐν εἰρήνῃ καὶ καθ' ἡσυχίαν περὶ ἑκάστου τῇ βουλῇ γνῶναι ὑπάρξει.

Η. Οὕτω δὲ τῆς γνώμης φιλανθρώπου φανείσης, καὶ τοῦ λόγου δυνατῶς ἐπ' αὐτῇ ῥηθέντος, οὐ μόνον οἱ μετὰ τοῦτον ἀνιστάμενοι προσετίθεντο, πολλοὶ δὲ καὶ τῶν πρὸ αὐτοῦ τὰς εἰρημένας γνώμας ἀπειπάμενοι, πρὸς τὴν ἐκείνου μετέστησαν· ἕως ἐπὶ Κάτωνα τὸ πρᾶγμα καὶ Κάτλον περιῆλθε. Τούτων δὲ νεανικῶς ἐναντιωθέντων, Κάτωνος δὲ καὶ τὴν ὑπόνοιαν ἅμα τῷ λόγῳ συνεπερείσαντος αὐτῷ, καὶ συνεξαναστάντος ἐρρωμένως, οἱ μὲν ἄνδρες ἀποθανούμενοι παρεδόθησαν· Καίσαρι δὲ τῆς βουλῆς ἐξιόντι πολλοὶ τῶν Κικέρωνα φρουρούντων τότε νέων γυμνὰ τὰ ξίφη συνδραμόντες ἐπέσχον. Ἀλλὰ Κουρίων τότε λέγεται τῇ τηβέννῳ περιβαλὼν ὑπεξαγαγεῖν· αὐτός τε ὁ Κικέρων, ὡς οἱ νεανίσκοι προσέβλεψαν, ἀνανεῦσαι, φοβηθεὶς τὸν δῆμον, ἢ τὸν φόνον ὅλως ἄδικον καὶ παράνομον ἡγούμενος. Τοῦτο μὲν οὖν οὐκ οἶδα ὅπως ὁ Κικέρων, εἴπερ ἦν ἀληθὲς, ἐν τῷ περὶ τῆς ὑπατείας οὐκ ἔγραψεν· αἰτίαν δ' εἶχεν ὕστερον, ὡς ἄριστα τῷ καιρῷ τότε παρασχόντι κατὰ τοῦ Καίσαρος μὴ χρησάμενος, ἀλλ' ἀποδειλιάσας τὸν δῆμον, ὑπερφυῶς περιεχόμενον τοῦ Καίσαρος. Ὅς γε καὶ μετ' ὀλίγας ἡμέρας, εἰς τὴν βουλὴν εἰσελθόντος αὐτοῦ, καὶ περὶ ὧν ἐν ὑποψίαις ἦν ἀπολογουμένου, καὶ περιπίπτοντος θορύβοις πονηροῖς, ἐπειδὴ πλείων τοῦ συνήθους ἐγίγνετο τῇ βουλῇ καθεζομένῃ χρόνος, ἐπῆλθε μετὰ κραυγῆς καὶ περιέστη τὴν σύγκλητον, ἀπαιτῶν τὸν ἄνδρα,

καὶ κελεύων ἀφεῖναι. Διὸ καὶ Κάτων, φοβηθεὶς μάλιστα τὸν ἐκ τῶν ἀπόρων νεωτερισμὸν, οἵ τοῦ παντὸς ὑπέκκαυμα πλήθους ἦσαν, ἐν τῷ Καίσαρι τὰς ἐλπίδας ἔχοντες, ἔπεισε τὴν σύγκλητον ἀπονεῖμαι σιτηρέσιον αὐτοῖς ἔμμηνον, ἐξ οὗ δαπάνης μὲν ἑπτακόσιαι πεντήκοντα μυριάδες ἐνιαύσιοι προσεγίνοντο τοῖς ἄλλοις ἀναλώμασι. Τὸν μέντοι μέγαν ἐν τῷ παρόντι φόβον ἔσβεσε περιφανῶς τὸ πολίτευμα τοῦτο, καὶ τὸ πλεῖστον ἀπέῤῥηξε τῆς Καίσαρος δυνάμεως καὶ διεσκέδασεν ἐν καιρῷ, στρατηγεῖν μέλλοντος, καὶ φοβερωτέρου διὰ τὴν ἀρχὴν ὄντος.

Θ. Οὐ μὴν ἀπέβη τι ταραχῶδες ἀπ' αὐτῆς, ἀλλὰ καὶ τύχη τις ἄχαρις τῷ Καίσαρι συνηνέχθη περὶ τὸν οἶκον. Πόπλιος Κλώδιος ἦν ἀνὴρ γένει μὲν εὐπατρίδης, καὶ πλούτῳ καὶ λόγῳ λαμπρὸς, ὕβρει δὲ καὶ θρασύτητι τῶν ἐπὶ βδελυρίᾳ περιβοήτων οὐδενὸς δεύτερος. Οὗτος ἤρα Πομπηΐας, τῆς Καίσαρος γυναικὸς, οὐδ' αὐτῆς ἀκούσης. Ἀλλὰ φυλακαί τε τῆς γυναικωνίτιδος ἀκριβεῖς ἦσαν, ἥ τε μήτηρ τοῦ Καίσαρος, Αὐρηλία, γυνὴ σώφρων, περιέπουσα τὴν νύμφην ἀεὶ, χαλεπὴν καὶ παρακεκινδυνευμένην αὐτοῖς ἐποίει τὴν ἔντευξιν. Ἔστι δὲ Ῥωμαίοις θεὸς ἣν Ἀγάθην ὀνομάζουσιν, ὥσπερ Ἕλληνες Γυναικείαν. Καὶ Φρύγες μὲν οἰκειούμενοι, Μίδα μητέρα, τοῦ βασιλέως, γενέσθαι φασὶ, Ῥωμαῖοι δὲ νύμφην Δρυάδα, Φαύνῳ συνοικήσασαν, Ἕλληνες δὲ τῶν Διονύσου μητέρων τὴν ἄῤῥητον. Ὅθεν ἀμπελίνοις τε τὰς σκηνὰς κλήμασιν ἑορτάζουσαι κατερέφουσι, καὶ δράκων ἱερὸς παρακαθίδρυται τῇ θεῷ κατὰ τὸν μῦθον. Ἄνδρα δὲ προσελθεῖν οὐ θέμις, οὐδ' ἐπὶ τῆς οἰκίας γενέσθαι, τῶν ἱερῶν ὀργιαζομένων. Αὗται δὲ καθ' ἑαυτὰς αἱ γυναῖκες πολλὰ τοῖς Ὀρφικοῖς ὁμολογοῦντα δρᾷν λέγονται περὶ τὴν ἱερουργίαν. Ὅταν οὖν ὁ τῆς ἑορτῆς καθήκῃ χρόνος, ὑπατεύοντος, ἢ στρατηγοῦντος ἀνδρὸς, αὐτὸς μὲν ἐξίσταται, καὶ πᾶν τὸ ἄῤῥεν· ἡ δὲ γυνὴ τὴν οἰκίαν παραλαβοῦσα διακοσμεῖ, καὶ τὰ μέγιστα νύκτωρ

τελεῖται, παιδιᾶς ἀναμεμιγμένης ταῖς παννυχίσι, καὶ μουσικῆς ἅμα πολλῆς παρούσης.

I. Ταύτην τότε τὴν ἑορτὴν τῆς Πομπηΐας ἐπιτελούσης, ὁ Κλώδιος οὔπω γενειῶν, καὶ διὰ τοῦτο λήσειν οἰόμενος, ἐσθῆτα καὶ σκευὴν ψαλτρίας ἀναλαβὼν ἐχώρει, νέᾳ γυναικὶ τὴν ὄψιν ἐοικώς. Καὶ ταῖς θύραις ἐπιτυχὼν ἀνεῳγμέναις, εἰσήχθη μὲν ἀδεῶς ὑπὸ τῆς συνειδυίας θεραπαινίδος· ἐκείνης δὲ προδραμούσης, ὡς τῇ Πομπηΐᾳ φράσειε, καὶ γενομένης διατριβῆς, περιμένειν μὲν, ὅπου κατελείφθη, τῷ Κλωδίῳ μὴ καρτεροῦντι, πλανωμένῳ δ' ἐν οἰκίᾳ μεγάλῃ, καὶ περιφεύγοντι τὰ φῶτα, προσπεσοῦσα τῆς Αὐρηλίας ἀκόλουθος, ὡς δὴ γυνὴ γυναῖκα παίζειν προὐκαλεῖτο· καὶ μὴ βουλόμενον, εἰς τὸ μέσον εἷλκει καὶ, τίς ἐστι καὶ πόθεν, ἐπυνθάνετο. Τοῦ δὲ Κλωδίου, φήσαντος Ἅβραν περιμένειν Πομπηΐας, αὐτὸ τοῦτο καλουμένην, καὶ τῇ φωνῇ γενομένου καταφανοῦς, ἡ μὲν ἀκόλουθος εὐθὺς ἀπεπήδησε κραυγῇ πρὸς τὰ φῶτα καὶ τὸν ὄχλον, ἄνδρα πεφωρακέναι βοῶσα. Τῶν δὲ γυναικῶν διαπτοηθεισῶν, ἡ Αὐρηλία τὰ μὲν ὄργια τῆς θεοῦ κατέπαυσε καὶ συνεκάλυψεν, αὐτὴ δὲ τὰς θύρας ἀποκλεῖσαι κελεύσασα, περιῄει τὴν οἰκίαν ὑπὸ λαμπάδων, ζητοῦσα τὸν Κλώδιον. Εὑρίσκεται δ' εἰς οἴκημα παιδίσκης, ᾗ συνεισῆλθε, καταπεφευγώς· καὶ γενόμενος φανερὸς ὑπὸ τῶν γυναικῶν ἐξελαύνεται διὰ τῶν θυρῶν. Τὸ δὲ πρᾶγμα καὶ νυκτὸς εὐθὺς αἱ γυναῖκες ἀπιοῦσαι τοῖς αὐτῶν ἔφραζον ἀνδράσι· καὶ μεθ' ἡμέραν ἐχώρει διὰ τῆς πόλεως ὁ λόγος, ὡς ἀθέσμοις ἐπικεχειρηκότος τοῦ Κλωδίου, καὶ δίκην οὐ τοῖς ὑβρισμένοις μόνον, ἀλλὰ καὶ τῇ πόλει καὶ τοῖς θεοῖς ὀφείλοντος. Ἐγράψατο μὲν οὖν τὸν Κλώδιον εἷς τῶν δημάρχων ἀσεβείας, καὶ συνέστησαν ἐπ' αὐτὸν οἱ δυνατώτατοι τῶν ἀπὸ τῆς βουλῆς, ἄλλας τε δεινὰς ἀσελγείας καταμαρτυροῦντες, καὶ μοιχείαν ἀδελφῆς, ᾗ Λευκούλλῳ συνῳκήκει. Πρὸς δὲ τὰς τούτων σπουδὰς ὁ δῆμος



ΒΕΝΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ (library stamp)

ἀντιτάξας ἑαυτὸν, ἤμυνε τῷ Κλωδίῳ, καὶ μέγα πρὸς τοὺς δικαςὰς ὄφελος ἦν, ἐκπεπληγμένους καὶ δεδοικότας τὸ πλῆθος. Ὁ δὲ Καῖσαρ ἀπεπέμψατο μὲν εὐθὺς τὴν Πομπηΐαν· μάρτυς δὲ πρὸς τὴν δίκην κληθεὶς, οὐδὲν ἔφη τῶν λεγομένων κατὰ τοῦ Κλωδίου γιγνώσκειν. Ὡς δὲ, τοῦ λόγου παραδόξου φανέντος, ὁ κατήγορος ἠρώτησε· « Πῶς οὖν ἀπεπέμψω τὴν γυναῖκα; Ὅτι, » (ἔφη) τὴν ἐμὴν ἠξίουν μηδ' ὑπονοηθῆναι». Ταῦτα οἱ μὲν οὕτω φρονοῦντα τὸν Καίσαρα λέγουσιν εἰπεῖν, οἱ δὲ τῷ δήμῳ χαριζόμενον ὡρμημένῳ σώζειν τὸν Κλώδιον. Ἀποφεύγει δ' οὖν τὸ ἔγκλημα, τῶν πλείστων δικαστῶν συγκεχυμένας τοῖς γράμμασι τὰς γνώμας ἀποδόντων, ὅπως μήτε παρακινδυνεύσωσιν ἐν τοῖς πολλοῖς καταψηφισάμενοι, μήτ' ἀπολύσαντες ἀδοξήσωσι παρὰ τοῖς ἀρίστοις.

ΙΑ. Ὁ δὲ Καῖσαρ, εὐθὺς ἀπὸ τῆς ςρατηγίας τῶν ἐπαρχιῶν τὴν Ἰβηρίαν λαβὼν, ὡς ἦν δυσδιάθετον αὐτῷ τὸ περὶ τοὺς δανειστὰς, ἐνοχλοῦντας ἐξιόντι καταβοῶντας, ἐπὶ Κράσσον κατέφυγε, πλουσιώτατον ὄντα Ῥωμαίων, δεόμενον δὲ τῆς Καίσαρος ἀκμῆς καὶ θερμότητος ἐπὶ τὴν πρὸς Πομπήϊον ἀντιπολιτείαν. Ἀναδεξαμένου δὲ τοῦ Κράσσου τοὺς μάλιστα χαλεποὺς καὶ ἀπαραιτήτους τῶν δανειστῶν, καὶ διεγγυήσαντος ὀκτακοσίων καὶ τριάκοντα ταλάντων, οὕτως ἐξῆλθεν ἐπὶ τὴν ἐπαρχίαν. Λέγεται δὲ, τὰς Ἄλπεις ὑπερβαλόντος αὐτοῦ, καὶ πολίχνιόν τι βαρβαρικὸν, οἰκούμενον ὑπ' ἀνθρώπων παντάπασιν ὀλίγων καὶ λυπρὸν, παρερχομένου, τοὺς ἑταίρους ἅμα γέλωτι καὶ μετὰ παιδιᾶς· «Ἦπου (φάναι) κἀνταῦθά τινές εἰσιν ὑπὲρ ἀρχῶν φιλο- » τιμίαι, καὶ περὶ πρωτείων ἅμιλλαι, καὶ φθόνοι τῶν δυνατῶν » πρὸς ἀλλήλους»; Τὸν δὲ Καίσαρα σπουδάσαντα πρὸς αὐτοὺς εἰπεῖν. «Ἐγὼ μὲν ἐβουλόμην παρὰ τούτοις εἶναι μᾶλλον πρῶτος, ἢ » παρὰ Ῥωμαίοις δεύτερος». Ὁμοίως δὲ πάλιν ἐν Ἰβηρίᾳ, σχολῆς οὔσης, ἀναγινώσκοντά τι τῶν περὶ Ἀλεξάνδρου γεγραμμένων,

σφόδρα γενέσθαι πρὸς ἑαυτῷ πολὺν χρόνον, εἶτα καὶ δακρῦσαι· τῶν δὲ φίλων θαυμασάντων τὴν αἰτίαν, εἰπεῖν· « Οὐ δοκεῖ ὑμῖν » ἄξιον εἶναι λύπης, εἰ τηλικοῦτος μὲν ὢν Ἀλέξανδρος, ἐθνῶν τοσούτων ἐβασίλευεν, ἐμοὶ δὲ λαμπρὸν οὐδὲν οὔπω πέπρακται ».

ΙΒ. Τῆς γοῦν Ἰβηρίας ἐπιβὰς, εὐθὺς ἦν ἐνεργὸς, ὥσθ' ἡμέραις ὀλίγαις δέκα σπείρας συναγαγεῖν πρὸς ταῖς πρότερον οὔσαις εἴκοσι· καὶ στρατεύσας ἐπὶ Καλλαϊκοὺς καὶ Λουσιτανοὺς, κρατῆσαι, καὶ προελθεῖν ἄχρι τῆς ἔξω θαλάσσης, τὰ μὴ πρότερον ὑπακούοντα Ῥωμαίοις ἔθνη καταστρεφόμενος. Θέμενος δὲ τὰ τοῦ πολέμου καλῶς, οὐ χεῖρον ἐβράβευε τὰ τῆς εἰρήνης, ὁμόνοιάν τε ταῖς πόλεσι καθιστὰς, καὶ μάλιστα τὰς τῶν χρεωφειλετῶν καὶ δανειστῶν ἰώμενος διαφοράς. Ἔταξε γὰρ τῶν προσιόντων τοῖς ὀφείλουσι καθ' ἕκαστον ἐνιαυτὸν δύο μὲν μέρη τὸν δανειστὴν ἀναιρεῖσθαι, τῷ δὲ λοιπῷ χρῆσθαι τὸν δεσπότην, ἄχρις ἂν οὕτως ἐκλυθῇ τὸ δάνειον. Ἐπὶ τούτοις εὐδοκιμῶν, ἀπηλλάγη τῆς ἐπαρχίας, αὐτός τε πλούσιος γεγονὼς, καὶ τοὺς στρατιώτας ὠφεληκὼς ἀπὸ τῶν στρατηγιῶν, καὶ προσηγορευμένος αὐτοκράτωρ ὑπ' αὐτῶν.

ΙΓ. Ἐπεὶ δὲ τοὺς μὲν μνωμένους θρίαμβον ἔξω διατρίβειν ἔδει, τοὺς δὲ μετιόντας ὑπατείαν παρόντας ἐν τῇ πόλει τοῦτο πράττειν, ἐν τοιαύτῃ γεγονὼς ἀντινομίᾳ, καὶ πρὸς αὐτὰς τὰς ὑπατικὰς ἀφιγμένος ἀρχαιρεσίας, ἔπεμψε πρὸς τὴν σύγκλητον, αἰτούμενος αὐτῷ δοθῆναι παραγγέλλειν εἰς ὑπατείαν ἀπόντι διὰ τῶν φίλων. Κάτωνος δὲ πρῶτον μὲν ἰσχυριζομένου τῷ νόμῳ πρὸς τὴν ἀξίωσιν, εἶτα, ὡς ἑώρα πολλοὺς τεθεραπευμένους ὑπὸ τοῦ Καίσαρος, ἐκκρούσαντος τῷ χρόνῳ τὸ πρᾶγμα, καὶ τὴν ἡμέραν ἐν τῷ λέγειν κατατρίψαντος, ἔγνω τὸν θρίαμβον ἀφεὶς ὁ Καῖσαρ ἔχεσθαι τῆς ὑπατείας· καὶ παρελθὼν εὐθὺς, ὑποδύεται πολίτευμά τι πάντας ἀνθρώπους ἐξαπατῆσαν, πλὴν Κάτωνος. Ἦν δὲ τοῦτο διαλλαγὴ Πομπηΐου καὶ Κράσσου, τῶν

μέγιστον ἐν τῇ πόλει δυναμένων· οὓς συναγαγὼν ὁ Καῖσαρ εἰς φιλίαν ἐκ διαφορᾶς, καὶ τὴν ἀπ᾿ ἀμφοῖν συνενεγκάμενος ἰσχὺν εἰς ἑαυτὸν, ἔργῳ φιλάνθρωπον ἔχοντι προσηγορίαν, ἔλαθε μεταστήσας τὴν πολιτείαν. Οὐ γὰρ, ὡς οἱ πλεῖστοι νομίζουσιν, ἡ Καίσαρος καὶ Πομπηΐου διαφορὰ τοὺς ἐμφυλίους ἀπειργάσατο πολέμους, ἀλλὰ μᾶλλον ἡ φιλία, συστάντων ἐπὶ καταλύσει τῆς ἀριστοκρατίας τὸ πρῶτον, εἶτα οὕτω καὶ πρὸς ἀλλήλους διαστάντων. Κάτωνι δὲ, πολλάκις τὰ μέλλοντα προθεσπίζοντι, περιῆν δυσκόλου μὲν ἀνθρώπου τότε καὶ πολυπράγμονος, ὕστερον δὲ φρονίμου μὲν, οὐκ εὐτυχοῦς δὲ, συμβούλου λαβεῖν δόξαν.

ΙΔ. Οὐ μὴν ἀλλ᾿ ὁ Καῖσαρ ἐν μέσῳ τῆς Κράσσου καὶ Πομπηΐου φιλίας δορυφορούμενος, ἐπὶ τὴν ὑπατείαν προήχθη, καὶ λαμπρῶς ἀναγορευθεὶς μετὰ Καλπουρνίου Βίβλου, καὶ καταστὰς εἰς τὴν ἀρχὴν, εὐθὺς εἰσέφερε νόμους οὐχ ὑπάτῳ προσήκοντας, ἀλλὰ δημάρχῳ τινὶ θρασυτάτῳ, πρὸς ἡδονὴν τῶν πολλῶν κληρουχίας τινὰς χώρας καὶ διανομὰς εἰσηγούμενος. Ἐν δὲ τῇ βουλῇ τῶν καλῶν τε καὶ ἀγαθῶν ἀντικρουσάντων, πάλαι δεόμενος προφάσεως, ἀνακραγὼν καὶ μαρτυράμενος, ὡς εἰς τὸν δῆμον ἄκων ἐξελαύνοιτο, θεραπεύσων ἐκεῖνον ἐξ ἀνάγκης, ὕβρει καὶ χαλεπότητι τῆς βουλῆς, πρὸς αὐτὸν ἐξεπήδησε· καὶ περιστησάμενος ἔνθεν μὲν Κράσσον, ἔνθεν δὲ Πομπήϊον, ἠρώτησεν, εἰ τοὺς νόμους ἐπαινοῖεν. Ἐπαινεῖν δὲ φασκόντων, παρεκάλει βοηθεῖν πρὸς τοὺς ἐνίστασθαι μετὰ ξιφῶν ἀπειλοῦντας. Ἐκεῖνοι δ᾿ ὑπισχνοῦντο. Πομπήϊος δὲ καὶ προσεπεῖπεν, ὡς ἀφίξοιτο πρὸς τὰ ξίφη μετὰ τοῦ ξίφους καὶ θυρεὸν κομίζων. Ἐπὶ τούτῳ τοὺς μὲν ἀριστοκρατικοὺς ἠνίασεν, οὐκ ἀξίαν τῆς περὶ αὐτὸν αἰδοῦς, οὐδὲ τῇ πρὸς τὴν σύγκλητον εὐλαβείᾳ πρέπουσαν, ἀλλὰ μανικὴν καὶ μειρακιώδη φωνὴν ἀκούσαντας· ὁ δὲ δῆμος ἥσθη. Καῖσαρ δὲ μειζόνως ἔτι τῆς Πομπηΐου δυνάμεως

ἐπισπαττόμενος, ἦν γὰρ αὐτῷ Ἰουλία θυγάτηρ, ἐγγεγυημένη Σερουϊλίῳ Καιπίωνι, ταύτην ἐνεγγύησε Πομπηΐῳ· τὴν δὲ Πομπηΐου τῷ Σερουϊλίῳ δώσειν ἔφησεν, οὐδ' αὐτὴν ἀνέγγυον οὖσαν, ἀλλὰ Φαύστῳ, τῷ Σύλλα παιδὶ, καθωμολογημένην. Ὀλίγῳ δ' ὕστερον Καῖσαρ ἠγάγετο Καλπουρνίαν, θυγατέρα Πείσωνος, τὸν δὲ Πείσωνα κατέστησεν ὕπατον εἰς τὸ μέλλον. Ἐνταῦθα δὴ καὶ σφόδρα μαρτυρουμένου Κάτωνος, καὶ βοῶντος, οὐκ ἀνεκτὸν εἶναι, γάμοις διαμαστροπευομένης τῆς ἡγεμονίας, καὶ διὰ γυναίων εἰς ἐπαρχίας καὶ στρατεύματα καὶ δυνάμεις ἀλλήλους ἀντεισαγόντων. Ὁ μὲν οὖν συνάρχων τοῦ Καίσαρος, Βίβλος, ἐπεὶ κωλύων τοὺς νόμους οὐδὲν ἐπέραινεν, ἀλλὰ πολλάκις ἐκινδύνευσε μετὰ Κάτωνος ἐπὶ τῆς ἀγορᾶς ἀποθανεῖν, ἐγκλεισάμενος οἴκοι τὸν τῆς ἀρχῆς χρόνον διετέλεσε. Πομπήϊος δὲ γήμας, εὐθὺς ἐνέπλησε τὴν ἀγορὰν ὅπλων, καὶ συνεπεκύρου τῷ δήμῳ τοὺς νόμους· Καίσαρι δὲ τὴν ἐντὸς Ἄλπεων καὶ τὴν ἐκτὸς ἅπασαν Κελτικὴν, προσθεὶς τὸ Ἰλλυρικὸν μετὰ ταγμάτων τεσσάρων εἰς πενταετίαν. Κάτωνα μὲν οὖν, ἐπιχειρήσαντα τούτοις ἀντιλέγειν, ἀπῆγεν εἰς φυλακὴν ὁ Καῖσαρ, οἰόμενος αὐτὸν ἐπικαλέσεσθαι τοὺς δημάρχους· ἐκείνου δ' ἀφώνου βαδίζοντος, ὁρῶν ὁ Καῖσαρ οὐ μόνον τοὺς κρατίστους δυσφοροῦντας, ἀλλὰ καὶ τὸ δημοτικὸν αἰδοῖ τῆς Κάτωνος ἀρετῆς σιωπῇ καὶ μετὰ κατηφείας ἑπόμενον, αὐτὸς ἐδεήθη κρύφα τῶν δημάρχων ἑνὸς ἀφελέσθαι τὸν Κάτωνα. Τῶν δ' ἄλλων συγκλητικῶν ὀλίγοι παντάπασιν αὐτῷ συνῄεσαν εἰς βουλὴν, οἱ δὲ λοιποὶ δυσχεραίνοντες ἐκποδὼν ἦσαν. Εἰπόντος δὲ Κονσιδίου τινὸς τῶν σφόδρα γερόντων, ὡς φοβούμενοι τὰ ὅπλα καὶ τοὺς στρατιώτας οὐ συνέρχοιντο· «Τί οὖν (ἔφη ὁ Καῖσαρ) οὐ καὶ σὺ ταῦτα δεδιὼς οἰκουρεῖς»; καὶ ὁ Κονσίδιος εἶπεν· «Ὅτι με ποιεῖ μὴ φοβεῖσθαι τὸ γῆρας· ὁ γὰρ ἔτι λειπόμενος βίος οὐ πολλῆς, ὀλίγος ὢν, δεῖται προνοίας». Αἴσχιστον δὲ τῶν τότε πολιτευμάτων ἔδοξεν, ἐν τῇ

Καίσαρος ὑπατείᾳ δήμαρχον αἱρεθῆναι Κλώδιον ἐκεῖνον, ὑφ' οὗ τὰ περὶ τὸν γάμον καὶ τὰς ἀποῤῥήτους παρενομήθη παννυχίδας. Ἡρέθη δ' ἐπὶ τῇ Κικέρωνος καταλύσει· καὶ Καῖσαρ οὐ πρότερον ἐξῆλθεν ἐπὶ τὴν ςρατείαν, ἢ καταςασιάσαι Κικέρωνα μετὰ Κλωδίου, καὶ συνεκβαλεῖν ἐκ τῆς Ἰταλίας.

ΙΕ. Τοιαῦτα μὲν οὖν λέγεται γενέσθαι τὰ πρὸ τῶν Γαλατικῶν. Ὁ δὲ τῶν πολέμων, οὓς ἐπολέμησε μετὰ ταῦτα, καὶ τῶν ςρατειῶν, αἷς ἡμερώσατο τὴν Κελτικὴν, χρόνος, ὥσπερ ἄλλην ἀρχὴν λαβόντος αὐτοῦ, καὶ καταστάντος εἰς ἑτέραν τινὰ βίου καὶ πραγμάτων καινὴν ὁδὸν, οὐκ ἔστιν ὅτου τῶν μάλιστα τεθαυμασμένων ἐφ' ἡγεμονίᾳ καὶ μεγίστων γεγονότων ἀπολείποντα πολεμιστὴν καὶ ςρατηλάτην ἀπέδειξεν αὐτόν· ἀλλ' εἴτε Φαβίους καὶ Σκιπίωνας καὶ Μετέλλους καὶ τοὺς κατ' αὐτὸν, ἢ μικρὸν ἔμπροσθεν αὐτοῦ, Σύλλαν καὶ Μάριον, ἀμφοτέρους τε Λευκούλλους, ἢ καὶ Πομπήϊον αὐτὸν, οὗ κλέος ὑπουράνιον ἤνθει τότε παντοίας περὶ πόλεμον ἀρετῆς, παραβάλοι τις, αἱ Καίσαρος ὑπερβάλλουσι πράξεις, τὸν μὲν χαλεπότητι τόπων, ἐν οἷς ἐπολέμησε, τὸν δὲ μεγέθει χώρας, ἣν προσεκτήσατο, τὸν δὲ πλήθει καὶ βίᾳ πολεμίων, οὓς ἐνίκησε, τὸν δ' ἀτοπίαις καὶ ἀπιστίαις ἠθῶν, ἃ καθωμάλισε, τὸν δ' ἐπιεικείᾳ καὶ πρᾳότητι πρὸς τοὺς ἁλισκομένους, τὸν δὲ δώροις καὶ χάρισι πρὸς τοὺς συςρατευομένους, πάντας δὲ τῷ πλείςας μεμαχῆσθαι μάχας, καὶ πλείςους ἀνῃρηκέναι τῶν ἀντιταχθέντων. Ἔτη γὰρ οὐδὲ δέκα πολεμήσας περὶ Γαλατίαν, πόλεις μὲν ὑπὲρ ὀκτακοσίας κατὰ κράτος εἷλεν, ἔθνη δ' ἐχειρώσατο τριακόσια· μυριάσι δὲ παραταξάμενος κατὰ μέρος τριακοσίαις, ἑκατὸν μὲν ἐν χερσὶ διέφθειρεν, ἄλλας δὲ τοσαύτας ἐζώγρησεν.

Ις. Εὐνοίᾳ δὲ καὶ προθυμίᾳ ςρατιωτῶν ἐχρήσατο τοσαύτῃ περὶ αὐτὸν, ὥστε τοὺς ἑτέρων μηδὲν ἐν ταῖς ἄλλαις ςρατείαις διαφέροντας, ἀμάχους καὶ ἀνυποστάτους φέρεσθαι πρὸς πᾶν

δεινὸν ὑπὲρ τῆς Καίσαρος δόξης. Οἷος ἦν τοῦτο μὲν Ἀκίλιος, ὃς ἐν τῇ περὶ Μασσαλίαν ναυμαχίᾳ, νεὼς πολεμίας ἐπιβεβηκὼς, τὴν μὲν δεξιὰν ἀπεκόπη χεῖρα μαχαίρᾳ, τῇ δ' ἀριστερᾷ τὸν θυρεὸν οὐκ ἀφῆκεν, ἀλλὰ τύπτων εἰς τὰ πρόσωπα τοὺς πολεμίους, ἀπέτρεψε πάντας, καὶ τοῦ σκάφους ἐπεκράτησε. τοῦτο δὲ Κάσσιος Σκεύας, ὃς ἐν τῇ περὶ Δυῤῥάχιον μάχῃ τὸν ὀφθαλμὸν ἐκκοπεὶς τοξεύματι, τὸν δ' ὦμον ὑσσῷ καὶ τὸν μηρὸν ἑτέρῳ διεληλαμένος, τῷ δὲ θυρεῷ βελῶν ἑκατὸν καὶ τριάκοντα πληγὰς ἀναδεδεγμένος, ἐκάλει τοὺς πολεμίους, ὡς παραδώσων ἑαυτόν. Δυεῖν δὲ προσιόντων, τοῦ μὲν ἀπέκοψε τὸν ὦμον τῇ μαχαίρᾳ, τὸν δὲ κατὰ τοῦ προσώπου πατάξας ἀπέστρεψεν· αὐτὸς δὲ διεσώθη, τῶν οἰκείων περισχόντων. Ἐν δὲ Βρεττανίᾳ τῶν πολεμίων εἰς τόπον ἑλώδη καὶ μεστὸν ὕδατος ἐμπεσοῦσι τοῖς πρώτοις ταξιάρχαις ἐπιθεμένων, στρατιώτης, Καίσαρος αὐτοῦ τὴν μάχην ἐφορῶντος, ὠσάμενος εἰς μέσους, καὶ πολλὰ καὶ περίοπτα τόλμης ἀποδειξάμενος ἔργα, τοὺς μὲν ταξιάρχους ἔσωσε, τῶν βαρβάρων φυγόντων, αὐτὸς δὲ χαλεπῶς ἐπὶ πᾶσι διαβαίνων, ἔῤῥιψεν ἑαυτὸν εἰς ῥεύματα τελματώδη καὶ μόλις ἄνευ τοῦ θυρεοῦ, τὰ μὲν νηχόμενος, τὰ δὲ βαδίζων, διεπέρασε. Θαυμαζόντων δὲ τῶν περὶ τὸν Καίσαρα, καὶ μετὰ χαρᾶς καὶ κραυγῆς ἀπαντώντων, αὐτὸς *εὖ* μάλα κατηφὴς καὶ δεδακρυμένος προσέπεσε τῷ Καίσαρι, συγγνώμην αἰτούμενος ἐπὶ τῷ προέσθαι τὸν θυρεόν· Ἐν δὲ Λιβύῃ ναῦν ἔχοντες οἱ περὶ Σκιπίωνα Καίσαρος, ἐν ᾗ Γράνιος Πέτρων ἐπέπλει, ταμίας ἀποδεδειγμένος, τοὺς μὲν ἄλλους ἐποιοῦντο λείαν, τῷ δὲ ταμίᾳ διδόναι τὴν σωτηρίαν ἔφασαν. Ὁ δ', εἰπὼν, ὅτι τοῖς Καίσαρος στρατιώταις οὐ λαμβάνειν, ἀλλὰ διδόναι σωτηρίαν ἔθος ἐστὶν, ἑαυτὸν τῷ ξίφει πατάξας ἀνεῖλεν.

ΙΖ. Τὰ δὲ τοιαῦτα λήματα καὶ τὰς φιλοτιμίας αὐτὸς ἀνέθρεψε καὶ κατεσκεύασε Καῖσαρ, πρῶτον μὲν τῷ χαρίζεσθαι

καὶ τιμᾶν ἀφειδῶς, ἐνδεικνύμενος, ὅτι τὸν πλοῦτον οὐκ εἰς τρυφὰς ἰδίας, οὐδέ τινας ἡδυπαθείας ἐκ τῶν πολέμων ἀθροίζει, κοινὰ δ' ἆθλα τῆς ἀνδραγαθίας παρ' αὐτῷ φυλασσόμενα ἀπόκειται· καὶ μέτεστιν ἐκείνῳ τοῦ πλουτεῖν, ὅσα τοῖς ἀξίοις τῶν στρατιωτῶν δίδωσιν· ἔπειτα τῷ πάντα μὲν κίνδυνον ἑκὼν ὑφίστασθαι, πρὸς μηδένα δὲ τῶν πόνων ἀπαγορεύειν. Τὸ μὲν οὖν φιλοκίνδυνον οὐκ ἐθαύμαζον αὐτοῦ διὰ τὴν φιλοτιμίαν. Ἡ δὲ τῶν πόνων ὑπομονή, παρὰ τὴν τοῦ σώματος δύναμιν ἐγκαρτερεῖν δοκοῦντος, ἐξέπληττεν· ὅτι καὶ τὴν ἕξιν ὢν ἰσχνός, καὶ τὴν σάρκα λευκὸς καὶ ἁπαλός, καὶ περὶ τὴν κεφαλὴν νοσώδης, καὶ τοῖς ἐπιληπτικοῖς ἔνοχος, ἐν Κορδύβῃ πρῶτον αὐτῷ τοῦ πάθους, ὡς λέγεται, τούτου προσπεσόντος, οὐ μαλακίας ἐποιήσατο τὴν ἀῤῥωςίαν πρόφασιν, ἀλλὰ θεραπείαν τῆς ἀῤῥωστίας τὴν ςρατείαν, ταῖς ἀτρύτοις ὁδοιπορίαις, καὶ ταῖς εὐτελέσι διαίταις, καὶ τῷ θυραυλεῖν ἐνδελεχῶς καὶ ταλαιπωρεῖν, ἀπομαχόμενος τῷ πάθει, καὶ τὸ σῶμα φρουρῶν δυςάλωτον. Ἐκοιμᾶτο μέν γε τοὺς πλείςους ὕπνους ἐν ὀχήμασιν, ἢ φορείοις, εἰς πρᾶξιν τὴν ἀνάπαυσιν κατατιθέμενος· ὠχεῖτο δὲ μεθ ἡμέραν ἐπὶ τὰ φρούρια καὶ τὰς πόλεις καὶ τοὺς χάρακας, ἑνὸς αὐτῷ συγκαθημένου παιδὸς, τῶν ὑπογράφειν ἅμα διώκοντος εἰθισμένων, ἑνὸς δ' ἐξόπισθεν ἐφεστηκότος στρατιώτου, ξίφος ἔχοντος. Συντόνως δὲ ἤλαυνεν οὕτως, ὥστε τὴν πρώτην ἔξοδον ἀπὸ Ῥώμης ποιησάμενος, ὀγδοαῖος ἐπὶ τὸν Ῥοδανὸν ἐλθεῖν. Τὸ μὲν οὖν ἱππεύειν ἐκ παιδὸς ἦν αὐτῷ ῥάδιον· εἴθιστο γὰρ εἰς τοὐπίσω τὰς χεῖρας ἀπάγων, καὶ τῷ νώτῳ περιπλέκων, ἀνὰ κράτος ἐλαύνειν τὸν ἵππον. Ἐν ἐκείνῃ δὲ τῇ στρατείᾳ προσεξήσκησεν ἱππαζόμενος τὰς ἐπιςολὰς ὑπαγορεύειν, καὶ δυσὶν ὁμοῦ γράφουσιν ἐξαρκεῖν· ὡς δ' Ὄππιός φησι, καὶ πλείοσι. Λέγεται δὲ καὶ τὸ διὰ γραμμάτων τοῖς φίλοις ὁμιλεῖν, Καίσαρα πρῶτον μηχανήσασθαι, τὴν κατὰ πρόσωπον ἔντευξιν ὑπὲρ τῶν ἐπειγόντων, τοῦ καιροῦ διά τε πλῆθος ἀσχο-

λιῶν καὶ τῆς πόλεως τὸ μέγεθος μὴ περιμένοντος· Τῆς δὲ περὶ τὴν δίαιταν εὐκολίας κἀκεῖνο ποιοῦνται σημεῖον, ὅτι, τοῦ δειπνίζοντος αὐτὸν ἐν Μεδιολάνῳ ξένου, Οὐαλερίου Λέοντος, παραθέντος ἀσπάραγον, καὶ μύρον ἀντ' ἐλαίου καταχέαντος, αὐτὸς μὲν ἀφελῶς ἔφαγε, τοῖς δὲ φίλοις δυσχεραίνουσιν ἐπέπληξεν. « Ἤρκει γὰρ (ἔφη) τὸ μὴ χρῆσθαι τοῖς ἀπαρέσκουσιν· ὁ » δὲ τὴν τοιαύτην ἀγροικίαν ἐξελέγχων, αὐτός ἐστιν ἄγροικος ». Ἐν ὁδῷ δέ ποτε συνελασθεὶς ὑπὸ χειμῶνος εἰς ἔπαυλιν ἀνθρώπου πένητος, ὡς οὐδὲν εὗρε πλέον οἰκήματος ἑνὸς γλίσχρως ἕνα δέξασθαι δυναμένου, πρὸς τοὺς φίλους εἰπών, ὡς τῶν μὲν ἐντίμων παραχωρητέον εἴη τοῖς κρατίστοις, τῶν δὲ ἀναγκαίων τοῖς ἀσθενεστάτοις, Ὄππιον ἐκέλευσεν ἀναπαύσασθαι· μετὰ δὲ τῶν ἄλλων αὐτὸς ἐν τῷ προστεγίῳ τῆς θύρας ἐκάθευδεν.

ΙΗ. Ἀλλὰ γὰρ ὁ μὲν πρῶτος αὐτῷ τῶν Κελτικῶν πολέμων πρὸς Ἐλβηττίους συνέστη καὶ Τιγυρίνους, οἳ τὰς αὐτῶν δώδεκα πόλεις καὶ κώμας τετρακοσίας ἐμπρήσαντες, ἐχώρουν πρόσω διὰ τῆς ὑπὸ Ῥωμαίοις Γαλατίας, ὥσπερ πάλαι Κίμβροι καὶ Τεύτονες, οὔτε τόλμαν ἐκείνων ὑποδεέστεροι δοκοῦντες εἶναι, καὶ πλῆθος ὁμαλῶς τριάκοντα μὲν αἱ πᾶσαι μυριάδες ὄντες, εἴκοσι δ' αἱ μαχόμεναι, μιᾶς δέουσαι. Τούτων Τιγυρινοὺς μὲν οὐκ αὐτός, ἀλλὰ Λαβιηνὸς πεμφθεὶς ὑπ' αὐτοῦ, περὶ τὸν Ἄραρα ποταμὸν συνέτριψεν. Ἐλβηττίων δ' αὐτῷ πρός τινα πόλιν φίλην ἄγοντι τὴν στρατιάν, καθ' ὁδὸν ἀπροσδοκήτως ἐπιθεμένων, φθάσας ἐπὶ χωρίον καρτερὸν κατέφυγε. Κἀκεῖ συναγαγὼν καὶ παρατάξας τὴν δύναμιν, ὡς ἵππος αὐτῷ προσήχθη· « Τούτῳ μὲν » (ἔφη) νικήσας χρήσομαι πρὸς τὴν δίωξιν, νῦν δ' ἴωμεν ἐπὶ τοὺς » πολεμίους »· καὶ πεζὸς ὁρμήσας ἐνέβαλε. Χρόνῳ δὲ καὶ χαλεπῶς ὠσάμενος τὸ μάχιμον, περὶ ταῖς ἁμάξαις καὶ τῷ χάρακι τὸν πλεῖστον ἔσχε πόνον, οὐκ αὐτῶν μόνον ὑφισταμένων ἐκεῖ καὶ μαχομένων, ἀλλὰ καὶ παῖδες αὐτῶν καὶ γυναῖκες ἀμυνόμεναι

μέχρι θανάτου συγκατεκόπησαν, ὥςε τὴν μάχην μόλις εἰς μέσας νύκτας τελευτῆσαι. Καλῷ δὲ τῷ τῆς νίκης ἔργῳ κρεῖττον ἐπέθηκε, τὸ συνοικίσαι τοὺς διαφυγόντας ἐκ τῆς μάχης τῶν *παρόντων* βαρβάρων, καὶ καταναγκάσαι τὴν χώραν ἀναλαβεῖν, ἣν ἀπέλιπον, καὶ τὰς πόλεις, ἃς διέφθειραν, ὄντας ὑπὲρ δέκα μυριάδας. Ἔπραξε δὲ τοῦτο, δεδιὼς, μὴ τὴν χώραν ἔρημον γενομένην οἱ Γερμανοὶ διαβάντες κατάσχωσι.

ΙΘ· Δεύτερον δὲ πρὸς Γερμανοὺς ἄντικρυς ὑπὲρ Κελτῶν ἐπολέμησε, καίτοι τὸν βασιλέα πρότερον αὐτῶν, Ἀριόβυςον, ἐν Ῥώμῃ σύμμαχον πεποιημένος· ἀλλ᾽ ἦσαν ἀφόρητοι τοῖς ὑπηκόοις αὐτοῦ γείτονες, καὶ καιροῦ παραδόντος, οὐκ ἂν ἐδόκουν ἐπὶ τοῖς παροῦσιν ἀτρεμήσειν, ἀλλ᾽ ἐπινεμήσεσθαι καὶ καθέξειν τὴν Γαλατίαν. Ὁρῶν δὲ τοὺς ἡγεμόνας ἀποδειλιῶντας, καὶ μάλιςα ὅσοι τῶν ἐπιφανῶν καὶ νέων αὐτῷ συνεξῆλθον, ὡς δὴ τρυφῇ χρησόμενοι καὶ χρηματισμῷ τῇ μετὰ Καίσαρος ςρατείᾳ· συναγαγὼν εἰς ἐκκλησίαν, ἐκέλευσεν ἀπιέναι, καὶ μὴ κινδυνεύειν παρὰ γνώμην, οὕτως ἀνάνδρως καὶ μαλακῶς ἔχοντας· αὐτὸς δ᾽ ἔφη τὸ δέκατον τάγμα μόνον παραλαβὼν, ἐπὶ τοὺς βαρβάρους πορεύσεσθαι, μήτε κρείττοσι μέλλων Κίμβρων μάχεσθαι πολεμίοις, μήτ᾽ αὐτὸς ὢν Μαρίου χείρων ςρατηγός. Ἐκ τούτου τὸ μὲν δέκατον τάγμα πρεσβευτὰς ἔπεμψε πρὸς αὐτὸν, χάριν ἔχειν ὁμολογοῦντες· τὰ δ᾽ ἄλλα τοὺς ἑαυτῶν ἐκάκιζον ἡγεμόνας. Ὁρμῆς δὲ καὶ προθυμίας γενόμενοι πλήρεις ἅπαντες ἠκολούθησαν ὁδὸν ἡμερῶν πολλῶν, ἕως ἐν διακοσίοις [ἀπὸ] τῶν πολεμίων ςαδίοις κατεςρατοπέδευσαν. Ἦν μὲν οὖν ὅ τι καὶ πρὸς τὴν ἔφοδον αὐτὴν ἐτέθραυςο τῆς τόλμης τοῦ Ἀριοβύςου. Γερμανοῖς γὰρ ἐπιθήσεσθαι Ῥωμαίους, ὧν ἐπερχομένων οὐκ ἂν ἐδόκουν ὑποςῆναι, *ὁ* μὴ προσδοκήσας, ἐθαύμαζε τὴν Καίσαρος τόλμαν, καὶ τὸν ςρατὸν ἑώρα τεταραγμένον. Ἔτι δὲ μᾶλλον αὐτοὺς ἤμβλυνε τὰ μαντεύματα τῶν ἱερῶν γυναικῶν, αἵ ποταμῶν δίναις

προσβλέπουσαι, καὶ ῥευμάτων ἑλιγμοῖς καὶ ψόφοις τεκμαιρόμεναι προεθέσπιζον, οὐκ ἐῶσαι μάχην τίθεσθαι, πρὶν ἐπιλάμψαι νέαν σελήνην. Ταῦτα τῷ Καίσαρι πυνθανομένῳ, καὶ τοὺς Γερμανοὺς ἡσυχάζοντας ὁρῶντι, καλῶς ἔχειν ἔδοξεν ἀπροθύμοις οὖσιν αὐτοῖς συμβαλεῖν μᾶλλον, ἢ τὸν ἐκείνων ἀναμένοντα καιρὸν καθῆσθαι. Καὶ προσβολὰς ποιούμενος τοῖς ἐρύμασι καὶ λόφοις, ἐφ' ὧν ἐστρατοπέδευον, ἐξηγρίαινε καὶ παρώξυνε καταβάντας πρὸς ὀργὴν διαγωνίσασθαι. Γενομένης δὲ λαμπρᾶς τροπῆς αὐτῶν, ἐπὶ σταδίους τριακοσίους ἄχρι τοῦ Ῥήνου διώξας, κατέπλησε τοῦτο πᾶν νεκρῶν τὸ πεδίον καὶ λαφύρων. Ἀριόβυστος δὲ, φθάσας μετ' ὀλίγων, διεπέρασε τὸν Ῥῆνον. Ἀριθμὸν δὲ νεκρῶν μυριάδας ὀκτὼ γενέσθαι λέγουσι.

Κ. Ταῦτα διαπραξάμενος, τὴν μὲν δύναμιν ἐν Σηκουανοῖς ἀπέλιπε διαχειμάσουσαν, αὐτὸς δὲ τοῖς ἐν Ῥώμῃ προσέχειν βουλόμενος, εἰς τὴν περὶ Πάδον Γαλατίαν κατέβη, τῆς αὐτῷ δεδομένης ἐπαρχίας οὖσαν. Ὁ γὰρ καλούμενος Ῥουβίκων ποταμὸς ἀπὸ τῆς ὑπὸ ταῖς Ἄλπεσι Κελτικῆς ὁρίζει τὴν ἄλλην Ἰταλίαν. Ἐνταῦθα καθήμενος ἐδημαγώγει, πολλῶν πρὸς αὐτὸν ἀφικνουμένων, διδοὺς ὧν ἕκαστος δεηθείη· καὶ πάντας ἀποπέμπων, τὰ μὲν ἔχοντας ἤδη παρ' αὐτοῦ, τὰ δ' ἐλπίζοντας. Καὶ παρὰ τὸν ἄλλον δὲ πάντα τῆς στρατείας χρόνον ἐλάνθανε τὸν Πομπήϊον, ἐν μέρει νῦν μὲν τοὺς πολεμίους τοῖς τῶν πολιτῶν ὅπλοις καταστρεφόμενος, νῦν δὲ τοῖς ἀπὸ τῶν πολεμίων χρήμασιν αἱρῶν τοὺς πολίτας καὶ χειρούμενος. Ἐπεὶ δὲ Βέλγας ἤκουσε δυνατωτάτους Κελτῶν, καὶ τὴν τρίτην ἁπάσης τῆς Κελτικῆς νεμομένους, ἀφεστάναι, πολλὰς δή τινας μυριάδας ἐνόπλων ἀνδρῶν ἠθροικότας, ἐπιστρέψας εὐθὺς ἐχώρει τάχει πολλῷ· καὶ πορθοῦσι τοὺς συμμάχους Γαλάτας ἐπιπεσὼν τοῖς πολεμίοις, τοὺς μὲν ἀθρουστάτους καὶ πλείστους αἰσχρῶς ἀγωνισαμένους τρεψάμενος διέφθειρεν, ὥστε καὶ λίμνας καὶ ποταμοὺς

βαθεῖς τοῖς Ῥωμαίοις νεκρῶν πλήθει περατοὺς γενέσθαι. Τῶν δ᾽ ἀποςάντων οἱ μὲν παρωκεάνιοι πάντες ἀμαχεὶ προσεχώρησαν. Ἐπὶ δὲ τοὺς ἀγριωτάτους καὶ μαχιμωτάτους τῶν τῇδε, Νερβίους, ἐςράτευσεν, οἵπερ εἰς συμμιγεῖς δρυμοὺς κατῳκημένοι, γυναῖκας δὲ καὶ κτήσεις ἔν τινι βυθῷ τῆς ὕλης ἀπωτάτω θέμενοι τῶν πολεμίων, αὐτοὶ τῷ Καίσαρι, ποιουμένῳ χάρακα καὶ μὴ προσδεχομένῳ τηνικαῦτα τὴν μάχην, ἑξακισμύριοι τὸ πλῆθος ὄντες, αἰφνιδίως προσέπεσον· καὶ τοὺς μὲν ἱππεῖς ἐτρέψαντο, τῶν δὲ ταγμάτων τὸ δωδέκατον καὶ τὸ ἕβδομον περισχόντες, ἅπαντας ἀπέκτειναν τοὺς ταξιάρχους. Εἰ δὲ μὴ Καῖσαρ ἁρπάσας τὸν θυρεὸν, καὶ διασχὼν τοὺς πρὸ αὐτοῦ μαχομένους, ἐνέβαλε τοῖς βαρβάροις, καὶ ἀπὸ τῶν ἄκρων τὸ δέκατον κινδυνεύοντος αὐτοῦ κατέδραμε, καὶ διέκοψε τὰς τάξεις τῶν πολεμίων, οὐδεὶς ἂν ἐδόκει περιγενέσθαι. Νῦν δὲ τῇ Καίσαρος τόλμῃ τὴν λεγομένην ὑπὲρ δύναμιν μάχην ἀγωνισάμενοι, τρέπονται μὲν οὐδ᾽ ὡς τοὺς Νερβίους, κατακόπτουσι δ᾽ ἀμυνομένους. Πεντακόσιοι γὰρ ἀπὸ μυριάδων ἓξ σωθῆναι λέγονται, βουλευταὶ δὲ τρεῖς ἀπὸ τετρακοσίων.

ΚΑ. Ταῦτα ἡ σύγκλητος πυθομένη, πεντεκαίδεκα ἡμέρας ἐψηφίσατο θύειν τοῖς θεοῖς καὶ σχολάζειν ἑορτάζοντας, ὅσας ἐπ᾽ οὐδεμιᾷ νίκῃ πρότερον. Καὶ γὰρ ὁ κίνδυνος ἐφάνη μέγας, ἐθνῶν ἅμα τοσούτων ἀναῤῥαγέντων, καὶ τὸ νίκημα λαμπρότερον, ὅτι Καῖσαρ ἦν ὁ νικῶν, ἡ πρὸς ἐκεῖνον εὔνοια τῶν πολλῶν ἐποίει. Καὶ γὰρ αὐτὸς εὖ θέμενος τὰ κατὰ τὴν Γαλατίαν, πάλιν ἐν τοῖς περὶ Πάδον χωρίοις διεχείμαζε, συσκευαζόμενος τὴν πόλιν. Οὐ γὰρ μόνον οἱ τὰς ἀρχὰς παραγγέλλοντες, ἐκείνῳ χρώμενοι χορηγῷ, καὶ τοῖς παρ᾽ ἐκείνου χρήμασι διαφθείροντες τὸν δῆμον, ἀνηγορεύοντο, καὶ πᾶν ἔπραττον, ὃ τὴν ἐκείνου δύναμιν αὔξειν ἔμελλεν, ἀλλὰ καὶ τῶν ἐπιφανεςάτων ἀνδρῶν καὶ μεγίςων οἱ πλεῖςοι συνῆλθον πρὸς αὐτὸν εἰς Λοῦκαν,

Πομπήϊός τε καὶ Κράσσος, καὶ Ἄππιος, ὁ τῆς Σαρδόνος ἡγεμὼν, καὶ Νέπως, ὁ τῆς Ἰϐηρίας ἀνθύπατος· ὥςε ῥαϐδούχους μὲν ἑκατὸν εἴκοσι γενέσθαι, συγκλητικοὺς δὲ πλείονας, ἢ διακοσίους. Βουλὴν δὲ θέμενοι, διεκρίθησαν ἐπὶ τούτοις· ἔδει Πομπήϊον μὲν καὶ Κράσσον ὑπάτους ἀποδειχθῆναι, Καίσαρι δὲ χρήματα καὶ πενταετίαν ἄλλην ἐπιμετρηθῆναι τῆς στρατηγίας· ὃ καὶ παραλογώτατον ἐφαίνετο τοῖς νοῦν ἔχουσιν. Οἱ γὰρ τοσαῦτα χρήματα παρὰ Καίσαρος λαμϐάνοντες, ὡς οὐκ ἔχοντι διδόναι τὴν βουλὴν ἔπειθον, μᾶλλον δ' ἠνάγκαζον ἐπιςένουσαν οἷς ἐψηφίζοντο, Κάτωνος μὲν οὐ παρόντος· ἐπίτηδες γὰρ αὐτὸν εἰς Κύπρον ἀπεδιοπομπήσαντο· Φαωνίου δ', ὃς ἦν ζηλωτὴς Κάτωνος, ὡς οὐδὲν ἐπέραινεν ἀντιλέγων, ἐξαλομένου διὰ θυρῶν, καὶ βοῶντος εἰς τὸ πλῆθος. Ἀλλὰ προσεῖχεν οὐδεὶς, τῶν μὲν, Πομπήϊον αἰδουμένων καὶ Κράσσον· οἱ δὲ πλεῖςοι, Καίσαρι χαριζόμενοι, καὶ πρὸς τὰς ἀπ' ἐκείνου ζῶντες ἐλπίδας ἡσύχαζον.

ΚΒ. Τραπόμενος δ' αὖθις ὁ Καῖσαρ ἐπὶ τὰς ἐν τῇ Κελτικῇ δυνάμεις, πολὺν καταλαμϐάνει πόλεμον ἐν τῇ χώρᾳ, δύο Γερμανικῶν ἐθνῶν μεγάλων ἐπὶ κατακτήσει γῆς ἄρτι τὸν Ῥῆνον διαϐεϐηκότων· Οὐσίπας καλοῦσι τοὺς ἑτέρους, τοὺς δὲ Τεντερίδας. Περὶ δὲ τῆς πρὸς τούτους γενομένης μάχης ὁ μὲν Καῖσαρ ἐν ταῖς ἐφημερίσι γέγραφεν, ὡς οἱ βάρϐαροι διαπρεσϐευόμενοι πρὸς αὐτὸν, ἐν σπονδαῖς ἐπιθοῖντο καθ' ὁδὸν, καὶ διὰ τοῦτο τρέψαιντο τοὺς αὐτοῦ, πεντακισχιλίους ὄντας ἱππεῖς, ὀκτακοσίοις τοῖς ἐκείνων μὴ προσδοκῶντας· εἶτα πέμψειαν ἑτέρους πρὸς αὐτὸν αὖθις ἐξαπατῶντας, οὓς κατασχὼν ἐπαγάγοι τοῖς βαρϐάροις τὸ στράτευμα, τὴν πρὸς οὕτως ἀπίστους καὶ παρασπόνδους πίστιν εὐήθειαν ἡγούμενος. Γανύσιος δὲ λέγει Κάτωνα, τῆς βουλῆς ἐπὶ τῇ νίκῃ ψηφιζομένης ἑορτὰς καὶ θυσίας, ἀποφήνασθαι γνώμην, ὡς ἐκδοτέον ἐςὶ τὸν Καίσαρα τοῖς

βαρβάροις, ἀφοσιουμένους τὸ παρασπόνδημα ὑπὲρ τῆς πόλεως, καὶ τὴν ἀρὰν εἰς τὸν αἴτιον τρέποντας. Τῶν δὲ διαβάντων αἱ μὲν κατακοπεῖσαι τεσσαράκοντα μυριάδες ἦσαν· ὀλίγους δὲ τοὺς ἀποπεράσαντας αὖθις ὑπεδέξαντο Σούγαμβροι, Γερμανικὸν ἔθνος. Καὶ ταύτην λαβὼν αἰτίαν ἐπ' αὐτοὺς ὁ Καῖσαρ, ἄλλως δὲ δόξης ἐφιέμενος καὶ τοῦ πρῶτος ἀνθρώπων στρατῷ διαβῆναι τὸν Ῥῆνον, ἐγεφύρου πλάτος τε πολὺν ὄντα, καὶ κατ' ἐκεῖνο τοῦ πόρου μάλιστα πλημμυροῦντα, καὶ τραχὺν καὶ ῥοώδη, καὶ τοῖς καταφερομένοις στελέχεσι καὶ ξύλοις πληγὰς καὶ σπαραγμοὺς ἐνδιδόντα κατὰ τῶν ἐρειδόντων τὴν γέφυραν. Ἀλλὰ ταῦτα προβόλοις ξύλων μεγάλων διὰ τοῦ πόρου καταπεπηγότων ἀναδεχόμενος, καὶ χαλινώσας τὸ προσπῖπτον ῥεῦμα τῷ ζεύγματι, πίστεως πάσης θέαμα κρεῖττον ἐπεδείξατο, τὴν γέφυραν ἡμέραις δέκα συντελεσθεῖσαν.

ΚΓ. Περαιώσας δὲ τὴν δύναμιν, οὐδενὸς ὑπαντιάσαι τολμήσαντος, ἀλλὰ καὶ τῶν ἡγεμονικωτάτων τοῦ Γερμανοῦ, Σουήβων, εἰς βαθεῖς καὶ ὑλώδεις αὐλῶνας ἀνασκευασαμένων, πυρπολήσας μὲν τὴν τῶν πολεμίων, θαρρύνας δὲ τοὺς ἀεὶ τὰ Ῥωμαίων ἀσπαζομένους, ἀνεχώρησεν αὖθις εἰς τὴν Γαλατίαν, εἴκοσι δυεῖν δεούσας ἡμέρας ἐν τῇ Γερμανικῇ διατετριφώς. Ἡ δ' ἐπὶ τοὺς Βρετανοὺς στρατεία τὴν μὲν τόλμαν εἶχεν ὀνομαστήν· πρῶτος γὰρ εἰς τὸν ἑσπέριον Ὠκεανὸν ἐπέβη στόλῳ, καὶ διὰ τῆς Ἀτλαντίδος θαλάττης, στρατὸν ἐπὶ πόλεμον κομίζων, ἔπλευσε· καὶ νῆσον, ἀπιστουμένην ὑπὸ μεγέθους, καὶ πολλὴν ἔριν παμπόλλοις συγγραφεῦσι παρασχοῦσαν, ὡς ὄνομα καὶ λόγος οὐ γενομένης, οὐδ' οὔσης, πέπλασται, κατασχεῖν ἐπιθέμενος, προήγαγεν ἔξω τῆς οἰκουμένης τὴν Ῥωμαίων ἡγεμονίαν. Δὶς δὲ διαπλεύσας εἰς τὴν νῆσον ἐκ τῆς ἀντιπέρας Γαλατίας, καὶ μάχαις πολλαῖς κακώσας τοὺς πολεμίους μᾶλλον, ἢ τοὺς ἰδίους ὠφελήσας (οὐδὲν γάρ, ὅτι καὶ λαβεῖν ἦν ἄξιον ἀπ' ἀνθρώπων

κακοβίων καὶ πενήτων), οὐχ', οἷον ἐβούλετο, τῷ πολέμῳ τέλος ἐπέθηκεν, ἀλλ' ὁμήρους λαβὼν παρὰ τοῦ βασιλέως, καὶ ταξάμενος φόρους, ἀπῆρεν ἐκ τῆς νήσου. Καὶ καταλαμβάνει γράμματα μέλλοντα διαπλεῖν πρὸς αὐτὸν, ἀπὸ τῶν ἐν Ῥώμῃ φίλων, δηλοῦντα τὴν τῆς θυγατρὸς αὐτοῦ τελευτήν· ἐτελεύτα δὲ τίκτουσα παρὰ Πομπηΐῳ. Καὶ μέγα μὲν αὐτὸν ἔσχε Πομπήϊον, μέγα δὲ καὶ Καίσαρα πένθος· οἱ δὲ φίλοι συνεταράχθησαν, ὡς τῆς ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ τἆλλα νοσοῦσαν τὴν πολιτείαν φυλασσούσης οἰκειότητος λελυμένης. Καὶ γὰρ τὸ βρέφος εὐθὺς, οὐ πολλὰς ἡμέρας μετὰ τὴν μητέρα διαζῆσαν, ἐτελεύτησε. Τὴν μὲν οὖν Ἰουλίαν βίᾳ τῶν δημάρχων ἀράμενον τὸ πλῆθος εἰς τὸ Ἄρειον ἤνεγκε πεδίον, κἀκεῖ κηδευθεῖσα κεῖται.

ΚΔ. Τοῦ δὲ Καίσαρος μεγάλην ἤδη τὴν δύναμιν οὖσαν εἰς πολλὰ κατ' ἀνάγκην χειμάδια διελόντος, αὐτοῦ δὲ πρὸς τὴν Ἰταλίαν, ὥσπερ εἰώθει, τραπομένου, πάντα μὲν αὖθις ἀνεῤῥήγνυτο τὰ τῶν Γαλατῶν, καὶ στρατοὶ μεγάλοι περιιόντες, ἐξέκοπτον τὰ χειμάδια, καὶ προσεμάχοντο τοῖς χαρακώμασι τῶν Ῥωμαίων. Οἱ δὲ πλεῖστοι καὶ κράτιστοι τῶν ἀποστάντων μετ' Ἀμβιόριγος Κότταν μὲν αὐτῷ στρατοπέδῳ καὶ Τιτούριον διέφθειραν· τὸ δὲ ὑπὸ Κικέρωνι τάγμα μυριάσιν ἓξ περισχόντες ἐπολιόρκουν, καὶ μικρὸν ἀπέλιπον ᾑρηκέναι κατὰ κράτος, συντετρωμένων ἁπάντων, καὶ παρὰ δύναμιν ὑπὸ προθυμίας ἀμυνομένων· Ὡς δ' ἠγγέλη ταῦτα τῷ Καίσαρι μακρὰν ὄντι, ταχέως ἐπιστρέψας καὶ συναγαγὼν ἑπτακισχιλίους τοὺς σύμπαντας, ἠπείγετο τὸν Κικέρωνα τῆς πολιορκίας ἐξαιρησόμενος. Τοὺς δὲ πολιορκοῦντας οὐκ ἔλαθεν, ἀλλ' ἀπήντων ὡς ἀναρπασόμενοι, τῆς ὀλιγότητος καταφρονήσαντες. Κἀκεῖνος ἐξαπατῶν ὑπέφευγεν ἀεὶ, καὶ χωρία λαβὼν ἐπιτηδείως ἔχοντα πρὸς πολλοὺς μαχομένῳ μετ' ὀλίγων, φράγνυται στρατόπεδον· καὶ μάχης ἔσχε τοὺς ἑαυτοῦ πάσης, ἀναγαγεῖν δὲ τὸν χάρακα καὶ τὰς πύλας

ἐνοικοδομεῖν, ὡς δεδοικότας, ἠνάγκαζε, καταφρονηθῆναι ϛρατηγῶν. Μέχρις οὗ σποράδην ὑπὸ θράσους προσβάλλοντας ἐπεξελθὼν ἐτρέψατο, καὶ πολλοὺς αὐτῶν διέφθειρε.

ΚΕ· Τοῦτο τὰς πολλὰς ἀποστάσεις τῶν ἐνταῦθα Γαλατῶν κατεστόρεσε, καὶ τοῦ χειμῶνος αὐτὸς, ἐπιφοιτῶν τε πανταχόσε, καὶ προσέχων ὀξέως τοῖς νεωτερισμοῖς. Καὶ γὰρ ἧκεν ἐξ Ἰταλίας ἀντὶ τῶν ἀπολωλότων αὐτῷ τρία τάγματα, Πομπηΐου μὲν ἐκ τῶν ὑφ' αὑτῷ δύο χρήσαντος, ἓν δὲ νεοσύλλεκτον ἐκ τῆς περὶ Πάδον Γαλατίας. Πόῤῥω δὲ τούτων αἱ πάλαι καταβεβλημέναι κρύφα καὶ νεμόμεναι διὰ τῶν δυνατωτάτων ἀνδρῶν ἐν τοῖς μαχιμωτάτοις γένεσιν ἀρχαὶ τοῦ μεγίϛου καὶ κινδυνωδεστάτου τῶν ἐκεῖ πολέμων ἀνεφαίνοντο, ῥωσθεῖσαι πολλῇ μὲν ἡλικίᾳ, καὶ πανταχόθεν ὅπλοις ἀθροισθεῖσι, μεγάλοις δὲ πλούτοις εἰς ταὐτὸ συνενεχθεῖσιν, ἰσχυραῖς δὲ πόλεσι, δυσεμβόλοις δὲ χώραις. Τότε δὲ χειμῶνος ὥρᾳ, πάγοι ποταμῶν, καὶ νιφετοῖς ἀποκεκρυμμένοι δρυμοὶ, καὶ παιδία χειμάῤῥοις ἐπιλελιμνασμένα, καὶ πῆ μὲν ἀτέκμαρτοι βάθει χιόνος ἀτραποὶ, πῆ δὲ δι' ἑλῶν καὶ ῥευμάτων παρατρεπομένων ἀσάφεια πολλὴ τῆς πορείας· παντάπασιν ἐδόκουν ἀνεπιχείρητα Καίσαρι τὰ τῶν ἀφιϛαμένων ποιεῖν. Ἀφειστήκει μὲν οὖν πολλὰ φῦλα, πρόσχημα δ' ἦσαν Ἀρβέρνοι καὶ Καρνουτῖνοι. Τὸ δὲ σύμπαν αἱρεθεὶς κράτος εἶχε τοῦ πολέμου Οὐεργεντόριξ, οὗ τὸν πατέρα Γαλάται, τυραννίδα δοκοῦντα πράττειν, ἀπέκτειναν.

ΚϚ. Οὗτος οὖν, εἰς πολλὰ διελὼν τὴν δύναμιν μέρη, καὶ πολλοὺς ἐπιστήσας ἡγεμόνας, ᾠκειοῦτο τὴν πέριξ ἅπασαν ἄχρι τῶν πρὸς τὸν Ἄραρα κεκλιμένων, διανοούμενος, ἤδη τῶν ἐν Ῥώμῃ συνισταμένων ἐπὶ Καίσαρα, σύμπασαν ἐγείρειν τῷ πολέμῳ Γαλατίαν. Ὅπερ εἰ μικρὸν ὕστερον ἔπραξε, Καίσαρος εἰς τὸν ἐμφύλιον ἐμπεσόντος πόλεμον, οὐκ ἂν ἐλαφρότεροι τῶν Κιμβρικῶν ἐκείνων φόβοι τὴν Ἰταλίαν κατέσχον. Νυνὶ δ' ὁ πᾶσι

μὲν ἄριστα χρῆσθαι *δοκῶν* τοῖς πρὸς πόλεμον, μάλιςα δὲ καιρῷ πεφυκὼς Καῖσαρ, ἅμα τῷ πυθέσθαι τὴν ἀπόστασιν, ἄρας ἐχώρει ταῖς αὐταῖς ὁδοῖς, ἃς διῆλθε, καὶ βίᾳ καὶ τάχει τῆς πορείας διὰ τοσούτου χειμῶνος, ἐπιδειξάμενος τοῖς βαρβάροις, ὡς ἄμαχος αὐτοῖς καὶ ἀήττητος ἔπεισι στρατός. Ὅπου γὰρ ἄγγελον, ἢ γραμματοφόρον, διαδῦναι παρ' αὐτοῦ χρόνῳ πολλῷ ἦν ἄπιστον, ἐνταῦθα μετὰ πάσης ἑωρᾶτο τῆς ςρατιᾶς, ἅμα χώρας λυμαινόμενος αὐτῶν καὶ ἐκκόπτων τὰ χωρία, καταςρεφόμενος πόλεις, ἀναλαμβάνων τοὺς μετατιθεμένους· μέχρι καὶ τὸ τῶν Αἰδούων ἔθνος ἐξεπολεμώθη πρὸς αὐτὸν, οἳ τὸν ἄλλον χρόνον ἀδελφοὺς ἀναγορεύσαντες αὐτοὺς Ῥωμαίων, καὶ τιμώμενοι διαπρεπῶς, τότε δὲ τοῖς ἀποςάταις προσγενόμενοι, πολλὴν τῇ Καίσαρος ςρατιᾷ περιέστησαν ἀθυμίαν. Διόπερ καὶ κινήσας ἐκεῖθεν, ὑπερέβαλε τὰ Λιγγονικὰ, βουλόμενος ἅψασθαι τῆς Σηκουανῶν, φίλων ὄντων καὶ προκειμένων τῆς Ἰταλίας πρὸς τὴν ἄλλην Γαλατίαν. Ἐνταῦθα δ' αὐτῷ τῶν πολεμίων ἐπιπεσόντων, καὶ περισχόντων μυριάσι πολλαῖς, ὁρμήσας διαγωνίσασθαι, τοῖς μὲν ὅλοις καταπολεμῶν ἐκράτησε, χρόνῳ πολλῷ καὶ φόνῳ καταβιασάμενος τοὺς βαρβάρους· ἔδοξε δὲ κατ' ἀρχάς τι καὶ σφαλῆναι, καὶ δεικνύουσιν Ἀρβέρνοι ξιφίδιον πρὸς ἱερῷ κρεμάμενον, ὡς δὴ Καίσαρος λάφυρον. Ὃ θεασάμενος αὐτὸς ὕςερον, ἐμειδίασε, καὶ τῶν φίλων καθελεῖν κελευόντων, οὐκ εἴασεν, ἱερὸν ἡγούμενος.

ΚΖ. Οὐ μὴν ἀλλὰ τότε τῶν διαφυγόντων οἱ πλεῖστοι μετὰ τοῦ βασιλέως εἰς πόλιν Ἀλησίαν συνέφυγον, καὶ πολιορκοῦντι ταύτην Καίσαρι, δοκοῦσαν ἀνάλωτον εἶναι μεγέθει τε τειχῶν καὶ πλήθει τῶν ἀπομαχομένων, ἐπιπίπτει παντὸς λόγου μείζων κίνδυνος ἔξωθεν. Ὁ γὰρ ἦν ἐν Γαλατίᾳ κράτιςον ἀπὸ τῶν ἐθνῶν ἀθροισθὲν, ἐν ὅπλοις ἧκον ἐπὶ τὴν Ἀλησίαν, τριάκοντα μυριάδες. αἱ δ' ἐν αὐτῇ τῶν μαχομένων οὐκ ἐλάττονες ἦσαν

ἑπτακαίδεκα μυριάδων. Ὥστε ἐν μέσῳ πολέμου τοσούτου τὸν Καίσαρα κατειλημμένον καὶ πολιορκούμενον ἀναγκασθῆναι διττὰ τείχη προβαλέσθαι, τὸ μὲν πρὸς τὴν πόλιν, τὸ δ' ἀπὸ τῶν ἐπεληλυθότων, ὡς, εἰ συνέλθοιεν αἱ δυνάμεις, κομιδῇ διαπεπραγμένων τῶν καθ' αὐτόν. Διὰ πολλὰ μὲν οὖν εἰκότως ὁ πρὸς Ἀλησίᾳ κίνδυνος ἔσχε δόξαν, ὡς ἔργα τόλμης καὶ δεινότητος, οἷα τῶν ἄλλων ἀγώνων οὐδεὶς, παρασχόμενος· μάλιστα δ' ἄν τις θαυμάσειε τὸ λαθεῖν τοὺς ἐν τῇ πόλει Καίσαρα τοσαύταις μυριάσι ταῖς ἔξω συμβαλόντα καὶ περιγενόμενον· μᾶλλον δὲ καὶ τῶν Ῥωμαίων τοὺς τὸ πρὸς τὴν πόλιν τεῖχος φυλάττοντας. Οὐ γὰρ πρότερον ᾔσθοντο τὴν νίκην, ἢ κλαυθμὸν ἐκ τῆς Ἀλησίας ἀνδρῶν καὶ κοπετὸν γυναικῶν ἀκουσθῆναι, θεασαμένων ἄρα κατὰ θάτερα μέρη πολλοὺς μὲν ἀργύρῳ καὶ χρυσῷ κεκοσμημένους θυρεοὺς, πολλοὺς δ' αἵματι πεφυρμένους θώρακας, ἔτι δ' ἐκπώματα καὶ σκηνὰς Γαλατικὰς ὑπὸ Ῥωμαίων εἰς τὸ ϛρατόπεδον κομιζομένας. Οὕτως ὀξέως ἡ τοσαύτη δύναμις, ὥσπερ εἴδωλον, ἢ ὄνειρον, ἠφάνιϛο καὶ διεπεφόρητο, τῶν πλείϛων ἐν τῇ μάχῃ πεσόντων. Οἱ δὲ τὴν Ἀλησίαν ἔχοντες, οὐκ ὀλίγα πράγματα παρασχόντες ἑαυτοῖς καὶ Καίσαρι, τέλος παρέδοσαν ἑαυτούς. Ὁ δὲ τοῦ σύμπαντος ἡγεμὼν πολέμου, Οὐεργεντόριξ, ἀναλαβὼν τῶν ὅπλων τὰ κάλλιστα, καὶ κοσμήσας τὸν ἵππον, ἐξιππάσατο διὰ τῶν πυλῶν· καὶ κύκλῳ περὶ τὸν Καίσαρα καθεζόμενον ἐλάσας, εἶτ' ἀφαλόμενος τοῦ ἵππου, τὴν μὲν πανοπλίαν ἀπέῤῥιψεν, αὐτὸς δὲ καθίσας ὑπὸ πόδας τοῦ Καίσαρος ἡσυχίαν ἦγεν, ἄχρις οὗ παρεδόθη φρουρησόμενος ἐπὶ τὸν θρίαμβον.

ΚΗ. Καίσαρι δὲ πάλαι μὲν ἐδέδοκτο καταλύειν Πομπήϊον, ὥσπερ ἀμέλει κἀκείνῳ τοῦτον. Κράσσου γὰρ ἐν Πάρθοις ἀπολωλότος, ὃς ἦν ἔφεδρος ἀμφοῖν, ἀπελείπετο τῷ μὲν, ὑπὲρ τοῦ γενέσθαι μεγίστῳ, τὸν ὄντα καταλύειν, τῷ δ', ἵνα μὴ πάθῃ τοῦτο

προαναιρεῖν, ὃν ἐδεδοίκει. Τοῦτο δὲ Πομπηΐῳ μὲν ἐξ ὀλίγου φοβεῖσθαι παρέστη, τέως ὑπερορῶντι Καίσαρος, ὡς οὐ χαλεπὸν ἔργον [ὂν], ὃν αὐτὸς ηὔξησε, καταλυθῆναι πάλιν ὑπ' αὐτοῦ· Καῖσαρ δ', ἀπ' ἀρχῆς ὑπόθεσιν ταύτην πεποιημένος, ἀπὸ τῶν ἀνταγωνιστῶν, ὥσπερ ἀθλητής, ἑαυτὸν ἀποστήσας μακρὰν, καὶ τοῖς Κελτικοῖς ἐγγυμνασάμενος πολέμοις, ἐπήσκησε μὲν τὴν δύναμιν, ηὔξησε δὲ τὴν δόξαν ἀπὸ τῶν ἔργων, εἰς ἀντίπαλον ἀρθεὶς τοῖς Πομπηίου κατορθώμασι, λαμβάνων προφάσεις, τὰς μὲν αὐτοῦ Πομπηΐου, τὰς δὲ τῶν καιρῶν ἐνδιδόντων, καὶ τῆς ἐν Ῥώμῃ κακοπολιτείας, δι' ἣν οἱ μὲν ἀρχὰς μετιόντες, ἐν μέσῳ θέμενοι τραπέζας, ἐδέκαζον ἀναισχύντως τὰ πλήθη, κατῄει δ' ὁ δῆμος ἔμμισθος, οὐ ψήφοις ὑπὲρ τοῦ δεδωκότος, ἀλλὰ τόξοις καὶ ξίφεσι καὶ σφενδόναις ἁμιλλώμενος. Αἵματι δὲ καὶ νεκροῖς πολλάκις αἰσχύναντες τὸ βῆμα διεκρίθησαν, ἐν ἀναρχίᾳ τὴν πόλιν, ὥσπερ ἀκυβέρνητον [ναῦν], ὑποφερομένην ἀπολιπόντες· ὥστε τοὺς νοῦν ἔχοντας ἀγαπᾷν, εἰ πρὸς μηδὲν αὐτοῖς χεῖρον, ἀλλὰ μοναρχίαν, ἐκ τοιαύτης παραφροσύνης καὶ τοσούτου κλύδωνος ἐκπεσεῖται τὰ πράγματα. Πολλοὶ δ' ἦσαν οἱ καὶ λέγειν ἐν μέσῳ τολμῶντες ἤδη, πλὴν ὑπὸ μοναρχίας ἀνήκεστον εἶναι τὴν πολιτείαν, καὶ τὸ φάρμακον τοῦτο χρῆναι τοῦ πρᾳοτάτου τῶν ἰατρῶν ἀνασχέσθαι προσφέροντος· ὑποδηλοῦντες τὸν Πομπήϊον. Ἐπεὶ δὲ κἀκεῖνος, λόγῳ παραιτεῖσθαι καλλωπιζόμενος, ἔργῳ παντὸς μᾶλλον ἐπέραινεν ἐξ ὧν ἀναδειχθήσοιτο δικτάτωρ, συμφρονήσαντες οἱ περὶ Κάτωνα, πείθουσι τὴν γερουσίαν ὕπατον αὐτὸν ἀποδεῖξαι μόνον, ὡς μὴ βιάσαιτο δικτάτωρ γενέσθαι, νομιμωτέρᾳ μοναρχίᾳ παρηγορηθείς. Οἱ δὲ καὶ χρόνον ἐψηφίσαντο τῶν ἐπαρχιῶν. Δύο δ' εἶχεν, Ἰβηρίαν καὶ Λιβύην σύμπασαν, ἃς διῴκει πρεσβευτὰς ἀποστέλλων, καὶ στρατεύματα τρέφων, οἷς ἐλάμβανεν ἐκ τοῦ δημοσίου ταμιείου χίλια τάλαντα καθ' ἕκαστον ἐνιαυτόν.

ΚΘ. Ἐκ τούτου Καῖσαρ ὑπατείαν ἐμνᾶτο πέμπων, καὶ χρόνον ὁμοίως τῶν ἰδίων ἐπαρχιῶν. Τὸ μὲν οὖν πρῶτον Πομπηΐου σιωπῶντος, οἱ περὶ Μάρκελλον καὶ Λέντλον ἠναντιοῦντο, μισοῦντες ἄλλως Καίσαρα, καὶ τοῖς ἀναγκαίοις οὐκ ἀναγκαῖα προστιθέντες εἰς ἀτιμίαν αὐτοῦ καὶ προπηλακισμόν. Νεωκομίτας γὰρ ἔναγχος ὑπὸ Καίσαρος ἐν Γαλατίᾳ κατῳκισμένους ἀφῃροῦντο τῆς πολιτείας· καὶ Μάρκελλος ὑπατεύων, ἕνα τῶν ἐκεῖ βουλευτῶν, εἰς Ῥώμην ἀφικόμενον, ᾔκισε ῥάβδοις, ἐπιλέγων, ὡς ταῦτα τοῦ μὴ Ῥωμαῖον εἶναι παράσημα προστίθησιν αὐτῷ, καὶ δεικνύειν ἀπιόντα Καίσαρι ἐκέλευε. Μετὰ δὲ Μάρκελλον, ἤδη Καίσαρος τὸν Γαλατικὸν πλοῦτον ἀρύεσθαι ῥύδην ἀφεικότος πᾶσι τοῖς πολιτευομένοις, καὶ Κουρίωνα μὲν δημαρχοῦντα πολλῶν ἐλευθερώσαντος δανείων, Παύλῳ δὲ, ὑπάτῳ ὄντι, χίλια καὶ πεντακόσια τάλαντα δόντος, ἀφ' ὧν καὶ τὴν βασιλικὴν ἐκεῖνος, ὀνομαστὸν ἀνάθημα, τῇ ἀγορᾷ προσῳκοδόμησεν, ἀντὶ τῆς Φουλβίας οἰκοδομηθεῖσαν· οὕτω δὴ φοβηθεὶς τὴν σύστασιν ὁ Πομπήϊος, ἀναφανδὸν ἤδη δι' ἑαυτοῦ καὶ τῶν φίλων ἔπραττεν ἀποδειχθῆναι διάδοχον Καίσαρι τῆς ἀρχῆς· καὶ πέμπων ἀπῄτει τοὺς στρατιώτας, οὓς ἔχρησεν αὐτῷ πρὸς τοὺς Κελτικοὺς ἀγῶνας. Ὁ δ' ἀποπέμπει, δωρησάμενος ἕκαστον ἄνδρα πεντήκοντα καὶ διακοσίαις δραχμαῖς· οἱ δὲ τούτους Πομπηΐῳ κομίσαντες, εἰς μὲν τὸ πλῆθος οὐκ ἐπιεικεῖς, οὐδὲ χρηστοὺς κατέσπειραν λόγους ὑπὲρ τοῦ Καίσαρος, αὐτὸν δὲ Πομπήϊον ἐλπίσι κεναῖς διέφθειραν, ὡς ποθούμενον ὑπὸ τῆς Καίσαρος στρατιᾶς, καὶ τὰ μὲν ἐνταῦθα διὰ φθόνον καὶ πολιτείας ὑπούλους μόλις ἔχοντα, τῆς δ' ἐκεῖ δυνάμεως ἑτοίμης ὑπαρχούσης αὐτῷ, κἂν μόνον ὑπερβάλωσιν εἰς Ἰταλίαν, εὐθὺς ἐσομένης πρὸς ἐκεῖνον· οὕτω γεγονέναι τὸν Καίσαρα πλήθει στρατειῶν λυπηρὸν αὐτοῖς, καὶ φόβῳ μοναρχίας ὕποπτον. Ἐπὶ τούτοις Πομπήϊος ἐχαυνοῦτο, καὶ παρασκευῆς μὲν ἠμέλει στρατιωτῶν,

ὡς μὴ δεδοικὼς, λόγοις δὲ καὶ γνώμαις κατεπολιτεύετο τῷ δοκεῖν Καίσαρα, καταψηφιζόμενος. Ὧν ἐκεῖνος οὐδὲν ἐφρόντιζεν· ἀλλὰ λέγεται, τινὰ τῶν ἀφιγμένων παρ' αὐτοῦ ταξιαρχῶν, ἑςῶτα πρὸ τοῦ βουλευτηρίου, καὶ πυθόμενον, ὡς οὐ δίδωσιν ἡ γερουσία Καίσαρι χρόνον τῆς ἀρχῆς· « Ἀλλ' αὕτη (φάναι) » δώσει »· κρούσαντα τῇ χειρὶ τὴν λαβὴν τῆς μαχαίρας.

Λ. Οὐ μὴν ἀλλ' ἥ γε παρὰ Καίσαρος ἀξίωσις τὸ πρόσχημα τῆς δικαιολογίας λαμπρὸν εἶχεν. Ἠξίου γὰρ αὐτός τε καταθέσθαι τὰ ὅπλα, καὶ Πομπηΐου ταὐτὸ πράξαντος, ἀμφοτέρους ἰδιώτας γενομένους εὑρίσκεσθαί τι παρὰ τῶν πολιτῶν ἀγαθόν· ὡς τοὺς αὐτὸν μὲν ἀφαιρουμένους, ἐκείνῳ δ' ἣν εἶχε βεβαιοῦντας δύναμιν, ἕτερον διαβάλλοντας, ἕτερον κατασκευάζειν τύραννον. Ταῦτα προκαλούμενος ἐν τῷ δήμῳ Κουρίων ὑπὲρ Καίσαρος, ἐκροτεῖτο λαμπρῶς· οἱ δὲ καὶ ςεφάνους ἐπ' αὐτὸν, ὥσπερ ἀθλητὴν, ἀνθοβολοῦντες ἠφίεσαν. Ἀντώνιος δὲ δημαρχῶν Καίσαρος ὑπὲρ τούτων ἐπιςολὴν κομισθεῖσαν εἰς τὸ πλῆθος ἐξήνεγκε, καὶ ἀνέγνω βίᾳ τῶν ὑπάτων. Ἐν δὲ τῇ βουλῇ Σκιπίων μὲν, ὁ Πομπηΐου πενθερὸς, εἰσηγήσατο γνώμην, ἂν ἐν ἡμέρᾳ ῥητῇ μὴ κατάθηται τὰ ὅπλα Καῖσαρ, ἀποδειχθῆναι πολέμιον αὐτόν. Ἐρωτώντων δὲ τῶν ὑπάτων, εἰ δοκεῖ Πομπήϊον ἀφεῖναι τοὺς ςρατιώτας, καὶ πάλιν, εἰ δοκεῖ Καίσαρα, τῇ μὲν ὀλίγοι παντάπασι, τῇ δὲ πάντες παρ' ὀλίγους προσέθεντο. Τῶν δὲ περὶ Ἀντώνιον πάλιν ἀξιούντων ἀμφοτέρους τὴν ἀρχὴν ἀφεῖναι, πάντες ὁμαλῶς προσεχώρησαν. Ἀλλ' ἐκβιαζομένου Σκιπίωνος, καὶ Λέντλου τοῦ ὑπάτου βοῶντος, ὅπλων δεῖν πρὸς ἄνδρα λῃςὴν, οὐ ψήφων, τότε μὲν διελύθησαν, καὶ μετεβάλοντο τὰς ἐσθῆτας ἐπὶ πένθει διὰ τὴν ςάσιν.

ΛΑ. Ἐπεὶ δὲ παρὰ Καίσαρος ἧκον ἐπιςολαὶ μετριάζειν δοκοῦντος (ἠξίου γὰρ ἀφεὶς τἆλλα πάντα, τὴν ἐντὸς Ἄλπεων, καὶ τὸ Ἰλλυρικὸν μετὰ δυεῖν ταγμάτων αὐτῷ δοθῆναι, μέχρις

οὗ τὴν δευτέραν ὑπατείαν μέτεισι), καὶ Κικέρων ὁ ῥήτωρ, ἄρτι παρὼν ἐκ Κιλικίας καὶ διαλλαγὰς πράττων, ἐμάλαττε τὸν Πομπήϊον· ὁ δὲ, τἄλλα συγχωρῶν, τοὺς ςρατιώτας ἀφῄρει. Καὶ Κικέρων μὲν ἔπειθε τοὺς Καίσαρος φίλους συνενδόντας ἐπὶ ταῖς εἰρημέναις ἐπαρχίαις, καὶ ςρατιώταις μόνοις ἑξακισχιλίοις, ποιεῖσθαι τὰς διαλύσεις. Πομπηΐου δὲ καμπτομένου καὶ διδόντος, οἱ περὶ Λέντλον οὐκ εἴων ὑπατεύοντες, ἀλλὰ καὶ τῆς βουλῆς Ἀντώνιον καὶ Κουρίωνα προπηλακίσαντες, ἐξήλασαν ἀτίμως, τὴν εὐπρεπεςάτην Καίσαρι τῶν προφάσεων αὐτοὶ μηχανησάμενοι, καὶ δι' ἧς μάλιςα τοὺς ςρατιώτας παρώξυνεν, ἐπιδεικνύμενος ἄνδρας ἐλλογίμους καὶ ἄρχοντας ἐπὶ μισθίων ζευγῶν πεφευγότας ἐν ἐσθῆσιν οἰκετικαῖς. Οὕτω γὰρ ἀπὸ Ῥώμης σκευάσαντες ἑαυτοὺς διὰ φόβον ὑπεξῆσαν.

ΑΒ. Ἦσαν μὲν οὖν περὶ αὐτὸν οὐ πλείους ἱππέων τριακοσίων καὶ πεντακισχιλίων ὁπλιτῶν· τὸ γὰρ ἄλλο ςράτευμα πέραν Ἄλπεων ἀπολελειμμένον ἔμελλον ἄξειν οἱ πεμφθέντες. Ὁρῶν δὲ τὴν ἀρχὴν ὧν ἐνίςατο πραγμάτων καὶ τὴν ἔφοδον οὐ πολυχειρίας δεομένην ἐν τῷ παρόντι μᾶλλον, ἢ θάμβει τε τόλμης καὶ τάχει καιροῦ καταληπτέαν οὖσαν (ἐκπλήξειν γὰρ ἀπιςούμενος ῥᾷον, ἢ βιάσεσθαι μετὰ παρασκευῆς ἐπελθὼν), τοὺς μὲν ἡγεμόνας καὶ ταξιάρχους ἐκέλευσε, μαχαίρας ἔχοντας ἄνευ τῶν ἄλλων ὅπλων, κατασχεῖν Ἀρίμινον, τῆς Ἰταλίας μεγάλην πόλιν, ὡς ἐνδέχεται μάλιςα φεισαμένους φόνου καὶ ταραχῆς· Ὁρτησίῳ δὲ τὴν δύναμιν παρέδωκεν. Αὐτὸς δὲ τὴν μὲν ἡμέραν διήγαγεν ἐν φανερῷ, μονομάχοις ἐφεςὼς γυμναζομένοις καὶ θεώμενος. Μικρὸν δὲ πρὸ ἑσπέρας θεραπεύσας τὸ σῶμα, καὶ παρελθὼν εἰς τὸν ἀνδρῶνα, καὶ συγγενόμενος βραχέα τοῖς κεκλημένοις ἐπὶ τὸ δεῖπνον, ἤδη συσκοτάζοντος ἐξανέςη, * καὶ* τοὺς μὲν ἄλλους φιλοφρονηθεὶς, καὶ κελεύσας περιμένειν αὐτὸν ὡς ἐπανελευσόμενον· ὀλίγοις δὲ τῶν φίλων προείρητο, μὴ κατὰ

τὸ αὐτὸ πάντας, ἄλλον δ' ἄλλῃ διώκειν. Αὐτὸς δὲ τῶν μισθίων ζευγῶν ἐπιβὰς ἑνὸς, ἤλαυνεν ἑτέραν τινὰ πρῶτον ὁδὸν, εἶτα πρὸς τὸ Ἀρίμινον ἐπιστρέψας, ὡς ἦλθεν ἐπὶ τὸν ὁρίζοντα τὴν ἐντὸς Ἄλπεων Γαλατίαν ἀπὸ τῆς ἄλλης Ἰταλίας ποταμὸν (Ρουβίκων καλεῖται), καὶ λογισμὸς αὐτὸν εἰσῄει μᾶλλον ἐγγίζοντα τῷ δεινῷ, καὶ περιφερόμενον τῷ μεγέθει τῶν τολμωμένων, ἔσχετο δρόμου· καὶ τὴν πορείαν ἐπιστήσας, πολλὰ μὲν αὐτὸς ἐν ἑαυτῷ διήνεγκε, σιγῇ τὴν γνώμην ἐπ' ἀμφότερα μεταλαμβάνων, καὶ τροπὰς ἔσχεν αὐτῷ τότε τὸ βούλευμα πλείστας· πολλὰ δὲ καὶ τῶν φίλων τοῖς παροῦσιν, ὧν ἦν καὶ Πολλίων Ἀσίνιος, συνδιηπόρησεν, ἀναλογιζόμενος, ἡλίκων κακῶν ἄρξει πᾶσιν ἀνθρώποις ἡ διάβασις, ὅσον τε λόγον αὐτῆς τοῖς αὖθις ἀπολείψουσι· Τέλος δὲ μετὰ θυμοῦ τινος, ὥσπερ ἀφεὶς ἑαυτὸν ἐκ τοῦ λογισμοῦ πρὸς τὸ μέλλον, καὶ τοῦτο δὴ τὸ κοινὸν τοῖς εἰς τύχας ἐμβαίνουσιν ἀπόρους καὶ τόλμας προοίμιον ὑπειπών. « Ἀνεῤῥίφθω κύβος». ὥρμησε πρὸς τὴν διάβασιν· καὶ δρόμῳ τὸ λοιπὸν ἤδη χρώμενος, εἰσέπεσε πρὸ ἡμέρας εἰς τὸ Ἀρίμινον, καὶ κατέσχε. Λέγεται δὲ τῇ προτέρᾳ νυκτὶ τῆς διαβάσεως ὄναρ ἰδεῖν ἔκθεσμον· ἐδόκει γὰρ αὐτὸς τῇ ἑαυτοῦ μητρὶ μίγνυσθαι τὴν ἄῤῥητον μίξιν.

ΛΓ. Ἐπεὶ δὲ κατελήφθη τὸ Ἀρίμινον, ὥσπερ ἀνεῳγμένου τοῦ πολέμου πλατείαις πύλαις ἐπὶ πᾶσαν ὁμοῦ τὴν γῆν καὶ θάλασσαν, καὶ συγκεχυμένων ἅμα τοῖς ὅροις τῆς ἐπαρχίας τῶν νόμων τῆς πόλεως, οὐκ ἄνδρας ἄν τις ᾠήθη καὶ γυναῖκας, ὥσπερ ἄλλοτε, σὺν ἐκπλήξει διαφοιτᾷν τῆς Ἰταλίας, ἀλλὰ τὰς πόλεις αὐτὰς ἀνισταμένας, φυγῇ διαφέρεσθαι δι' ἀλλήλων· τὴν δὲ Ῥώμην, ὥσπερ ὑπὸ ῥευμάτων πιμπλαμένην, φυγαῖς τῶν πέριξ δήμων καὶ μεταστάσεσιν, οὔτ' ἄρχοντι πεῖσαι ῥᾳδίαν οὖσαν, οὔτε λόγῳ καθεκτὴν, ἐν πολλῷ κλύδωνι καὶ σάλῳ, μικρὸν ἀπολιπεῖν αὐτὴν ὑφ' αὑτῆς ἀνατετράφθαι. Πάθη γὰρ ἀντίπαλα,



[library stamp]

καὶ βίαια κατεῖχε κινήματα πάντα τόπον. Οὔτε γὰρ τὸ χαῖρον ἡσυχίαν ἦγεν, ἀλλὰ τῷ δεδοικότι καὶ λυπουμένῳ κατὰ πολλὰ συμπίπτον ἐν μεγάλῃ πόλει, καὶ θρασυνόμενον ὑπὲρ τοῦ μέλλοντος, δι' ἐρίδων ἦν· αὐτόν τε Πομπήϊον ἐκπεπληγμένον ἄλλος ἀλλαχόθεν ἐτάραττε, τοῖς μὲν, ὡς ηὔξησε Καίσαρα καθ' ἑαυτοῦ καὶ τῆς ἡγεμονίας, εὐθύνας ὑπέχοντα, τῶν δ', ὅτι παραχωροῦντα καὶ προτεινόμενον εὐγνώμονας διαλύσεις ἀφῆκε τοῖς περὶ Λέντλον ὑβρίσαι, κατηγορούντων. Φαώνιος δ' αὐτὸν ἐκέλευσε τῷ ποδὶ τύπτειν τὴν γῆν· ἐπεὶ μεγαληγορῶν ποτε πρὸς τὴν σύγκλητον, οὐδὲν εἶα πολυπραγμονεῖν, οὐδὲ φροντίζειν ἐκείνους τῆς ἐπὶ τὸν πόλεμον παρασκευῆς· αὐτὸς γὰρ, ὅποι ἂν ἐπίῃ, κρούσας τὸ ἔδαφος τῷ ποδὶ, στρατευμάτων ἐμπλήσειν τὴν Ἰταλίαν. Οὐ μὴν ἀλλὰ καὶ τότε πλήθει δυνάμεως ὑπερέβαλεν ὁ Πομπήϊος τὴν Καίσαρος· εἴασε δ' οὐδεὶς τὸν ἄνδρα χρήσασθαι τοῖς ἑαυτοῦ λογισμοῖς, ἀλλ' ὑπ' ἀγγελμάτων πολλῶν καὶ ψευδῶν καὶ φόβων, ὡς ἐφεστῶτος ἤδη τοῦ πολεμίου, καὶ πάντα κατέχοντος, εἴξας συνεξεκρούσθη τῇ πάντων φορᾷ, καὶ ψηφίζεται ταραχὴν ὁρᾶν, καὶ τὴν πόλιν ἐξέλιπε, κελεύσας ἕπεσθαι τὴν γερουσίαν, καὶ μηδένα μένειν τὸν πρὸ τῆς τυραννίδος ᾑρημένων τὴν πατρίδα καὶ τὴν ἐλευθερίαν.

ΛΔ. Οἱ μὲν οὖν ὕπατοι μηδ' ἃ νόμος ἐστὶ πρὸ ἐξόδου θύσαντες ἔφυγον· ἔφευγον δὲ καὶ τῶν βουλευτῶν οἱ πλεῖστοι, τρόπον τινὰ δι' ἁρπαγῆς ἀπὸ τῶν ἰδίων, ὅ τι τύχοιεν, ὥσπερ ἀλλοτρίων, λαμβάνοντες. Εἰσὶ δ' οἵ, καὶ σφόδρα τὰ Καίσαρος ᾑρημένοι πρότερον, ἐξέπεσον ὑπὸ θάμβους τότε τῶν λογισμῶν, καὶ συμπαρηνέχθησαν, οὐδὲν δεόμενοι, τῷ ῥεύματι τῆς φορᾶς ἐκείνης. Οἰκτρότατον δὲ θέαμα τῆς πόλεως ἦν, ἐπιφερομένου τοσούτου χειμῶνος, ὥσπερ νεὼς ὑπὸ κυβερνητῶν ἀπαγορευόντων πρὸς τὸ συντυχὸν ἐκπεσεῖν ἀναγκαζομένης. Ἀλλὰ καίπερ οὕτω τῆς μεταστάσεως οἰκτρᾶς οὔσης, τὴν μὲν φυγὴν οἱ ἄν-

θρωποι πατρίδα διὰ Πομπήϊον ἡγοῦντο, τὴν δὲ Ῥώμην, ὡς Καίσαρος στρατόπεδον ἐξέλειπον. Ὅπου καὶ Λαβιηνὸς, ἀνὴρ ἐν τοῖς μάλιστα φίλος Καίσαρος, καὶ πρεσβευτὴς γεγονὼς, καὶ συνηγωνισμένος ἐν πᾶσι προθυμότατα τοῖς Κελτικοῖς πολέμοις, τότ' ἐκεῖνον ἀποδρὰς, ᾤχετο πρὸς Πομπήϊον. Ἀλλὰ τούτῳ μὲν καὶ τὰ χρήματα καὶ τὰς ἀποσκευὰς ἀπέπεμψεν ὁ Καῖσαρ. Δομιτίῳ δ' ἡγουμένῳ σπειρῶν τριάκοντα, καὶ κατέχοντι Κορφίνιον ἐπελθὼν παρεςρατοπέδευσεν. Ὁ δ', ἀπογνοὺς τὰ καθ' ἑαυτὸν, ᾔτησε τὸν ἰατρὸν οἰκέτην ὄντα φάρμακον· καὶ λαβὼν τὸ δοθὲν, ἔπιεν ὡς τεθνηξόμενος. Μετ' ὀλίγον δ' ἀκούσας, τὸν Καίσαρα θαυμαστῇ τινι φιλανθρωπίᾳ χρῆσθαι πρὸς τοὺς ἑαλωκότας, αὐτὸς αὐτὸν ἀπεθρήνει, καὶ τὴν ὀξύτατα τοῦ βουλεύματος ᾐτιᾶτο. Τοῦ δ' ἰατροῦ θαῤῥύνοντος αὐτὸν, ὡς ὑπνωτικὸν, οὐ θανάσιμον, πεπωκότα, περιχαρὴς ἀναστὰς ἀπῄει πρὸς Καίσαρα, καὶ λαβὼν δεξιὰν, αὖθις διεξέπεσε πρὸς Πομπήϊον. Ταῦτ' εἰς τὴν Ῥώμην ἀπαγγελλόμενα τοὺς ἀνθρώπους ἡδίους ἐποίει, καί τινες φυγόντες ἀνέςρεψαν.

ΛΕ. Ὁ δὲ Καῖσαρ τήν τε τοῦ Δομιτίου ςρατιὰν παρέλαβε, καὶ τοὺς ἄλλους, ὅσους ἐν ταῖς πόλεσι Πομπηΐῳ ςρατολογουμένους ἔφθασε καταλαβών. Πολὺς δὲ γεγονὼς ἤδη καὶ φοβερὸς ἐπ' αὐτὸν ἤλαυνε Πομπήϊον. Ὁ δ' οὐκ ἐδέξατο τὴν ἔφοδον, ἀλλ' εἰς Βρεντήσιον φυγὼν, τοὺς μὲν ὑπάτους πρότερον ἔστειλε μετὰ δυνάμεως εἰς Δυῤῥάχιον, αὐτὸς δ' ὀλίγον ὕστερον ἀπελθόντος Καίσαρος ἐξέπλευσεν, ὡς ἐν τοῖς περὶ ἐκείνου γραφησομένοις τὰ καθ' ἕκαςα δηλωθήσεται. Καίσαρι δὲ βουλομένῳ μὲν εὐθὺς διώκειν ἀπορία νεῶν ἦν. Εἰς δὲ τὴν Ῥώμην ἀνέςρεψε, γεγονὼς ἐν ἡμέραις ἑξήκοντα πάσης ἀναιμωτὶ τῆς Ἰταλίας κύριος. Ἐπεὶ δὲ καὶ τὴν πόλιν εὗρε μᾶλλον, ἢ προσεδόκα, καθεςῶσαν, καὶ τῶν ἀπὸ βουλῆς ἐν αὐτῇ συχνοὺς, τούτοις μὲν ἐπιεικῆ καὶ δημοτικὰ διελέχθη, παρακαλῶν αὐτοὺς καὶ πρὸς

Πομπήϊον ἀποστέλλειν ἄνδρας ἐπὶ συμβάσεσι πρεπούσαις· ὑπήκουσε δ' οὐδεὶς, εἴτε φοβούμενοι Πομπήϊον ἐγκαταλελειμμένον, εἴτε νομίζοντες, οὐχ οὕτω Καίσαρα φρονεῖν, ἀλλ' εὐπρεπείᾳ λόγων χρῆσθαι. Τοῦ δὲ δημάρχου, Μετέλλου, κωλύοντος αὐτὸν ἐκ τῶν ἀποθέτων χρήματα λαμβάνειν, καὶ νόμους τινὰς προφέροντος οὐκ ἔφη τὸν αὐτὸν ὅπλων καὶ νόμων καιρὸν εἶναι· « Σὺ » δ' εἰ τοῖς πραττομένοις δυσκολαίνεις, νῦν μὲν ἐκποδὼν ἄπιθι· » παῤῥησίας γὰρ οὐ δεῖται πόλεμος. Ὅταν δὲ καταθῶμαι τὰ » ὅπλα, συμβάσεων γενομένων, τότε παριὼν δημαγωγήσεις. Καὶ » ταῦτα (ἔφη) λέγω τῶν ἐμαυτοῦ δικαίων ὑφιέμενος. Ἐμὸς γὰρ » εἶ σὺ, καὶ πάντες, ὅσους εἴληφα τῶν πρὸς ἐμὲ στασιασάντων ». Ταῦτα πρὸς τὸν Μέτελλον εἰπὼν, ἐβάδιζε πρὸς τὰς θύρας τοῦ ταμιείου. Μὴ φαινομένων δὲ τῶν κλειδῶν, χαλκεῖς μεταπεμψάμενος, ἐκκόπτειν ἐκέλευεν· αὖθις δ' ἐνισταμένου τοῦ Μετέλλου, καί τινων ἐπαινούντων, διατεινάμενος ἠπείλησεν ἀποκτενεῖν αὐτὸν, εἰ μὴ παύσαιτο παρενοχλῶν. «Καὶ τοῦτο (ἔφη), μειράκιον, » οὐκ ἀγνοεῖς, ὅτι μοι δυσκολώτερον ἦν εἰπεῖν, ἢ πρᾶξαι». Οὗτος ὁ λόγος τότε καὶ Μέτελλον ἀπελθεῖν ἐποίησε καταδείσαντα, καὶ τἄλλα ῥᾳδίως αὐτῷ καὶ ταχέως ὑπηρετεῖσθαι πρὸς τὸν πόλεμον.

ΛϚ. Ἐστράτευε δ' εἰς Ἰβηρίαν, πρότερον ἐγνωκὼς τοὺς περὶ Ἀφράνιον καὶ Βάρωνα Πομπηΐου πρεσβευτὰς ἐκβαλεῖν, καὶ τὰς ἐκεῖ δυνάμεις καὶ τὰς ἐπαρχίας ὑφ' αὑτῷ ποιησάμενος, οὕτως ἐπὶ Πομπήϊον ἐλαύνειν, μηδένα κατὰ νώτου τῶν πολεμίων ὑπολιπόμενος. Κινδυνεύσας δὲ καὶ [τῷ] σώματι πολλάκις κατ' ἐνέδρας, καὶ τῷ στρατῷ μάλιστα διὰ λιμὸν, οὐκ ἀνῆκε πρότερον διώκων καὶ προκαλούμενος καὶ περιταφρεύων τοὺς ἄνδρας, ἢ κύριον βίᾳ γενέσθαι τῶν στρατοπέδων, καὶ τῶν δυνάμεων. Οἱ δ' ἡγεμόνες ᾤχοντο πρὸς Πομπήϊον φεύγοντες.

ΛΖ. Ἐπανελθόντα δ' εἰς Ῥώμην Καίσαρα Πείσων μὲν ὁ πενθερὸς παρεκάλει πρὸς Πομπήϊον ἀποστέλλειν ἄνδρας ὑπὲρ

διαλύσεως, Ἰσαυρικὸς δὲ Καίσαρι χαριζόμενος ἀντεῖπεν. Αἱρεθεὶς δὲ δικτάτωρ ὑπὸ τῆς βουλῆς, φυγάδας τε κατήγαγε, καὶ τῶν ἐπὶ Σύλλα δυστυχησάντων τοὺς παῖδας ἐπιτίμους ἐποίησε, καὶ σεισαχθείᾳ τινὶ τόκων ἐκούφιζε τοὺς χρεωφειλέτας. ἄλλων τε τοιούτων ἥψατο πολιτευμάτων, οὐ πολλῶν· ἀλλ' ἐν ἡμέραις ἕνδεκα τὴν μὲν μοναρχίαν ἀπειπάμενος, ὕπατον δ' ἀναδείξας ἑαυτὸν καὶ Σερουΐλιον Ἰσαυρικὸν, εἴχετο τῆς στρατείας. Καὶ τὰς μὲν ἄλλας δυνάμεις καθ' ὁδὸν ἐπειγόμενος παρῆλθεν, ἱππεῖς δ' ἔχων λογάδας ἑξακοσίους, καὶ πέντε τάγματα, χειμῶνος ἐν τροπαῖς ὄντος ἱσταμένου Ἰανουαρίου μηνὸς (οὗτος δ' ἂν εἴη Ποσειδεὼν Ἀθηναίοις), ἀφῆκεν εἰς τὸ πέλαγος· καὶ διαβαλὼν τὸν Ἰόνιον, Ὤρικον καὶ Ἀπολλωνίαν αἱρεῖ, τὰ δὲ πλοῖα πάλιν ἀπέπεμψεν εἰς Βρεντήσιον ἐπὶ τοὺς ὑστερίσαντας τῇ πορείᾳ στρατιώτας. Οἱ δ', ἄχρι μὲν καθ' ὁδὸν ἦσαν, ἅτε δὴ καὶ παρηκμακότες ἤδη τοῖς σώμασι, καὶ πρὸς τὰ πλήθη τῶν πολέμων ἀπειρηκότες, ἐν αἰτίαις εἶχον τὸν Καίσαρα· «Ποῖ δὴ, καὶ πρὸς τί πέρας, » ἡμᾶς ὁ ἀνὴρ καταθήσεται, περιφέρων καὶ χρώμενος ὥσπερ » ἀτρύτοις καὶ ἀψύχοις ἡμῖν; καὶ σίδηρος ἐξέκαμε πληγαῖς, καὶ » θυρεοῦ τις ἐστὶ φειδὼ ἐν χρόνῳ τοσούτῳ καὶ θώρακος. Οὐδ' » ἀπὸ τῶν τραυμάτων ἄρα λογίζεται Καῖσαρ, ὅτι θνητῶν μὲν » ἄρχει, θνητὰ δὲ πεφύκαμεν πάσχειν καὶ ἀλγεῖν; ὥραν δὲ χει» μῶνος καὶ πνεύματος ἐν θαλάττῃ καιρὸν οὐδὲ θεῷ βιάζεσθαι » δυνατόν· ἀλλ' οὗτος παραβάλλεται, καθάπερ οὐ διώκων πολε» μίους, ἀλλὰ φεύγων». Τοιαῦτα λέγοντες ἐπορεύοντο σχολαίως εἰς τὸ Βρεντήσιον. Ὡς δὲ ἐλθόντες εὗρον ἀνηγμένον τὸν Καίσαρα, ταχὺ πάλιν αὖ μεταβαλόντες, ἐκάκιζον ἑαυτοὺς, προδότας ἀποκαλοῦντες τοῦ αὐτοκράτορος. Ἐκάκιζον δὲ καὶ τοὺς ἡγεμόνας οὐκ ἐπιταχύναντας τὴν πορείαν. Καθήμενοι δ' ἐπὶ τῶν ἄκρων πρὸς τὸ πέλαγος καὶ τὴν Ἤπειρον, ἀπεσκόπουν τὰς ναῦς, ἐφ' ὧν ἔμμελον περαιοῦσθαι πρὸς ἐκεῖνον.

ΛΗ. Ἐν δὲ Ἀπολλωνίᾳ Καῖσαρ, οὐκ ἔχων ἀξιόμαχον τὴν μεθ' ἑαυτοῦ δύναμιν, βραδυνούσης δὲ τῆς ἐκεῖθεν, ἀπορούμενος καὶ περιπαθῶν, δεινὸν ἐβούλευσε βούλευμα, κρύφα πάντων εἰς πλοῖον ἐμβὰς, τὸ μέγεθος δωδεκάσκαλμον, ἀναχθῆναι πρὸς τὸ Βρεντήσιον, τηλικούτοις στόλοις περιεχομένου τοῦ πελάγους ὑπὸ τῶν πολεμίων. Νυκτὸς οὖν ἐσθῆτι θεράποντος ἐπικρυψάμενος ἀνέβη, καὶ καταβαλὼν ἑαυτὸν, ὥς τινα τῶν παρημελημένων, ἡσύχαζε· Τοῦ δὲ Ἀνίου ποταμοῦ τὴν ναῦν ὑποφέροντος εἰς τὴν θάλασσαν, τὴν μὲν ἑωθινὴν αὔραν, ἣ παρεῖχε τηνικαῦτα περὶ τὰς ἐκβολὰς γαλήνην, ἀπωθοῦσα πόῤῥω τὸ κῦμα, πολὺς πνεύσας πελάγιος διὰ νυκτὸς [ἄνεμος] ἀπέσβεσε· πρὸς δὲ τὴν πλημμύραν τῆς θαλάσσης καὶ τὴν ἀντίβασιν τοῦ κλύδωνος ἀγριαίνων ὁ ποταμὸς, καὶ τραχὺς ἅμα καὶ κτύπῳ μεγάλῳ καὶ σκληραῖς ἀνακοπτόμενος δίναις, ἄπορος ἦν βιασθῆναι τῷ κυβερνήτῃ· καὶ μεταβαλεῖν ἐκέλευσε τοὺς ναύτας ὡς ἀποστρέψων τὸν πλοῦν. Αἰσθόμενος δ' ὁ Καῖσαρ ἀναδείκνυσιν ἑαυτὸν, καὶ τοῦ κυβερνήτου λαβόμενος τῆς χειρὸς, ἐκπεπληγμένου πρὸς τὴν ὄψιν· « Ἴθι (ἔφη), γενναῖε, τόλμα καὶ δέδιθι μηδέν· Καίσαρα φέρεις, » καὶ τὴν Καίσαρος τύχην συμπλέουσαν». Ἐλάθοντο τοῦ χειμῶνος οἱ ναῦται, καὶ ταῖς κώπαις ἐμφύντες, ἐβιάζοντο πάσῃ προθυμίᾳ τὸν ποταμόν. Ὡς δ' ἦν ἄπορα, δεξάμενος πολλὴν θάλατταν, καὶ κινδυνεύσας ἐν τῷ στόματι, συνεχώρησε μάλ' ἄκων τῷ κυβερνήτῃ μεταβαλεῖν. Ἀνιόντι δ' αὐτῷ κατὰ πλῆθος ἀπήντων οἱ στρατιῶται, πολλὰ μεμφόμενοι καὶ δυσπαθοῦντες, εἰ μὴ πέπεισται καὶ σὺν αὐτοῖς μόνοις ἱκανὸς εἶναι νικᾶν, ἀλλ' ἄχθεται καὶ παραβάλλεται διὰ τοὺς ἀπόντας, ὡς ἀπιστῶν τοῖς παροῦσιν.

ΛΘ. Ἐκ τούτου κατέπλευσε μὲν Ἀντώνιος ἀπὸ Βρεντησίου τὰς δυνάμεις ἄγων. Θαῤῥήσας δὲ Καῖσαρ προὐκαλεῖτο Πομπήϊον, ἱδρυμένον ἐν καλῷ, καὶ χορηγούμενον ἔκ τε γῆς καὶ θαλάττης ἀποχρώντως, αὐτὸς ἐν οὐκ ἀφθόνοις διάγων κατ'

ἀρχὰς, ὕστερον δὲ καὶ σφόδρα πιεσθεὶς ἀπορίᾳ τῶν ἀναγκαίων. Ἀλλὰ ῥίζαν τινὰ κόπτοντες οἱ στρατιῶται, καὶ γάλακτι φυρῶντες, προσεφέροντο, καί ποτε καὶ διαπλάσαντες ἐξ αὐτῆς ἄρτους, καὶ ταῖς προφυλακαῖς τῶν πολεμίων ἐπιδραμόντες, ἔβαλλον εἴσω καὶ διεῤῥίπτουν, ἐπιλέγοντες, ὡς, ἄχρις ἂν ἡ γῆ τοιαύτας ἐκφέρῃ ῥίζας, οὐ παύσονται πολιορκοῦντες Πομπήϊον. Ὁ μέντοι Πομπήϊος οὔτε τοὺς ἄρτους, οὔτε τοὺς λόγους εἴα τούτους ἐκφέρεσθαι πρὸς τὸ πλῆθος. Ἠθύμουν γὰρ οἱ στρατιῶται, τὴν ἀγριότητα καὶ τὴν ἀπάθειαν τῶν πολεμίων, ὥσπερ θηρίων, ὀῤῥωδοῦντες. Ἀεὶ δέ τινες περὶ τοῖς ἐρύμασι τοῖς Πομπηΐου μάχαι σποράδες ἐγίγνοντο· καὶ περιῆν πάσαις ὁ Καῖσαρ, πλὴν μιᾶς, ἐν ᾗ, τροπῆς μεγάλης γενομένης, ἐκινδύνευσεν ἀπολέσαι τὸ στρατόπεδον. Πομπηΐου γὰρ προσβαλόντος, οὐδεὶς ἔμεινεν, ἀλλὰ καὶ τάφροι κατεπίμπλαντο κτεινομένων, καὶ περὶ τοῖς αὐτῶν χαρακώμασι καὶ περιτειχίσμασιν ἔπιπτον ἐλαυνόμενοι προτροπάδην. Καῖσαρ δ' ὑπαντιάζων, ἐπειρᾶτο μὲν ἀναστρέφειν τοὺς φεύγοντας, ἐπέραινε δ' οὐδέν· ἀλλ' ἐπιλαμβανομένου τῶν σημείων ἀπεῤῥίπτουν οἱ κομίζοντες, ὥστε δύο καὶ τριάκοντα λαβεῖν τοὺς πολεμίους, αὐτὸς δὲ παρὰ μικρὸν ἦλθεν ἀποθανεῖν· Ἀνδρὶ γὰρ μεγάλῳ καὶ ῥωμαλέῳ, φεύγοντι παρ' αὐτὸν, ἐπιβαλὼν τὴν χεῖρα, μένειν ἐκέλευσε, καὶ στρέφεσθαι πρὸς τοὺς πολεμίους. Ὁ δὲ, μεστὸς ὢν ταραχῆς παρὰ τὸ δεινὸν, ἐπήρατο τὴν μάχαιραν, ὡς καθιξόμενος· φθάνει δ' ὁ τοῦ Καίσαρος ὑπασπιστὴς ἀποκόψας αὐτοῦ τὸν ὦμον. Οὕτω δ' ἀπέγνω τὰ καθ' αὑτὸν ὥστ', ἐπεὶ Πομπήϊος ὑπ' εὐλαβείας τινὸς, ἢ τύχης, ἔργῳ μεγάλῳ τέλος οὐκ ἐπέθηκεν, ἀλλὰ καθείρξας εἰς τὸν χάρακα τοὺς φεύγοντας, ἀνεχώρησεν, εἶπεν ἄρα πρὸς τοὺς φίλους ἀπιὼν ὁ Καῖσαρ· «Σήμερον ἂν ἡ νίκη παρὰ τοῖς πολε»μίοις ἦν, εἰ τὸν νικῶντα εἶχον». Αὐτὸς δὲ παρελθὼν εἰς τὴν σκηνὴν καὶ κατακλιθεὶς, νύκτα πασῶν ἐκείνην ἀνιαρωτάτην

διήγαγεν, ἐν ἀπόροις λογισμοῖς, ὡς κακῶς ἐστρατηγηκὼς, ὅτι, καὶ χώρας ἐπικειμένης βαθείας καὶ πόλεων εὐδαιμόνων τῶν Μακεδονικῶν καὶ Θετταλικῶν, ἐάσας ἐκεῖ περισπᾶσαι τὸν πόλεμον, ἐνταῦθα καθέζοιτο πρὸς θαλάττῃ, ναυκρατούντων τῶν πολεμίων, πολιορκούμενος τοῖς ἀναγκαίοις μᾶλλον, ἢ τοῖς ὅπλοις πολιορκῶν. Οὕτω δὲ περισπασθεὶς καὶ ἀνιαθεὶς πρὸς τὴν ἀπορίαν καὶ χαλεπότητα τῶν παρόντων, ἀνίστη τὸν στρατὸν, ἐπὶ Σκιπίωνα προάγειν εἰς Μακεδονίαν ἐγνωκώς. Ἢ γὰρ ἐπισπάσεσθαι τὸν Πομπήϊον, ὅπου μαχεῖται μὴ χορηγούμενος ὁμοίως ἀπὸ τῆς θαλάττης, ἢ περιέσεσθαι μεμονωμένου Σκιπίωνος.

Μ. Τοῦτο τὴν Πομπηΐου στρατιὰν ἐπῆρε, καὶ τοὺς περὶ αὐτὸν ἡγεμόνας, ὡς ἡττημένου καὶ φεύγοντος ἔχεσθαι Καίσαρος. Αὐτὸς μὲν γὰρ εὐλαβῶς εἶχε Πομπήϊος ἀναῤῥίψαι τὴν μάχην περὶ τηλικούτων, καὶ παρεσκευασμένος ἄριστα πᾶσι πρὸς τὸν χρόνον, ἠξίου τρίβειν καὶ μαραίνειν τὴν τῶν πολεμίων ἀκμὴν βραχεῖαν οὖσαν. Τὸ γάρ τοι μαχιμώτατον τῆς Καίσαρος δυνάμεως ἐμπειρίαν μὲν εἶχε καὶ τόλμαν ἀνυπόστατον πρὸς τοὺς ἀγῶνας, ἐν δὲ ταῖς πλάναις καὶ ταῖς στρατοπεδίαις τειχοφυλακοῦντες καὶ νυκτεγερτοῦντες ἐξέκαμνον ὑπὸ γήρως, καὶ βαρεῖς ἦσαν τοῖς σώμασι πρὸς τοὺς πόνους, δι' ἀσθένειαν ἐγκαταλείποντες τὴν προθυμίαν. Τότε δὲ καί τι νόσημα λοιμῶδες ἐλέχθη, τὴν ἀτοπίαν τῆς διαίτης ποιησάμενον ἀρχὴν, ἐν τῇ στρατιᾷ περιφέρεσθαι τῇ Καίσαρος. Καὶ τὸ μέγιστον, οὔτε χρήμασιν ἐῤῥωμένος, οὔτε τροφῆς εὐπορῶν, χρόνου βραχέος ἐδόκει περὶ αὐτῷ καταλυθήσεσθαι.

ΜΑ. Διὰ ταῦτα Πομπήϊον μάχεσθαι μὴ βουλόμενον μόνος ἐπῄνει Κάτων, φειδοῖ τῶν πολιτῶν· ὅς γε καὶ τοὺς πεσόντας ἐν τῇ μάχῃ τῶν πολεμίων, εἰς χιλίους τὸ πλῆθος γενομένους, ἰδὼν, ἀπῆλθεν ἐγκαλυψάμενος καὶ καταδακρύσας. Οἱ δ' ἄλλοι

πάντες ἐκάκιζον τὸν Πομπήϊον φυγομαχοῦντα, καὶ παρώξυνον, Ἀγαμέμνονα καὶ βασιλέα βασιλέων ἀποκαλοῦντες, ὡς δὴ μὴ βουλόμενον ἀποθέσθαι τὴν μοναρχίαν, ἀλλ' ἀγαλλόμενον, ἡγεμόνων τοσούτων ἐξηρτημένων αὐτοῦ καὶ φοιτώντων ἐπὶ σκηνήν. Φαώνιος δὲ, τὴν Κάτωνος παῤῥησίαν ὑποποιούμενος, μανικῶς ἐσχετλίαζεν, εἰ μηδὲ τῆτες ἔσται τῶν περὶ Τουσκλάνον ἀπολαῦσαι σύκων, διὰ τὴν Πομπηΐου φιλαρχίαν. Ἀφράνιος δὲ (νεωστὶ γὰρ ἐξ Ἰβηρίας ἀφῖκτο κακῶς στρατηγήσας), διαβαλλόμενος ἐπὶ χρήμασι προδοῦναι τὸν στρατὸν, ἠρώτα, διὰ τί πρὸς τὸν ἔμπορον οὐ μάχονται τὸν ἐωνημένον παρ' αὐτοῦ τὰς ἐπαρχίας. Ἐκ τούτων ἁπάντων συνελαυνόμενος ἄκων εἰς μάχην ὁ Πομπήϊος ἐχώρει τὸν Καίσαρα διώκων. Ὁ δὲ τὴν μὲν ἄλλην πορείαν χαλεπῶς ἤνυσεν, οὐδενὸς παρέχοντος ἀγορὰν, ἀλλὰ πάντων καταφρονούντων διὰ τὴν ἔναγχος ἧτταν. Ὡς δ' εἷλε Γόμφους, Θεσσαλικὴν πόλιν, οὐ μόνον ἔθρεψε τὴν στρατιὰν, ἀλλὰ καὶ τοῦ νοσήματος ἀπήλλαξε παραλόγως. Ἀφθόνῳ γὰρ ἐνέτυχον οἴνῳ, καὶ πιόντες ἀνέδην, εἶτα χρώμενοι κώμοις, καὶ βακχεύοντες ἀνὰ τὴν ὁδὸν, ἐκ μέθης διεκρούσαντο καὶ παρήλλαξαν τὸ πάθος, εἰς ἕξιν ἑτέραν τοῖς σώμασι μεταπεσόντες.

ΜΒ. Ὡς δ' εἰς τὴν Φαρσαλίαν ἐμβαλόντες ἀμφότεροι κατεστρατοπέδευσαν, ὁ μὲν Πομπήϊος αὖθις εἰς τὸν ἀρχαῖον ἀνεκρούετο λογισμὸν τὴν γνώμην, ἔτι καὶ φασμάτων οὐκ αἰσίων προσγενομένων, καὶ καθ' ὕπνον ὄψεως. Ἐδόκει γὰρ ἑαυτὸν ὁρᾷν ἐν τῷ θεάτρῳ κρατούμενον ὑπὸ Ῥωμαίων.... Οἱ δὲ περὶ αὐτὸν οὕτω θρασεῖς ἦσαν, καὶ τὸ νίκημα ταῖς ἐλπίσι προειληφότες, ὥστε φιλονεικεῖν ὑπὲρ τῆς Καίσαρος ἀρχιερωσύνης Δομίτιον καὶ Σπινθῆρα καὶ Σκιπίωνα, διαμιλλωμένους ἀλλήλοις· πέμπειν δὲ πολλοὺς εἰς Ῥώμην μισθουμένους καὶ προκαταλαμβάνοντας οἰκίας ὑπατεύουσι καὶ στρατηγοῦσιν ἐπιτηδείους, ὡς εὐθὺς ἄρξοντες μετὰ τὸν πόλεμον. Μάλιστα δ' ἐσφάδαζον οἱ ἱππεῖς ἐπὶ

τὴν μάχην, ἠσκημένοι περιττῶς ὅπλων λαμπρότησι καὶ τροφαῖς ἵππων, καὶ κάλλει σωμάτων μέγα φρονοῦντες, καὶ διὰ τὸ πλῆθος, ἑπτακισχίλιοι πρὸς χιλίους τοὺς Καίσαρος ὄντες. Ἦν δὲ καὶ τὸ τῶν πεζῶν πλῆθος οὐκ ἀγχώμαλον, ἀλλὰ τετρακισμύριοι καὶ πεντακισχίλιοι παρετάττοντο δυσμυρίοις καὶ δισχιλίοις.

ΜΓ. Ὁ δὲ Καῖσαρ, τοὺς ϛρατιώτας συναγαγὼν, καὶ προειπὼν, ὡς δύο μὲν αὐτῷ τάγματα Κορφίνιος ἄγων ἐγγύς ἐϛιν, ἄλλαι δὲ πεντεκαίδεκα σπεῖραι μετὰ Καληνοῦ κάθηνται περὶ Μέγαρα καὶ Ἀθήνας, ἠρώτησεν, εἴτε βούλονται περιμένειν ἐκείνους, εἴτ' αὐτοὶ διακινδυνεῦσαι καθ' ἑαυτούς. Οἱ δ' ἀνεβόησαν, δεόμενοι μὴ περιμένειν, ἀλλὰ μᾶλλον, ὅπως τάχιϛα συνίωσιν εἰς χεῖρας τοῖς πολεμίοις, τεχνάζεσθαι καὶ ϛρατηγεῖν· ποιουμένῳ δὲ καθαρμὸν αὐτῷ τῆς δυνάμεως, καὶ θύσαντι τὸ πρῶτον ἱερεῖον, εὐθὺς ὁ μάντις ἔφραζε, τριῶν ἡμερῶν μάχῃ κριθήσεσθαι πρὸς τοὺς πολεμίους. Ἐρομένου δὲ τοῦ Καίσαρος, εἰ καὶ περὶ τοῦ τέλους ἐνορᾷ τι τοῖς ἱερείοις εὔσημον, « Αὐτὸς » ἂν (ἔφη) σὺ τοῦτο βέλτιον ὑποκρίναιο σαυτῷ. Μεγάλην γὰρ » οἱ θεοὶ μεταβολὴν καὶ μετάπτωσιν ἐπὶ τὰ ἐναντία τῶν καθεϛώ- » των δηλοῦσιν· ὥϛ', εἰ μὲν εὖ πράττειν ἡγῇ σεαυτὸν ἐπὶ τῷ » παρόντι, τὴν χείρονα προσδόκα τύχην· εἰ δὲ κακῶς, τὴν ἀμεί- » νονα ». Τῇ δὲ πρὸ τῆς μάχης νυκτὶ, τὰς φυλακὰς ἐφοδεύοντος αὐτοῦ, περὶ τὸ μεσονύκτιον ὤφθη λαμπὰς οὐρανίου πυρὸς, ἣν ὑπερενεχθεῖσαν τὸ Καίσαρος ϛρατόπεδον, λαμπρὰν καὶ φλογώδη γενομένην, ἔδοξεν εἰς τὸ Πομπηΐου καταπεσεῖν. Ἑωθινῆς δὲ φυλακῆς καὶ πανικὸν τάραχον ᾔσθοντο, γιγνόμενον παρὰ τοῖς πολεμίοις. Οὐ μὴν μαχεῖσθαί γε κατ' ἐκείνην προσεδόκα τὴν ἡμέραν, ἀλλ' ὡς ἐπὶ Σκοτούσσης ὁδεύων ἀνεζεύγνυεν.

ΜΔ. Ἐπεὶ δὲ, τῶν σκηνῶν ἤδη καταλελυμένων, οἱ σκοποὶ προσίππευσαν αὐτῷ, τοὺς πολεμίους ἐπὶ μάχῃ καταβαίνειν

ἀπαγγέλλοντες, περιχαρὴς γενόμενος, καὶ εὐξάμενος τοῖς θεοῖς, παρέταττε τὴν φάλαγγα, τὴν τάξιν τριπλῆν ποιῶν. Καὶ τοῖς μὲν μέσοις ἐπέστησε Καλβῖνον Δομίτιον, τῶν δὲ κεράτων τὸ μὲν εἶχεν Ἀντώνιος, αὐτὸς δὲ τὸ δεξιὸν, ἐν τῷ δεκάτῳ τάγματι μέλλων μάχεσθαι. Κατὰ τοῦτο δὲ τοὺς τῶν πολεμίων ἱππεῖς ἀντιπαραταττομένους ὁρῶν, καὶ δεδοικὼς τὴν λαμπρότητα καὶ τὸ πλῆθος αὐτῶν, ἀπὸ τῆς ἐσχάτης τάξεως ἀδήλως ἐκέλευσε περιελθεῖν πρὸς ἑαυτὸν ἓξ σπείρας, καὶ κατόπιν ἔστησε τοῦ δεξιοῦ, διδάξας, ἃ χρὴ ποιεῖν, ὅταν οἱ τῶν πολεμίων ἱππεῖς προσφέρωνται. Πομπήϊος δὲ τὸ μὲν αὐτὸς εἶχε τῶν κεράτων, τὸ δ' εὐώνυμον Δομίτιος, τοῦ δὲ μέσου Σκιπίων ἦρχεν ὁ πενθερός. Οἱ δ' ἱππεῖς ἅπαντες ἐπὶ τὸ ἀριστερὸν ἔβρισαν, ὡς τὸ δεξιὸν κυκλωσόμενοι τῶν πολεμίων, καὶ λαμπρὰν περὶ αὐτὸν τὸν ἡγεμόνα ποιησόμενοι τροπήν. Οὐδὲν γὰρ ἀνθέξειν βάθος ὁπλιτικῆς φάλαγγος, ἀλλὰ συντρίψεσθαι καὶ καταῤῥάξεσθαι πάντα τοῖς ἐναντίοις, ἐπιβολῆς ἅμα τοσούτων ἱππέων γενομένης. Ἐπεὶ δὲ σημαίνειν ἔμελλον ἀμφότεροι τὴν ἔφοδον, Πομπήϊος μὲν ἐκέλευσε τοὺς ὁπλίτας ἑστῶτας ἐν προβολῇ καὶ μένοντας ἀραρότως δέχεσθαι τὴν ἐπιδρομὴν τῶν πολεμίων, μέχρις ἂν ὑσσοῦ βολῆς ἐντὸς γένωνται. Καῖσαρ δὲ καὶ περὶ τοῦτο διαμαρτεῖν φησιν αὐτὸν, ἀγνοήσαντα τὴν μετὰ δρόμου καὶ φορᾶς ἐν ἀρχῇ γινομένην σύῤῥαξιν, ὡς ἔν τε ταῖς πληγαῖς βίαν προστίθησι, καὶ συνεκκαίει τὸν θυμὸν, ἐκ πάντων ἀναῤῥιπιζόμενον. Αὐτὸς δὲ, κινεῖν τὴν φάλαγγα μέλλων, καὶ προϊὼν ἐπ' ἔργον ἤδη, πρῶτον ὁρᾷ τῶν ταξιαρχῶν ἄνδρα τινὰ πιστὸν αὐτῷ καὶ πολέμων ἔμπειρον, ἐπιθαρσύνοντα τοὺς ὑφ' αὐτῷ καὶ προκαλούμενον εἰς ἄμυναν ἀλκῆς. Τοῦτον ὀνομαστὶ προσαγορεύσας· « Τί ἐλπίζομεν (εἶπεν) ὦ Γάϊε Κρασσίνιε, καὶ πῶς τοῦ θράσους » ἔχομεν »; Ὁ δὲ Κρασσίνιος, ἐκτείνας τὴν δεξιὰν, καὶ μέγα βοήσας· « Νικήσομεν (ἔφη) λαμπρῶς, ὦ Καῖσαρ· ἐμὲ γὰρ ἢ ζῶντα

» τήμερον, ἢ τεθνηκότα, ἐπαινέσεις». Ταῦτ' εἰπὼν, πρῶτος ἐμβάλλει τοῖς πολεμίοις δρόμῳ, συνεπισπασάμενος τοὺς περὶ αὐτὸν ἑκατὸν εἴκοσι στρατιώτας. Διακόψας δὲ τοὺς πρώτους, καὶ πρόσω χωρῶν φόνῳ πολλῷ καὶ βιαζόμενος, ἀνακόπτεται ξίφει πληγεὶς διὰ τοῦ στόματος, ὥςε καὶ τὴν αἰχμὴν ὑπὲρ τὸ ἰνίον ἀνασχεῖν.

ΜΕ. Οὕτω δὲ τῶν πεζῶν κατὰ τὸ μέσον συῤῥαγέντων καὶ μαχομένων ἀπὸ τοῦ κέρατος, οἱ τοῦ Πομπηΐου ἱππεῖς σοβαρῶς ἐπήλαυνον, εἰς κύκλωσιν τοῦ δεξιοῦ τὰς ἴλας ἀνεχόμενοι· καὶ πρὶν ἢ προσβαλεῖν αὐτοὺς, ἐκτρέχουσιν αἱ σπεῖραι παρὰ Καίσαρος, οὐχ, ὥσπερ εἰώθασιν, ἀκοντίσμασι χρώμενοι τοῖς ὑσσοῖς, οὐδὲ μηροὺς παίοντες ἐκ χειρὸς, ἢ κνήμας τῶν πολεμίων, ἀλλὰ τῶν ὄψεων ἐφιέμενοι, καὶ τὰ πρόσωπα συντιτρώσκοντες. Ὑπὸ Καίσαρος δεδιδαγμένοι τοῦτο ποιεῖν, ἐλπίζοντος ἄνδρας οὐ πολλὰ πολέμοις, οὐδὲ τραύμασιν, ὡμιληκότας, νέους δὲ καὶ κομῶντας ἐπὶ κάλλει καὶ ὥρᾳ, μάλιςα τὰς τοιαύτας πληγὰς ὑπόψεσθαι, καὶ μὴ μενεῖν, τὸν ἐν τῷ παρόντι κίνδυνον ἅμα καὶ τὴν αὖθις αἰσχύνην δεδοικότας. Ὃ δὴ καὶ συνέβαινεν· οὐ γὰρ ἠνείχοντο τῶν ὑσσῶν ἀναφερομένων, οὐδ' ἐτόλμων ἐν ὀφθαλμοῖς τὸν σίδηρον ὁρῶντες, ἀλλ' ἀπεςρέφοντο καὶ συνεκαλύπτοντο, φειδόμενοι τῶν προσώπων. Καὶ τέλος οὕτω ταράξαντες ἑαυτοὺς ἐτράποντο φεύγειν, αἴσχιςα λυμηνάμενοι τὸ σύμπαν. Εὐθὺς γὰρ οἱ μὲν νενικητότες τούτους, ἐκυκλοῦντο τοὺς πεζοὺς, καὶ κατὰ νώτου προσπίπτοντες ἔκοπτον. Πομπήϊος δ' ὡς κατεῖδεν ἀπὸ θατέρου τοὺς ἱππεῖς φυγῇ σκεδασθέντας, οὐκέτ' ἦν ὁ αὐτὸς, οὐδ' ἐμέμνητο Πομπήϊος ὢν Μάγνος, ἀλλ' ὑπὸ θεοῦ μάλιστα βλαπτομένῳ τὴν γνώμην ἐοικὼς, ἢ διὰ θείας ἥττης τεθαμβημένος, ἄφθογγος ᾤχετ' ἀπιὼν ἐπὶ σκηνήν· καὶ καθεζόμενος ἐκαραδόκει τὸ μέλλον, ἄχρις οὗ, τροπῆς ἁπάντων γενομένης, ἐπέβαινον οἱ πολέμιοι τοῦ χάρακος, καὶ διεμάχοντο

πρὸς τοὺς φυλάττοντας. Τότε δ', ὥσπερ ἔννους γενόμενος, καὶ ταύτην μόνην, ὥς φασι, φωνὴν ἀφείς· «Οὐκοῦν καὶ ἐπὶ τὴν παρεμ- » βολήν»; ἀπεδύσατο μὲν τὴν ἐναγώνιον καὶ στρατηγικὴν ἐσθῆτα φεύγοντι δὲ πρέπουσαν μεταλαβὼν ὑπεξῆλθεν. Ἀλλ' οὗτος μὲν ὁποίαις ὕστερον χρησάμενος τύχαις, ὅπως τε παραδοὺς ἑαυτὸν τοῖς Αἰγυπτίοις ἀνδράσιν ἀνῃρέθη, δηλοῦμεν ἐν τοῖς περὶ ἐκείνου γράμμασιν.

ΜϚ. Ὁ δὲ Καῖσαρ, ὡς ἐν τῷ χάρακι τοῦ Πομπηΐου γενόμενος, τούς τε κειμένους νεκροὺς ἤδη τῶν πολεμίων εἶδε, καὶ τοὺς ἐπικτεινομένους, εἶπεν ἄρα στενάξας· «Τοῦτ' ἐβουλήθησαν, » εἰς τοῦτό με ἀνάγκης ὑπηγάγοντο, ἵνα Γάϊος Καῖσαρ, ὁ με- » γίστους πολέμους κατορθώσας, εἰ προηκάμην τὰ στρατεύματα, » κἂν κατεδικάσθην». Ταῦτά φησι Πολλίων Ἀσίνιος τὰ ῥήματα Ῥωμαϊστὶ μὲν ἀναφθέγξασθαι τὸν Καίσαρα παρὰ τὸν τότε καιρὸν, Ἑλληνιστὶ δ' ὑπ' αὐτοῦ γεγράφθαι. Τῶν δ' ἀποθανόντων τοὺς πλείστους οἰκέτας γενέσθαι, περὶ τὴν κατάληψιν τοῦ χάρακος ἀναιρεθέντας· στρατιώτας δὲ μὴ πλείους ἑξακισχιλίων πεσεῖν. Τῶν δὲ πεζῶν τῶν ἁλόντων κατέμιξε τοὺς πλείστους ὁ Καῖσαρ εἰς τάγματα. Πολλοῖς δὲ καὶ τῶν ἐπιφανῶν ἄδειαν ἔδωκεν, ὧν καὶ Βροῦτος ἦν ὁ κτείνας αὐτὸν ὕστερον· ἐφ' ᾧ λέγεται μὴ φαινομένῳ μὲν ἀγωνιάσαι, σωθέντος δὲ καὶ παραγενομένου πρὸς αὐτὸν ἡσθῆναι διαφερόντως.

ΜΖ. Σημείων δὲ πολλῶν γενομένων τῆς νίκης, ἐπιφανέστατον ἱστορεῖται τὸ περὶ Τράλλεις. Ἐν γὰρ ἱερῷ Νίκης ἀνδριὰς εἱστήκει Καίσαρος, καὶ τὸ περὶ αὐτὸ χωρίον αὐτό τε στερεὸν φύσει καὶ λίθῳ σκληρῷ κατεστρωμένον ἦν ἄνωθεν· ἐκ τούτου λέγουσιν ἀνατεῖλαι φοίνικα παρὰ τὴν βάσιν τοῦ ἀνδριάντος. Ἐν δὲ Παταβίῳ Γάϊος Κορνήλιος, ἀνὴρ εὐδόκιμος ἐπὶ μαντικῇ, Λιβίου τοῦ συγγραφέως πολίτης καὶ γνώριμος, ἐτύγχανεν ἐπ' οἰωνοῖς καθήμενος ἐκείνην τὴν ἡμέραν. Καὶ πρῶτον μὲν, ὡς Λίβιος φησὶ,

τὸν καιρὸν ἔγνω τῆς μάχης, καὶ πρὸς τοὺς παρόντας ἔφη, ὅτι καὶ δὴ περαίνεται τὸ χρῆμα, καὶ συνίασιν εἰς ἔργον οἱ ἄνδρες. Αὖθις δὲ πρὸς τῇ θέᾳ γενόμενος, καὶ τὰ σημεῖα κατιδὼν, ἀνήλατο μετ' ἐνθουσιασμοῦ, βοῶν· «Νικᾷς, ὦ Καῖσαρ». Ἐκπλαγέντων δὲ τῶν παρατυχόντων, περιελὼν τὸν ςέφανον ἀπὸ τῆς κεφαλῆς, ἐνωμότως ἔφη, μὴ πρὶν ἐπιθήσεσθαι πάλιν, ἢ τῇδε τῇ τέχνῃ μαρτυρῆσαι τὸ ἔργον. Ταῦτα μὲν οὖν ὁ Λίβιος οὕτω γενέσθαι καταβεβαιοῦται.

ΜΗ. Καῖσαρ δὲ, τῷ Θετταλῶν ἔθνει τὴν ἐλευθερίαν ἀναθεὶς νικητήριον, ἐδίωκε Πομπήϊον· ἀψάμενος δὲ τῆς Ἀσίας Κνιδίους τε Θεοπόμπῳ, τῷ συναγαγόντι τοὺς μύθους, χαριζόμενος, ἠλευθέρωσε, καὶ πᾶσι τοῖς τὴν Ἀσίαν κατοικοῦσι τὸ τρίτον τῶν φόρων ἀνῆκεν. Εἰς δὲ Ἀλεξάνδρειαν ἐπὶ Πομπηΐῳ τεθνηκότι καταχθεὶς, Θεόδοτον μὲν ἀπεστράφη, τὴν Πομπηΐου κεφαλὴν φέροντα, τὴν δὲ σφραγῖδα δεξάμενος τοῦ ἀνδρὸς κατεδάκρυσεν· ὅσοι δὲ τῶν ἑταίρων αὐτοῦ καὶ συνήθων πλανώμενοι κατὰ τὴν χώραν ἑαλώκεσαν ὑπὸ τοῦ βασιλέως, πάντας εὐεργέτησε καὶ προσηγάγετο. Τοῖς δὲ φίλοις εἰς Ῥώμην ἔγραφεν, ὅτι τῆς νίκης ἀπολαύοι τοῦτο μέγιστον καὶ ἥδιστον, τὸ σώζειν τινὰς ἀεὶ τῶν πεπολεμηκότων πολιτῶν αὐτῷ. Τὸν δ' αὐτόθι πόλεμον οἱ μὲν οὐκ ἀναγκαῖον, ἀλλ' ἔρωτι Κλεοπάτρας ἄδοξον αὐτῷ καὶ κινδυνώδη, γενέσθαι λέγουσιν· οἱ δὲ τοὺς βασιλικοὺς αἰτιῶνται, καὶ μάλιστα τὸν εὐνοῦχον Ποθεινόν. Ὃς πλεῖςον δυνάμενος, καὶ Πομπήϊον μὲν ἀνῃρηκὼς ἔναγχος, ἐκβεβληκὼς δὲ Κλεοπάτραν, κρύφα μὲν ἐπεβούλευε τῷ Καίσαρι· καὶ διὰ τοῦτο φασὶν αὐτὸν, ἀρξάμενον ἐκ τότε, διανυκτερεύειν ἐν τοῖς πότοις, ἕνεκα φυλακῆς τοῦ σώματος· φανερῶς δ' οὐκ ἦν ἀνεκτὸς, ἐπίφθονα πολλὰ καὶ πρὸς ὕβριν εἰς τὸν Καίσαρα λέγων καὶ πράττων. Τοὺς μὲν γὰρ στρατιώτας, τὸν κάκιστον μετρουμένους καὶ παλαιότατον σῖτον, ἐκέλευσεν ἀνέχεσθαι καὶ ςέργειν, ἐσθίοντας

τὰ ἀλλότρια· πρὸς δὲ τὰ δεῖπνα σκεύεσιν ἐχρῆτο ξυλίνοις καὶ κεραμεοῖς, ὡς τὰ χρυσᾶ καὶ ἀργυρᾶ πάντα Καίσαρος ἔχοντος εἴς τι χρέος. Ὤφειλε γὰρ ὁ τοῦ βασιλεύοντος τότε πατὴρ Καίσαρι χιλίας ἑπτακοσίας πεντήκοντα μυριάδας, ὧν τὰς μὲν ἄλλας ἀνῆκε τοῖς παισὶν αὐτοῦ πρότερον ὁ Καῖσαρ, τὰς δὲ χιλίας ἠξίου τότε λαβὼν διαθρέψαι τὸ ςράτευμα. Τοῦ δὲ Ποθεινοῦ νῦν μὲν αὐτὸν ἀπιέναι καὶ τῶν μεγάλων ἔχεσθαι πραγμάτων κελεύοντος, ὕςερον δὲ κομιεῖσθαι μετὰ χάριτος, εἰπὼν, ὡς Αἰγυπτίων ἐλάχιστα δέοιτο συμβούλων, κρύφα τὴν Κλεοπάτραν ἀπὸ τῆς χώρας μετεπέμπετο·

ΜΘ. Κἀκείνη παραλαβοῦσα τῶν φίλων Ἀπολλόδωρον τὸν Σικελιώτην μόνον, εἰς ἀκάτιον μικρὸν ἐμβᾶσα, τοῖς μὲν βασιλείοις προσέσχεν, ἤδη συσκοτάζοντος· ἀπόρου δὲ τοῦ λαθεῖν ὄντος ἄλλως, ἡ μὲν ςρωματόδεσμον ἐνδῦσα προτείνει μακρὰν ἑαυτὴν, ὁ δ' Ἀπολλόδωρος ἱμάντι συνδήσας τὸν ςρωματόδεσμον, εἰσκομίζει διὰ θυρῶν πρὸς τὸν Καίσαρα. Καὶ τούτῳ τε πρώτῳ λέγεται τῷ τεχνήματι τῆς Κλεοπάτρας ἁλῶναι, λαμυρᾶς φανείσης, καὶ τῆς ἄλλης ὁμιλίας καὶ χάριτος ἥττων γενόμενος, διαλλάξαι πρὸς τὸν ἀδελφὸν, ὡς συμβασιλεύσουσαν. Ἐπὶ δὲ ταῖς διαλλαγαῖς ἑςιωμένων ἁπάντων, οἰκέτης Καίσαρος κουρεὺς, διὰ δειλίαν, ᾗ πάντας ἀνθρώπους ὑπερέβαλλεν, οὐδὲν ἐῶν ἀνεξέταστον, ἀλλ' ὠτακουστῶν καὶ πολυπραγμονῶν, συνῆκεν ἐπιβουλὴν Καίσαρι πραττομένην ὑπ' Ἀχιλλᾶ τοῦ στρατηγοῦ, καὶ Ποθεινοῦ τοῦ εὐνούχου. Φωράσας δ' ὁ Καῖσαρ, φρουρὰν μὲν περιέστησε τῷ ἀνδρῶνι, τὸν δὲ Ποθεινὸν ἀνεῖλεν· ὁ δ' Ἀχιλλᾶς, φυγὼν εἰς τὸ στρατόπεδον, περιίστησιν αὐτῷ βαρὺν καὶ δυσμεταχείριστον πόλεμον, ὀλίγοςῷ τοσαύτην ἀμυνομένῳ πόλιν καὶ δύναμιν. Ἐν ᾧ πρῶτον μὲν ἐκινδύνευσεν ὕδατος ἀποκλεισθείς· αἱ γὰρ διώρυχες ἀπῳκοδομήθησαν ὑπὸ τῶν πολεμίων. Δεύτερον δὲ, περικοπτόμενος τὸν στόλον, ἠναγκάσθη διὰ πυρὸς

ἀπώσασθαι τὸν κίνδυνον, ὃ καὶ τὴν μεγάλην βιβλιοθήκην ἐκ τῶν νεωρίων ἐπινεμόμενον διέφθειρε. Τρίτον δὲ, περὶ τῇ Φάρῳ μάχης συνεςώσης, κατεπήδησε μὲν ἀπὸ τοῦ χώματος εἰς ἀκάτιον, καὶ παρεβοήθει τοῖς ἀγωνιζομένοις. Ἐπιπλεόντων δὲ πολλαχόθεν αὐτῷ τῶν Αἰγυπτίων, ῥίψας ἑαυτὸν εἰς τὴν θάλασσαν, ἀπενήξατο μόλις καὶ χαλεπῶς. Ὅτε καὶ λέγεται βιβλίδια κρατῶν πολλὰ, μὴ προέσθαι βουλόμενος καὶ βαπτιζόμενος, ἀλλ' ἀνέχων ὑπὲρ τῆς θαλάσσης τὰ βιβλίδια, τῇ ἑτέρᾳ χειρὶ νήχεσθαι· τὸ δ' ἀκάτιον εὐθὺς ἐβυθίσθη. Τέλος δὲ, τοῦ βασιλέως πρὸς τοὺς πολεμίους ἀποχωρήσαντος, ἐπελθὼν καὶ συνάψας μάχην ἐνίκησε, πολλῶν πεσόντων, αὐτοῦ τε τοῦ βασιλέως ἀφανοῦς γενομένου. Καταλιπὼν δὲ τὴν Κλεοπάτραν βασιλεύουσαν Αἰγύπτου, καὶ μικρὸν ὕστερον ἐξ αὐτοῦ τεκοῦσαν υἱὸν, ὃν Ἀλεξανδρεῖς Καισαρίωνα προσηγόρευσαν, ὥρμησεν ἐπὶ Συρίας.

Ν· Κἀκεῖθεν ἐπιὼν τὴν Ἀσίαν, ἐπυνθάνετο, Δομίτιον μὲν ὑπὸ Φαρνάκου, τοῦ Μιθριδάτου παιδὸς, ἡττημένον, ἐκ Πόντου πεφευγέναι σὺν ὀλίγοις, Φαρνάκην δὲ τῇ νίκῃ χρώμενον ἀπλήςως, καὶ Βιθυνίαν ἔχοντα καὶ Καππαδοκίαν, Ἀρμενίας ἐφίεσθαι τῆς μικρᾶς καλουμένης, καὶ πάντας ἀνιςάναι τοὺς ταύτῃ βασιλεῖς καὶ τετράρχας. Εὐθὺς οὖν ἐπὶ τὸν ἄνδρα τρισὶν ἤλαυνε τάγμασι, καὶ περὶ πόλιν Ζῆλαν μάχην μεγάλην συνάψας, αὐτὸν μὲν ἐξέβαλε τοῦ Πόντου φεύγοντα, τὴν δὲ ςρατιὰν ἄρδην ἀνεῖλε. Καὶ τῆς μάχης ταύτης τὴν ὀξύτητα καὶ τὸ τάχος ἀναγγέλλων εἰς Ῥώμην, πρός τινα τῶν φίλων, Ἀμίντιον, ἔγραψε τρεῖς λέξεις. « Ἦλθον, εἶδον, ἐνίκησα ». Ῥωμαϊςὶ δὲ αἱ λέξεις εἰς ὅμοιον ἀπολήγουσαι σχῆμα ῥήματος, οὐκ ἀπίθανον τὴν βραχυλογίαν ἔχουσι·

ΝΑ. Ἐκ τούτου διαβαλὼν εἰς Ἰταλίαν, ἀνέβαινεν εἰς Ῥώμην, τοῦ μὲν ἐνιαυτοῦ καταστρέφοντος, εἰς ὃν ᾕρητο δικτάτωρ τὸ δεύτερον, οὐδέποτε τῆς ἀρχῆς ἐκείνης πρότερον ἐνιαυσίου γενο-

μένης. Εἰς δὲ τοὐπιὸν ὕπατος ἀπεδείχθη· καὶ κακῶς ἤκουσεν, ὅτι, τῶν ϛρατιωτῶν ϛασιασάντων, καὶ δύο ϛρατηγικοὺς ἄνδρας ἀνελόντων, Κοσκώνιον καὶ Γάλβαν, ἐπετίμησε μὲν αὐτοῖς τοσοῦτον, ὅσον ἀντὶ ϛρατιωτῶν πολίτας προσαγορεῦσαι, χιλίας δὲ διένειμεν ἑκάϛῳ δραχμὰς, καὶ χώραν τῆς Ἰταλίας ἀπεκλήρωσε πολλήν. Ἦν δ' αὐτοῦ διαβολὴ καὶ ἡ Δολοβέλλα μανία, καὶ ἡ Ἀμιντίου φιλαργυρία, καὶ μεθύων Ἀντώνιος, καὶ *Κορφίνιος* τὴν Πομπηΐου σκευωρούμενος οἰκίαν καὶ μετοικοδομῶν, ὡς ἱκανὴν οὐκ οὖσαν. Ἐπὶ τούτοις γὰρ ἐδυσφόρουν Ῥωμαῖοι. Καῖσαρ δὲ διὰ τὴν ὑπόθεσιν τῆς πολιτείας, οὐκ ἀγνοῶν, οὐδὲ βουλόμενος, ἠναγκάζετο χρῆσθαι τοῖς ὑπουργοῦσι.

ΝΒ. Τῶν δὲ περὶ Κάτωνα καὶ Σκιπίωνα μετὰ τὴν ἐν Φαρσάλῳ μάχην εἰς Λιβύην φυγόντων, κἀκεῖ, τοῦ βασιλέως Ἰόβα βοηθοῦντος αὐτοῖς, ἠθροικότων δυνάμεις ἀξιολόγους, ἔγνω ϛρατεύειν ὁ Καῖσαρ ἐπ' αὐτούς· καὶ περὶ τροπὰς χειμερινὰς διαβὰς εἰς Σικελίαν, καὶ βουλόμενος εὐθὺς ἀποκόψαι τῶν περὶ αὐτὸν ἡγεμόνων ἅπασαν ἐλπίδα μελλήσεως καὶ διατριβῆς, ἐπὶ τοῦ κλύσματος ἔπηξε τὴν ἑαυτοῦ σκηνήν. καὶ γενομένου πνεύματος, ἐμβὰς, ἀνήχθη μετὰ τρισχιλίων πεζῶν καὶ ἱππέων ὀλίγων. Ἀποβιβάσας δὲ τούτους καὶ λαθὼν, ἀνήχθη πάλιν, ὑπὲρ τῆς μείζονος ὀῤῥωδῶν δυνάμεως· καὶ κατὰ θάλατταν οὖσιν ἤδη προσυχὼν κατήγαγεν ἅπαντας εἰς τὸ ϛρατόπεδον. Πυνθανόμενος δὲ χρησμῷ τινι παλαιῷ θαῤῥεῖν τοὺς πολεμίους, ὡς προσῆκον ἀεὶ τῷ Σκιπίωνος γένει κρατεῖν ἐν Λιβύῃ, χαλεπὸν εἰπεῖν, εἴτ' ἐκφλαυρίζων ἐν παιδιᾷ τινι τὸν Σκιπίωνα ϛρατηγοῦντα τῶν πολεμίων, εἴτε καὶ σπουδῇ τὸν οἰωνὸν οἰκειούμενος, ἦν γὰρ παρ' αὐτῷ τις ἄνθρωπος, ἄλλως μὲν εὐκαταφρόνητος καὶ παρημελημένος, οἰκίας δὲ τῆς Ἀφρικανῶν, Σκιπίων ἐκαλεῖτο Σαλλουτίων, τοῦτον ἐν ταῖς μάχαις προέταττεν, ὥσπερ ἡγεμόνα τῆς ϛρατιᾶς, ἀναγκαζόμενος πολλάκις ἐξάπτεσθαι τῶν

πολεμίων καὶ φιλομαχεῖν. Ἦν γὰρ οὔτε σῖτος τοῖς ἀνδράσιν ἄφθονος, οὔτε ὑποζυγίοις χιλὸς, ἀλλὰ βρύοις ἠναγκάζοντο θαλαττίοις, ἀποπλυνθείσης τῆς ἁλμυρίδος, ὀλίγην ἄγρωστιν ὥσπερ ἥδυσμα παραμιγνύντες, ἐπάγειν τοῖς ἵπποις. Οἱ γὰρ Νομάδες ἐπιφαινόμενοι πολλοὶ καὶ ταχεῖς ἑκάστοτε κατεῖχον τὴν χώραν. Καί ποτε τῶν Καίσαρος ἱππέων σχολὴν ἀγόντων (ἔτυχε γὰρ αὐτοῖς ἀνὴρ Λίβυς ἐπιδεικνύμενος ὄρχησιν ἅμα καὶ μοναυλῶν θαύματος ἀξίως· οἱ δὲ τερπόμενοι ἐκάθηντο, τοῖς παισὶ τοὺς ἵππους ἐπιτρέψαντες), ἐξαίφνης *δὲ* περιελθόντες ἐμβάλλουσιν οἱ πολέμιοι, καὶ τοὺς μὲν αὐτῶν κτείνουσι, τοῖς δ' εἰς τὸ στρατόπεδον προτροπάδην ἐλαυνομένοις συνεισέπεσον. Εἰ δὲ μὴ Καῖσαρ αὐτὸς, ἅμα δὲ Καίσαρι Πολλίων Ἀσίνιος, βοηθοῦντες ἐκ τοῦ χάρακος ἔσχον τὴν φυγὴν, διεπέπρακτ' ἂν ὁ πόλεμος. Ἔστι δ' ὅτε καὶ καθ' ἑτέραν μάχην ἐπλεονέκτησαν οἱ πολέμιοι, συμπλοκῆς γενομένης, ἐν ᾗ Καῖσαρ τὸν ἀετοφόρον φεύγοντα λέγεται κατασχὼν ἐκ τοῦ αὐχένος, ἀναστρέψαι· καὶ εἰπεῖν· «Ἐνταῦθα εἰσὶν οἱ πολέμιοι».

ΝΓ. Τούτοις μέντοι τοῖς προτερήμασιν ἐπήρθη Σκιπίων μάχῃ κριθῆναι· καὶ καταλιπὼν χωρὶς μὲν Ἀφράνιον, χωρὶς δὲ Ἰόβαν, δι' ὀλίγου στρατοπεδεύοντας, αὐτὸς ἐτείχιζεν ὑπὲρ λίμνης ἔρυμα τῷ στρατοπέδῳ, περὶ πόλιν Θάψον, ὡς εἴη πᾶσιν ἐπὶ τὴν μάχην ὁρμητήριον καὶ καταφυγή. Πονουμένῳ δ' αὐτῷ περὶ ταῦτα, Καῖσαρ ὑλώδεις τόπους καὶ προσβολὰς ἀφράστους ἔχοντας ἀμηχάνῳ τάχει διελθὼν, τοὺς μὲν ἐκυκλοῦτο, τοῖς δὲ προσέβαλλε κατὰ στόμα. Τρεψάμενος δὲ τούτους, ἐχρῆτο τῷ καιρῷ καὶ τῇ ῥύμῃ τῆς τύχης· ὑφ' ἧς αὐτοβοεὶ μὲν ᾕρει τὸ Ἀφρανίου στρατόπεδον, αὐτοβοεὶ δὲ, φεύγοντος Ἰόβα, διεπόρθει τὸ τῶν Νομάδων, ἡμέρας *μὲν* μιᾶς μέρει μικρῷ τριῶν στρατοπέδων ἐγκρατὴς γεγονὼς, καὶ πεντακισμυρίους τῶν πολεμίων ἀνῃρηκὼς, οὐδὲ πεντήκοντα τῶν ἰδίων ἀπέβαλεν. Οἱ μὲν ταῦτα περὶ τῆς

μάχης ἐκείνης ἀναγγέλλουσιν. Οἱ δ' οὔ φασιν αὐτὸν ἐν τῷ ἔργῳ γενέσθαι, συντάττοντος δὲ τὴν ςρατιὰν καὶ διακοσμοῦντος ἅψασθαι τὸ σύνηθες νόσημα· τὸν δ', εὐθὺς αἰσθόμενον ἀρχομένου, πρὶν ἐκταράττεσθαι καὶ καταλαμβάνεσθαι παντάπασιν ὑπὸ τοῦ πάθους τὴν αἴσθησιν, ἤδη σειόμενον εἴς τινα τῶν πλησίων πύργων κομισθῆναι, καὶ διαγαγεῖν ἐν ἡσυχίᾳ. Τῶν δὲ πεφευγότων ἐκ τῆς μάχης ὑπατικῶν καὶ ςρατηγικῶν ἀνδρῶν, οἱ μὲν ἑαυτοὺς διέφθειραν ἁλισκόμενοι, συχνοὺς δὲ Καῖσαρ ἔκτεινεν ἁλόντας.

ΝΔ. Κάτωνα δὲ λαβεῖν ζῶντα φιλοτιμούμενος, ἔσπευδε πρὸς Ἰτύκην· ἐκείνην γὰρ παραφυλάττων τὴν πόλιν, οὐ μετέσχε τοῦ ἀγῶνος. Πυθόμενος δ', ὡς ἑαυτὸν ὁ ἀνὴρ διεργάσαιτο, δῆλος μὲν ἦν δηχθείς, ἐφ' ᾧ δ', ἄδηλον. Εἶπε δ' οὖν· «Ὦ Κάτων, » φθονῶ σοι τοῦ θανάτου· καὶ γὰρ σύ μοι τῆς σωτηρίας ἐφθόνη- » σας «. Ὁ μὲν οὖν μετὰ ταῦτα γραφεὶς ὑπ' αὐτοῦ πρὸς Κάτωνα τεθνεῶτα λόγος οὐ δοκεῖ πράως ἔχοντος, οὐδ' εὐδιαλλάκτως, σημεῖον εἶναι. Πῶς γὰρ ἂν ἐφείσατο ζῶντος, εἰς ἀναίσθητον ἐκχέας ὀργὴν τοσαύτην; Τῇ δὲ πρὸς Κικέρωνα καὶ Βροῦτον αὐτοῦ καὶ μυρίους ἄλλους τῶν πεπολεμηκότων ἐπιεικίᾳ τεκμαίρονται, καὶ τὸν λόγον ἐκεῖνον, οὐκ ἐξ ἀπεχθείας, ἀλλὰ φιλοτιμίας πολιτικῆς, συντετάχθαι διὰ τοιαύτην αἰτίαν. Ἔγραψε Κικέρων ἐγκώμιον Κάτωνος, ὄνομα τῷ λόγῳ θέμενος Κάτωνα· καὶ πολλοῖς ὁ λόγος ἦν διὰ σπουδῆς, ὡς εἰκός, ὑπὸ τοῦ δεινοτάτου τῶν ῥητόρων εἰς τὴν καλλίςην πεποιημένος ὑπόθεσιν. Τοῦτ' ἠνία Καίσαρα, κατηγορίαν αὐτοῦ νομίζοντα τὸν τοῦ τεθνηκότος δι' αὐτὸν ἔπαινον. Ἔγραψεν οὖν πολλάς τινας κατὰ τοῦ Κάτωνος αἰτίας συναγαγών· τὸ δὲ βιβλίον Ἀντικάτων ἐπιγέγραπται. Καὶ σπουδαςὰς ἔχει τῶν λόγων ἑκάτερος διὰ Καίσαρα καὶ Κάτωνα πολλούς.

ΝΕ. Ἀλλὰ γάρ, ὡς ἐπανῆλθεν εἰς Ῥώμην ἀπὸ Λιβύης, πρῶτον

μὲν ὑπὲρ τῆς νίκης ἐμεγαληγόρησε πρὸς τὸν δῆμον, ὡς τοσαύτην κεχειρωμένος χώραν, ὅση παρέξει καθ' ἕκαςον ἐνιαυτὸν εἰς τὸ δημόσιον, σίτου μὲν εἴκοσι μυριάδας Ἀττικῶν μεδίμνων, ἐλαίου δὲ λιτρῶν μυριάδας τριακοσίας. Ἔπειτα θριάμβους κατήγε, τὸν Αἰγυπτιακὸν, τὸν Ποντικὸν, τὸν Λιβυκὸν, οὐκ ἀπὸ Σκιπίωνος, ἀλλ' ἀπὸ Ἰόβα δῆθεν τοῦ βασιλέως. Τότε καὶ Ἰόβας, υἱὸς ὢν ἐκείνου, κομιδῆ νήπιος, ἐν τῷ θριάμβῳ παρήχθη, μακαριωτάτην ἁλοὺς ἅλωσιν, ἐκ βαρβάρου καὶ Νομάδος, Ἑλλήνων τοῖς πολυμαθεςάτοις ἐνάριθμος γενέσθαι συγγραφεῦσι. Μετὰ δὲ τοὺς θριάμβους ςρατιώταις τε μεγάλας δωρεὰς ἐδίδου, καὶ τὸν δῆμον ἀνελάμβανεν ἑςιάσεσι καὶ θέαις. Ἑςιάσας μὲν ἐν δισμυρίοις καὶ δισχιλίοις τρικλίνοις ὁμοῦ σύμπαντας, θέας δὲ καὶ μονομάχων καὶ ναυμάχων ἀνδρῶν παρασχὼν ἐπὶ τῇ θυγατρὶ Ἰουλίᾳ πάλαι τεθνεώσῃ. Μετὰ δὲ τὰς θέας, γενομένων τιμήσεων, ἀντὶ τῶν προτέρων δυεῖν καὶ τριάκοντα μυριάδων ἐξητάσθησαν αἱ πᾶσαι πεντεκαίδεκα. Τηλικαύτην ἡ ςάσις ἀπειργάσατο συμφορὰν, καὶ τοσοῦτον ἀπανήλωσε τοῦ δήμου μέρος ἔξω τοῦ λόγου τιθεμένοις τὰ κατασχόντα τὴν ἄλλην Ἰταλίαν ἀτυχήματα καὶ τὰς ἐπαρχίας.

ΝϚ. Συντελεσθέντων δὲ τούτων, ὕπατος ἀποδειχθεὶς τὸ τέταρτον εἰς Ἰβηρίαν ἐςράτευσεν ἐπὶ τοὺς Πομπηΐου παῖδας, νέους μὲν ὄντας ἔτι, θαυμαςὴν δὲ τῷ πλήθει ςρατιὰν συνειληχότας, καὶ τόλμαν ἀποδεικνυμένους ἀξιόχρεων πρὸς ἡγεμονίαν, ὥςε κίνδυνον τῷ Καίσαρι περιςῆσαι τὸν ἔσχατον. Ἡ δὲ μεγάλη μάχη περὶ πόλιν συνέςη Μοῦνδαν, ἐν ᾗ Καῖσαρ ἐκθλιβομένους ὁρῶν τοὺς ἑαυτοῦ, καὶ κακῶς ἀντέχοντας, ἐβόα διὰ τῶν ὅπλων καὶ τῶν τάξεων διαθέων, εἰ μηδὲν αἰδοῦνται λαβόντες αὐτὸν ἐγχειρίσαι τοῖς παιδαρίοις. Μόλις δὲ προθυμίᾳ πολλῇ τοὺς πολεμίους ὠσάμενος, ἐκείνων μὲν ὑπὲρ τρισμυρίους διέφθειρε, τῶν δ' αὑτοῦ χιλίους ἀπώλεσε τοὺς ἀρίςους. Ἀπιὼν δὲ μετὰ τὴν

μάχην πρὸς τοὺς φίλους εἶπεν, ὡς πολλάκις μὲν ἀγωνίσαιτο περὶ νίκης, νῦν δὲ πρῶτον περὶ ψυχῆς. Ταύτην τὴν μάχην ἐνίκησε τῇ τῶν Διονυσίων ἑορτῇ, καθ᾽ ἣν λέγεται καὶ Πομπήϊος Μάγνος ἐπὶ τὸν πόλεμον ἐξελθεῖν· διὰ μέσου δὲ χρόνος ἐνιαυτῶν τεσσάρων διῆλθε. Τῶν δὲ Πομπηΐου παίδων ὁ μὲν νεώτερος διέφυγε, τοῦ δὲ πρεσβυτέρου μεθ᾽ ἡμέρας ὀλίγας Δίδιος ἀνήνεγκε τὴν κεφαλήν. Τοῦτον ἔσχατον Καῖσαρ ἐπολέμησε τὸν πόλεμον· ὁ δ᾽ ἀπ᾽ αὐτοῦ καταχθεὶς θρίαμβος, ὡς οὐδὲν ἄλλο, Ῥωμαίους ἠνίασεν. Οὐ γὰρ ἀλλοφύλους ἡγεμόνας, οὐδὲ βαρβάρους βασιλεῖς, κατηγωνισμένον, ἀνδρὸς δὲ Ῥωμαίων κρατίστου, τύχῃ κεχρημένου, παῖδας καὶ γένος ἄρδην ἀνῃρηκότα, ταῖς τῆς πατρίδος ἐπιπομπεύειν συμφοραῖς οὐ καλῶς εἶχεν, ἀγαλλόμενον ἐπὶ τούτοις, ὧν μία καὶ πρὸς θεοὺς καὶ πρὸς ἀνθρώπους ἀπολογία, τὸ μετ᾽ ἀνάγκης πεπρᾶχθαι· καὶ ταῦτα, πρότερον μήτ᾽ ἄγγελον, μήτε γράμματα, δημοσίᾳ πέμψαντα περὶ νίκης ἀπὸ τῶν ἐμφυλίων πολέμων, ἀλλ᾽ ἀπωσάμενον αἰσχύνῃ τὴν δόξαν.

ΝΖ. Οὐ μὴν ἀλλὰ καὶ πρὸς τὴν τύχην τοῦ ἀνδρὸς ἐγκεκλικότες καὶ δεδεγμένοι τὸν χαλινὸν, καὶ τῶν ἐμφυλίων πολέμων καὶ κακῶν ἀναπνοὴν ἡγούμενοι τὴν μοναρχίαν, δικτάτωρα μὲν αὐτὸν ἀπέδειξαν διὰ βίου. Τοῦτο δ᾽ ἦν ὁμολογουμένη μὲν τυραννὶς, τῷ ἀνυπευθύνῳ τῆς μοναρχίας τὸ ἀκατάπαυστον προσλαβούσης. Τιμὰς δὲ τὰς πρώτας Κικέρωνος εἰς τὴν βουλὴν γράψαντος, ὧν ἀμωσγέπως ἀνθρώπινον ἦν τὸ μέγεθος, ἕτεροι προστιθέντες ὑπερβολὰς, καὶ διαμιλλώμενοι πρὸς ἀλλήλους, ἐξειργάσαντο καὶ τοῖς πρᾳοτάτοις ἐπαχθῆ τὸν ἄνδρα καὶ λυπηρὸν γενέσθαι, διὰ τὸν ὄγκον καὶ τὴν ἀτοπίαν τῶν ψηφιζομένων. Οἷς οὐδὲν ἧττον οἴονται συναγωνίσασθαι τῶν κολακευόντων Καίσαρα τοὺς μισοῦντας, ὅπως ὅτι πλείστας κατ᾽ αὐτοῦ προφάσεις ἔχωσι, καὶ μετὰ μεγίστων ἐγκλημάτων ἐπιχειρεῖν δοκῶσιν. Ἐπεὶ

τά γ' ἄλλα, τῶν ἐμφυλίων αὐτῷ πολέμων πέρας ἐσχηκότων, ἀνέγκλητον ἑαυτὸν παρεῖχε· καὶ τό γε τῆς Ἐπιεικείας ἱερὸν οὐκ ἀπὸ τρόπου δοκοῦσι χαριστήριον ἐν τῇ πρᾳότητι ψηφίσασθαι. Καὶ γὰρ ἀφῆκε πολλοὺς τῶν πεπολεμηκότων πρὸς αὐτὸν, ἐνίοις δὲ καὶ τιμὰς καὶ ἀρχὰς, ὡς Βρούτῳ καὶ Κασσίῳ, προσέθηκεν· ἐστρατήγουν γὰρ ἀμφότεροι. Καὶ τὰς Πομπηΐου καταβεβλημένας εἰκόνας οὐ περιεῖδεν, ἀλλ' ἀνέστησεν· ἐφ' ὧν καὶ Κικέρων εἶπεν, ὅτι « Καῖσαρ, τοὺς Πομπηΐου στήσας ἀν- » δριάντας, τοὺς ἰδίους ἔπηξε ». Τῶν δὲ φίλων ἀξιούντων αὐτὸν δορυφορεῖσθαι, καὶ πολλῶν ἐπὶ τούτῳ παρεχόντων ἑαυτοὺς, οὐχ ὑπέμεινεν· εἰπὼν, ὡς « Βέλτιόν ἐςιν ἅπαξ ἀποθανεῖν, ἢ ἀεὶ » προσδοκᾷν ». Τὴν δ' εὔνοιαν, ὡς κάλλιςον *ἑαυτοῦ* ἅμα καὶ βεβαιότατον ἑαυτῷ περιβαλλόμενος φυλακτήριον, αὖθις ἀνελάμβανε τὸν δῆμον ἑςιάσεσι καὶ σιτηρεσίοις, τὸ δὲ ςρατιωτικὸν ἀποικίαις· ὧν ἐπιφανέςαται Καρχηδὼν καὶ Κόρινθος ἦσαν. Αἷς καὶ πρότερον τὴν ἅλωσιν, καὶ τότε τὴν ἀνάληψιν ἅμα καὶ κατὰ τὸν αὐτὸν χρόνον ἀμφοτέραις γενέσθαι συνέτυχε.

ΝΗ. Τῶν δὲ δυνατῶν τοῖς μὲν ὑπατείας καὶ ςρατηγίας εἰς τοὐπιὸν ἐπηγγέλλετο, τοὺς δ' ἄλλαις τισὶν ἐξουσίαις καὶ τιμαῖς παρεμυθεῖτο, πᾶσι δ' ἐλπίζειν ἐνεδίδου, μνηςευόμενος ἄρχειν ἑκόντων· ὡς καὶ Μαξίμου τοῦ ὑπάτου τελευτήσαντος, εἰς τὴν περιοῦσαν τῆς ἀρχῆς μίαν ἡμέραν ὕπατον ἀποδεῖξαι Κανίνιον Ῥεβίλιον. Πρὸς ὃν, ὡς ἔοικε, πολλῶν δεξιώσασθαι καὶ προπέμψαι βαδιζόντων, ὁ Κικέρων· « Σπεύδωμεν (ἔφη), πρὶν φθάσῃ τῆς » ὑπατείας ἐξελθὼν ὁ ἄνθρωπος ». Ἐπεὶ δὲ τὸ φύσει μεγαλουργὸν αὐτοῦ καὶ φιλότιμον αἱ πολλαὶ κατορθώσεις οὐ πρὸς ἀπόλαυσιν ἔτρεπον τῶν πεπονημένων, ἀλλ' ὑπέκκαυμα καὶ θάρσος οὖσαι πρὸς τὰ μέλλοντα, μειζόνων ἐνέτικτον ἐπινοίας πραγμάτων, καὶ καινῆς ἔρωτα δόξης, ὡς ἀποκεχρημένῳ τῇ παρούσῃ· τὸ μὲν πάθος οὐδὲν ἦν ἕτερον, ἢ ζῆλος αὑτοῦ, καθάπερ ἄλλου,

καὶ φιλονεικία τις ὑπὲρ τῶν μελλόντων πρὸς τὰ πεπραγμένα. Παρασκευὴ δὲ καὶ γνώμη, στρατεύειν μὲν ἐπὶ Πάρθους, καταστρεψαμένῳ δὲ τούτους, καὶ δι' Ὑρκανίας παρὰ τὴν Κασπίαν θάλασσαν καὶ τὸν Καύκασον ἐκπεριελθόντι [τὸν] Πόντον, εἰς τὴν Σκυθικὴν ἐμβαλεῖν· καὶ τὰ περίχωρα Γερμανοῖς, καὶ Γερμανίαν αὐτὴν ἐπιδραμόντι, διὰ Κελτῶν ἐπανελθεῖν εἰς Ἰταλίαν, καὶ συνάψαι τὸν κύκλον τοῦτον τῆς ἡγεμονίας τῷ πανταχόθεν Ὠκεανῷ περιορισθείσης. Διὰ μέσου δὲ τῆς στρατείας τόν τε Κορινθίων Ἰσθμὸν ἐπεχείρει διασκάπτειν, Ἀνιηνὸν ἐπὶ τούτῳ προχειρισάμενος, καὶ τὸν Τίβεριν εὐθὺς ἀπὸ τῆς πόλεως ὑπολαβὼν διώρυχι βαθείᾳ, καὶ περικλάσας ἐπὶ τὸ Κιρκαῖον, ἐμβαλεῖν εἰς τὴν πρὸς Ταῤῥακίνῃ θάλατταν, ἀσφάλειαν ἅμα καὶ ῥαστώνην τοῖς δι' ἐμπορίας φοιτῶσιν εἰς Ῥώμην μηχανώμενος· πρὸς δὲ τούτοις τὰ μὲν ἕλη τὰ περὶ Πωμέντιον καὶ Σήτιον ἐκτρέψας, πεδίον ἀποδεῖξαι πολλαῖς ἐνεργὸν ἀνθρώπων μυριάσι· τῇ δ' ἔγγιστα τῆς Ῥώμης θαλάσσῃ κλεῖθρα διὰ χωμάτων ἐπαγαγὼν, καὶ τὰ τυφλὰ καὶ δύσορμα τῆς Ὠστιανῆς ἠϊόνος ἀνακαθηράμενος, λιμένας ἐμποιήσασθαι καὶ ναύλοχα πρὸς τοσαύτην ἀξιόπιστα ναυτιλίαν. Καὶ ταῦτα μὲν ἐν παρασκευαῖς ἦν.

ΝΘ. Ἡ δὲ τοῦ ἡμερολογίου διάθεσις, καὶ διόρθωσις τῆς περὶ τὸν χρόνον ἀνωμαλίας, φιλοσοφηθεῖσα χαριέντως ὑπ' αὐτοῦ καὶ τέλος λαβοῦσα, γλαφυρωτάτην παρέσχε χρείαν. Οὐ γὰρ μόνον ἐν τοῖς παλαιοῖς πάνυ χρόνοις τεταραγμέναις ἐχρῶντο Ῥωμαῖοι ταῖς τῶν μηνῶν πρὸς ἐνιαυτὸν περιόδοις, ὥστε τὰς θυσίας καὶ τὰς ἑορτὰς, ὑποφερομένας κατὰ μικρὸν, εἰς ἐναντίας ἐκπεπτωκέναι τοῖς χρόνοις ὥρας, ἀλλὰ καὶ περὶ τὴν τότε οὖσαν ἡλιακὴν οἱ μὲν ἄλλοι παντάπασι τούτων ἀσυλλογίστως εἶχον, οἱ δ' ἱερεῖς μόνοι τὸν καιρὸν εἰδότες, ἐξαίφνης, καὶ προῃσθημένου μηδενὸς, τὸν ἐμβόλιμον προσέγραφον μῆνα, Μερκηδόνιον ὀνομάζοντες, ὃν Νομᾶς ὁ βασιλεὺς πρῶτος ἐμ-

βαλεῖν λέγεται, μικρὰν καὶ διατείνουσαν οὐ πόῤῥω βοήθειαν ἐξευρὼν τῆς περὶ τὰς ἀποκαταστάσεις πλημμελείας, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται. Καῖσαρ δὲ, τοῖς ἀρίστοις τῶν φιλοσόφων καὶ μαθηματικῶν τὸ πρόβλημα προθεὶς, ἐκ τῶν ὑποκειμένων ἤδη μεθόδων ἔδειξεν ἰδίαν τινὰ διηκριβωμένην μᾶλλον ἐπανόρθωσιν, ᾗ χρώμενοι μέχρι νῦν Ῥωμαῖοι δοκοῦσιν ἧττον ἑτέρων σφάλλεσθαι περὶ τὴν ἀνωμαλίαν. Οὐ μὴν ἀλλὰ καὶ * περὶ * τοῖς βασκαίνουσι καὶ βαρυνομένοις τὴν δύναμιν αἰτίας παρεῖχε. Κικέρων γὰρ ὁ ῥήτωρ, ὡς ἔοικε, φήσαντος τινὸς αὔριον ἐπιτέλλειν Λύραν· « Ναὶ (εἶπεν), ἐκ διατάγματος »· ὡς καὶ τοῦτο πρὸς ἀνάγκην τῶν ἀνθρώπων δεχομένων.

Ξ. Τὸ δ' ἐμφανὲς μάλιστα μῖσος καὶ θανατηφόρον ἐπ' αὐτὸν ὁ τῆς βασιλείας ἔρως ἐξειργάσατο, τοῖς μὲν πολλοῖς αἰτία πρώτη, τοῖς δ' ὑπούλοις πάλαι πρόφασις εὐπρεπεστάτη γενομένη. Καίτοι καὶ λόγον τινὰ κατέσπειραν εἰς τὸν δῆμον οἱ ταύτην Καίσαρι τὴν τιμὴν προξενοῦντες, ὡς ἐκ γραμμάτων Σιβυλλείων ἁλώσιμα τὰ Πάρθων φαίνοιτο Ῥωμαίοις σὺν βασιλεῖ στρατευομένοις ἐπ' αὐτοὺς, ἄλλως ἀνέφικτα ὄντα. καὶ, καταβαίνοντος ἐξ Ἄλβης Καίσαρος εἰς τὴν πόλιν, ἐτόλμησαν αὐτὸν ἀσπάσασθαι βασιλέα. Τοῦ δὲ δήμου διαταραχθέντος, ἀχθεσθεὶς ἐκεῖνος, οὐκ ἔφη βασιλεὺς, ἀλλὰ Καῖσαρ καλεῖσθαι. καὶ γενομένης πρὸς τοῦτο πάντων σιωπῆς, οὐ πάνυ φαιδρὸς, οὐδ' εὐμενὴς παρῆλθεν. Ἐν δὲ συγκλήτῳ τιμάς τινας ὑπερφυεῖς αὐτῷ ψηφισαμένων, ἔτυχε μὲν ὑπὲρ τῶν ἐμβόλων καθεζόμενος· προσιόντων δὲ τῶν ὑπάτων καὶ τῶν στρατηγῶν, ἅμα δὲ καὶ τῆς βουλῆς ἁπάσης ἑπομένης, οὐχ ὑπεξαναστὰς, ἀλλ' ὥσπερ ἰδιώταις τισὶ χρηματίζων, ἀπεκρίνατο συστολῆς μᾶλλον, ἢ προσθέσεως, τὰς τιμὰς δεῖσθαι. Καὶ τοῦτ' οὐ μόνον ἠνίασε, τὴν βουλὴν, ἀλλὰ καὶ τὸν δῆμον, ὡς ἐν τῇ βουλῇ τῆς πόλεως προπηλακιζομένης· καὶ μετὰ δεινῆς κατηφείας ἀπῆλθον εὐθὺς, οἷς ἐξῆν

μὴ παραμένειν. Ὥςε κἀκεῖνον ἐννοήσαντα, παραχρῆμα μὲν οἴκαδε τραπέσθαι, καὶ βοᾷν πρὸς τοὺς φίλους, ἀπαγαγόντα τοῦ τραχήλου τὸ ἱμάτιον, ὡς ἕτοιμος εἴη τῷ βουλομένῳ τὴν σφαγὴν παρέχειν. Ὕςερον δὲ προφασίζεσθαι τὴν νόσον· οὐ γὰρ ἐθέλειν τὴν αἴσθησιν ἀτρεμεῖν τῶν οὕτως ἐχόντων, ὅταν ἱςάμενοι διαλέγωνται πρὸς ὄχλον, ἀλλὰ σειομένην ταχὺ καὶ περιφερομένην εἰλίγγους ἐπισπᾶσθαι καὶ καταλαμβάνεσθαι. Τὸ δ' οὐκ εἶχεν οὕτως, ἀλλὰ καὶ πάνυ βουλόμενον αὐτὸν ὑπεξαναςῆναι τῇ βουλῇ, λέγουσιν ὑπό του τῶν φίλων, μᾶλλον δὲ κολάκων, Κορνηλίου Βάλβου, κατασχεθῆναι, φήσαντος· « Οὐ μεμνήσῃ Καῖσαρ ὤν, οὐδ' ἀξιώσεις ὡς κρείττονα θεραπεύεσθαι σεαυτόν »;

ΞΑ. Ἐπιγίνεται τούτοις τοῖς προσκρούσμασιν ὁ τῶν δημάρχων προπηλακισμός. Ἦν μὲν γὰρ ἡ τῶν Λουπερκαλίων ἑορτή, περὶ ἧς πολλοὶ γράφουσιν, ὡς ποιμένων τὸ παλαιὸν εἴη, καί τι καὶ προσήκει τοῖς Ἀρκαδικοῖς Λυκαίοις. Τῶν δ' εὐγενῶν νεανίσκων καὶ ἀρχόντων πολλοὶ διαθέουσιν ἀνὰ τὴν πόλιν γυμνοί, σκύτεσι λασίοις τοὺς ἐμποδὼν ἐπὶ παιδιᾷ καὶ γέλωτι παίοντες· πολλαὶ δὲ καὶ τῶν ἐν τέλει γυναικῶν ἐπίτηδες ὑπαντῶσαι παρέχουσιν, ὥσπερ ἐν διδασκάλου, τὼ χεῖρε ταῖς πληγαῖς πεπεισμέναι πρὸς εὐτοκίαν κυούσαις, ἀγόνοις δὲ πρὸς κύησιν ἀγαθὸν εἶναι. Ταῦτα Καῖσαρ ἐθεᾶτο, καθήμενος ἐπὶ τῶν ἐμβόλων ἐπὶ δίφρου χρυσοῦ, θριαμβικῷ κόσμῳ κεκοσμημένος. Ἀντώνιος δὲ τῶν θεόντων τὸν ἱερὸν δρόμον εἷς ἦν· καὶ γὰρ ὑπάτευεν. Ὡς οὖν εἰς τὴν ἀγορὰν ἐνέβαλε, καὶ τὸ πλῆθος αὐτῷ διέςη, φέρων διάδημα ςεφάνῳ δάφνης περιπεπλεγμένον, ὤρεξε τῷ Καίσαρι. Καὶ γίνεται κρότος οὐ λαμπρός, ἀλλ' ὀλίγος ἐκ παρασκευῆς. Ἀπωσαμένου δὲ τοῦ Καίσαρος, ἅπας ὁ δῆμος ἀνεκρότησεν. Αὖθις δὲ προσφέροντος, ὀλίγοι, καὶ μὴ δεξαμένου, πάλιν ἅπαντες. Οὕτω δὲ τῆς πείρας ἐξελεγχομένης, Καῖσαρ μὲν ἀν-

ἵσταται, τὸν στέφανον εἰς τὸ Καπιτώλιον ἀπενεχθῆναι κελεύσας. Ὤφθησαν δὲ ἀνδριάντες αὐτοῦ διαδήμασιν ἀναδεδεμένοι βασιλικοῖς· καὶ τῶν δημάρχων δύο, Φλαούϊος καὶ Μάρυλλος, ἐπελθόντες ἀπέσπασαν, καὶ τοὺς ἀσπασαμένους βασιλέα τὸν Καίσαρα πρώτους ἐξευρόντες, ἀπῆγον εἰς τὸ δεσμωτήριον. Ὁ δὲ δῆμος εἵπετο κροτῶν, καὶ Βρούτους ἀπεκάλει τοὺς ἄνδρας; ὅτι Βροῦτος ἦν ὁ καταλύσας τὴν τῶν βασιλέων διαδοχὴν, καὶ τὸ κράτος εἰς βουλὴν καὶ δῆμον ἐκ μοναρχίας καταστήσας. Ἐπὶ τούτῳ Καῖσαρ παροξυνθεὶς, τὴν μὲν ἀρχὴν ἀφείλετο τῶν περὶ τὸν Μάρυλλον· ἐν δὲ τῷ κατηγορεῖν αὐτῶν, ἅμα καὶ τὸν δῆμον ἐφυβρίζων, πολλάκις Βρούτους τε καὶ Κυμαίους ἀπεκάλει τοὺς ἄνδρας.

ΞΒ. οὕτω δὴ τρέπονται πρὸς Μάρκον Βροῦτον οἱ πολλοὶ, γένος μὲν ἐκεῖθεν εἶναι δοκοῦντα πρὸς πατέρων, καὶ πρὸς μητρὸς *δ'* ἀπὸ Σερβιλίων, οἰκίας ἑτέρας ἐπιφανοῦς, γαμβρὸν δὲ καὶ ἀδελφιδοῦν Κάτωνος. Τοῦτον μὲν ἐξ ἑαυτοῦ ὁρμῆσαι πρὸς κατάλυσιν τῆς μοναρχίας ἤμβλυνον αἱ παρὰ Καίσαρος τιμαὶ καὶ χάριτες. Οὐ γὰρ μόνον ἐσώθη περὶ Φάρσαλον ἀπὸ τῆς Πομπηΐου φυγῆς, οὐδὲ πολλοὺς τῶν ἐπιτηδείων ἔσωσεν ἐξαιτησάμενος, ἀλλὰ καὶ πίστιν εἶχε μεγάλην παρ' αὐτῷ. Καὶ στρατηγίαν μὲν ἐν τοῖς τότε τὴν ἐπιφανεστάτην ἔλαβεν, ὑπατεύειν δ' ἔμελλεν εἰς τέταρτον ἔτος, ἐρίσαντος Κασσίου προτιμηθείς. Λέγεται γὰρ ὁ Καῖσαρ εἰπεῖν, ὡς δικαιότερα λέγοι μὲν Κάσσιος, αὐτὸς μέντοι Βροῦτον οὐκ ἂν παρέλθοι. Καί ποτε καὶ διαβαλλόντων τινῶν τὸν ἄνδρα, πραττομένης ἤδη τῆς συνωμοσίας, οὐ προσέσχεν, ἀλλὰ τοῦ σώματος τῇ χειρὶ θίγων, ἔφη πρὸς τοὺς διαβάλλοντας, « Ἀναμενεῖ τοῦτο τὸ δέρμα Βροῦτος». ὡς ἄξιον μὲν ὄντα τῆς ἀρχῆς δι' ἀρετὴν, διὰ δὲ τὴν ἀρχὴν οὐκ ἂν ἀχάριστον καὶ πονηρὸν γενόμενον. Οἱ δὲ τῆς μεταβολῆς ἐφιέμενοι, καὶ πρὸς μόνον ἐκεῖνον, ἢ πρῶτον, ἀποβλέποντες,

αὐτῷ μὲν οὐκ ἐτόλμων διαλέγεσθαι. Νύκτωρ δὲ κατεπίμπλασαν γραμμάτων τὸ βῆμα, καὶ τὸν δίφρον, ἐφ' οὗ ςρατηγῶν ἐχρημάτιζεν· ὧν ἦν τὰ πολλὰ τοιαῦτα· « Καθεύδεις, Βροῦτε » καὶ « Οὐκ » εἶ Βροῦτος ». Ὑφ' ὧν ὁ Κάσσιος αἰσθόμενος διακινούμενον ἡσυχῆ τὸ φιλότιμον αὐτοῦ, μᾶλλον, ἢ πρότερον, ἐνέκειτο, καὶ παρώξυνεν, αὐτὸς ἰδίᾳ τι καὶ μίσους ἔχων πρὸς τὸν Καίσαρα, δι' αἰτίας, ἃς ἐν τοῖς περὶ Βρούτου γεγραμμένοις δεδηλώκαμεν. Εἶχε μέντοι καὶ δι' ὑποψίας ὁ Καῖσαρ αὐτὸν, ὥςε καὶ πρὸς τοὺς φίλους εἰπεῖν ποτε· « Τί φαίνεται βουλόμενος ὑμῖν Κάσ» σιος; ἐμοὶ μὲν γὰρ οὐ λίαν ἀρέσκει, λίαν ὠχρὸς ὤν ». Πάλιν δὲ λέγεται περὶ Ἀντωνίου καὶ Δολαβέλλα, διαβολῆς πρὸς αὐτὸν, ὡς νεωτερίζοιεν, ἐλθούσης· « Οὐ πάνυ (φάναι) τούτους δέδοικα » τοὺς παχεῖς καὶ κομήτας, μᾶλλον δὲ τοὺς ὠχροὺς καὶ λεπτοὺς » ἐκείνους »· Κάσσιον λέγων καὶ Βροῦτον.

ΞΓ. Ἀλλ' ἔοικεν οὐχ οὕτως ἀπροσδόκητον, ὡς ἀφύλακτον, εἶναι τὸ πεπρωμένον· ἐπεὶ καὶ τὰ σημεῖα θαυμαςὰ καὶ φάσματα φανῆναι λέγουσι. Σέλα μὲν οὖν οὐράνια, καὶ κτύπους νύκτωρ πολλαχοῦ διαφερομένους, καὶ καταίροντας εἰς ἀγορὰν ἐρήμους ὄρνιθας, οὐκ ἄξιον ἴσως ἐπὶ πάθει τηλικούτῳ μνημονεῦσαι. Στράβων δ' ὁ φιλόσοφος ἱςορεῖ, πολλοὺς μὲν ἀνθρώπους διαπύρους ἐπιφερομένους φανῆναι, στρατιώτου δ' ἀνδρὸς οἰκέτην ἐκ τῆς χειρὸς ἐκβαλεῖν πολλὴν φλόγα, καὶ δοκεῖν καίεσθαι τοῖς ὁρῶσιν· ὡς δ' ἐπαύσατο, μηδὲν ἔχειν κακὸν τὸν ἄνθρωπον. Αὐτῷ δὲ Καίσαρι θύοντι τὴν καρδίαν ἀφανῆ γενέσθαι τοῦ ἱερείου, καὶ δεινὸν νομισθῆναι τὸ τέρας. Οὐ γὰρ ἂν φύσει γε συστῆναι ζῶον ἀκάρδιον. Ἔστι δὲ καὶ ταῦτα πολλῶν ἀκοῦσαι διεξιόντων, ὥς τις αὐτῷ μάντις ἡμέρᾳ Μαρτίου μηνὸς, ἣν Εἰδοὺς Ῥωμαῖοι καλοῦσι, προείποι μέγαν φυλάττεσθαι κίνδυνον. Ἐλθούσης δὲ τῆς ἡμέρας, προϊὼν ὁ Καῖσαρ εἰς τὴν σύγκλητον, ἀσπασάμενος προσπαίξειε τῷ μάντει, φάμενος· « Αἱ μὲν δὴ Μάρτιαι

» Εἰδοὶ πάρεισιν »· ὁ δ' ἡσυχῇ πρὸς αὐτὸν εἶποι· « Ναὶ πάρεισιν, » ἀλλ' οὐ παρεληλύθασι ». Πρὸ μιᾶς δ' ἡμέρας, Μάρκου Λεπίδου δειπνίζοντος αὐτὸν, ἔτυχε μὲν ἐπιστολαῖς ὑπογράφων, ὥσπερ εἰώθει, κατακείμενος· ἐμπεσόντος δὲ λόγου, ποῖος ἄρα τῶν θανάτων ἄριστος, ἅπαντας φθάσας ἐξεβόησεν· « Ὁ ἀπροσδό- » κητος ». Μετὰ ταῦτα κοιμώμενος, ὥσπερ εἰώθει, παρὰ τῇ γυναικὶ, πασῶν ἅμα τῶν θυρῶν τοῦ δωματίου καὶ τῶν θυρίδων ἀναπεταννυμένων, διαταραχθεὶς ἅμα τῷ κτύπῳ, καὶ τῷ φωτὶ, καταλαμπούσης τῆς σελήνης, ᾔσθετο τὴν Καλπουρνίαν βαθέως μὲν καθεύδουσαν, ἀσαφεῖς δὲ φωνὰς καὶ στεναγμοὺς ἀνάρθρους ἐκ τῶν ὕπνων ἀναπέμπουσαν. Ἐδόκει δ' ἄρα κλαίειν ἐκεῖνον ἐπὶ ταῖς ἀγκάλαις ἔχουσα κατεσφαγμένον. Οἱ δ' οὔ φασι τῇ γυναικὶ ταύτην γενέσθαι τὴν ὄψιν· ἀλλ' ἦν γάρ τι τῇ Καίσαρος οἰκίᾳ προσκείμενον, οἷον ἐπὶ κόσμῳ καὶ σεμνότητι, τῆς βουλῆς ψηφισαμένης, ἀκρωτήριον, ὡς Λίβιος ἱστορεῖ· τοῦτ' ὄναρ ἡ Καλπουρνία θεασαμένη καταῤῥηγνύμενον, ἔδοξε ποτνιᾶσθαι καὶ δακρύειν. Ἡμέρας δ' οὖν γενομένης, ἐδεῖτο τοῦ Καίσαρος, εἰ μὲν οἷόν τε, μὴ προελθεῖν, ἀλλ' ἀναβαλέσθαι τὴν σύγκλητον· εἰ δὲ τῶν ἐκείνης ὀνείρων ἐλάχιστα φροντίζει, σκέψασθαι διὰ μαντικῆς ἄλλης καὶ ἱερῶν περὶ τοῦ μέλλοντος. Εἶχε δέ τις, ὡς ἔοικε, κἀκεῖνον ὑποψία καὶ φόβος. Οὐδένα γὰρ γυναικισμὸν ἐν δεισιδαιμονίᾳ πρότερον κατεγνώκει τῆς Καλπουρνίας, τότε δ' ἑώρα περιπαθοῦσαν. Ὡς δὲ καὶ πολλὰ καταθύσαντες οἱ μάντεις ἔφασαν αὐτῷ δυσιερεῖν, ἔγνω, πέμψας Ἀντώνιον, ἀφεῖναι τὴν σύγκλητον.

ΞΔ. Ἐν δὲ τούτῳ Δέκιμος Βροῦτος, ἐπίκλησιν Ἀλβῖνος, πιστευόμενος μὲν ὑπὸ Καίσαρος, ὥστε καὶ δεύτερος ὑπ' αὐτοῦ κληρονόμος γεγράφθαι, τοῖς δὲ περὶ Βροῦτον τὸν ἕτερον καὶ Κάσσιον μετέχων τῆς συνωμοσίας, φοβηθεὶς, μὴ, τὴν ἡμέραν ἐκείνην διακρουσαμένου τοῦ Καίσαρος, ἔκπυστος ἡ πρᾶξις

νηται, τούς τε μάντεις ἐχλεύαζε, καὶ καθήπτετο τοῦ Καίσαρος, ὡς αἰτίας καὶ διαβολὰς ἑαυτῷ κτωμένου πρὸς τὴν σύγκλητον, ἐντρυφᾶσθαι δοκοῦσαν· ἥκειν μὲν γὰρ αὐτὴν, κελεύσαντος ἐκείνου, καὶ προθύμους εἶναι ψηφίζεσθαι πάντας, ὅπως τῶν ἐκτὸς Ἰταλίας ἐπαρχιῶν βασιλεὺς ἀναγορεύοιτο, καὶ φοροίη διάδημα τὴν ἄλλην ἐπιὼν γῆν καὶ θάλασσαν· εἰ δὲ φράζοι τις αὐτοῖς καθεζομένοις, νῦν μὲν ἀπαλλάττεσθαι, παρεῖναι δ' αὖθις, ὅταν ἐντύχῃ βελτίοσιν ὀνείροις Καλπουρνία, τίνας ἔσεσθαι λόγους παρὰ τῶν φθονούντων; ἢ τίνα τῶν φίλων ἀνέξεσθαι διδασκόντων, ὡς οὐχὶ δουλεία ταῦτα καὶ τυραννίς ἐστιν; ἀλλ' εἰ δοκεῖ πάντως, ἔφη, τὴν ἡμέραν ἀφοσιώσασθαι, βέλτιον αὐτὸν προελθόντα καὶ προσαγορεύσαντα τὴν βουλὴν ὑπερθέσθαι. Ταῦθ' ἅμα λέγων ὁ Βροῦτος, ἦγε τῆς χειρὸς λαβόμενος τὸν Καίσαρα, καὶ μικρὸν μὲν αὐτῷ προελθόντι τῶν θυρῶν οἰκέτης ἀλλότριος ἐντυχεῖν προθυμούμενος, ὡς ἡττᾶτο τοῦ περὶ ἐκεῖνον ὠθισμοῦ καὶ πλήθους, βιασάμενος εἰς τὴν οἰκίαν, παρέδωκεν ἑαυτὸν τῇ Καλπουρνίᾳ, φυλάττειν κελεύσας, ἄχρις ἂν ἐπανέλθῃ Καῖσαρ, ὡς ἔχων μεγάλα πράγματα κατειπεῖν πρὸς αὐτόν.

ΞΕ. Ἀρτεμίδωρος δὲ, Κνίδιος τὸ γένος, Ἑλληνικῶν λόγων σοφιστὴς, καὶ διὰ τοῦτο γεγονὼς ἐνίοις συνήθης τῶν περὶ Βροῦτον, ὥστε καὶ γνῶναι τὰ πλεῖστα τῶν πραττομένων, ἧκε μὲν ἐν βιβλιδίῳ κομίζων, ἅπερ ἔμελλε μηνύειν· ὁρῶν δὲ τὸν Καίσαρα τῶν βιβλίων ἕκαστον δεχόμενον, καὶ παραδιδόντα τοῖς περὶ αὐτὸν ὑπηρέταις, ἐγγὺς σφόδρα προσελθών· « Τοῦτο (ἔφη), » Καῖσαρ, ἀνάγνωθι μόνος καὶ ταχέως· γέγραπται γὰρ ὑπὲρ » πραγμάτων μεγάλων, καί σοι διαφερόντων ». Δεξάμενος οὖν ὁ Καῖσαρ, ἀναγνῶναι μὲν ὑπὸ πλήθους τῶν ἐντυγχανόντων ἐκωλύθη, καίπερ ὁρμήσας πολλάκις· ἐν δὲ τῇ χειρὶ κατέχων καὶ φυλάττων μόνον ἐκεῖνο, παρῆλθεν εἰς τὴν σύγκλητον. Ἔνιοι δὲ

φασιν, ἄλλον ἐπιδοῦναι τὸ βιβλίον τοῦτο, τὸν δ' Ἀρτεμίδωρον οὐδ' ὅλως προσελθεῖν, ἀλλ' ἐκθλιβῆναι παρὰ πᾶσαν τὴν ὁδόν.

Ξϛ. Ἀλλὰ ταῦτα μὲν ἤδη που φέρει καὶ τὸ αὐτόματον· ὁ δὲ δεξάμενος τὸν φόνον ἐκεῖνον καὶ τὸν ἀγῶνα χῶρος, εἰς ὃν ἡ σύγκλητος ἠθροίσθη τότε, Πομπηΐου μὲν εἰκόνα κειμένην ἔχων, Πομπηΐου δ' ἀνάθημα γεγονὼς τῶν προσκεκοσμημένων τῷ θεάτρῳ, παντάπασιν ἀπέφηνε δαίμονός τινος ὑφηγουμένου, καὶ καλοῦντος ἐκεῖ τὴν πρᾶξιν, ἔργον γεγονέναι. Καὶ γὰρ οὖν καὶ λέγεται Κάσσιος, εἰς τὸν ἀνδριάντα τοῦ Πομπηΐου πρὸ τῆς ἐγχειρήσεως ἀποβλέπων, ἐπικαλεῖσθαι σιωπῇ, καίπερ οὐκ ἀλλότριος ὢν τῶν Ἐπικούρου λόγων· ἀλλ' ὁ καιρὸς, ὡς ἔοικεν, ἤδη τοῦ δεινοῦ παρεστῶτος, ἐνθουσιασμὸν ἐνεποίει καὶ πάθος, ἀντὶ τῶν προτέρων λογισμῶν. Ἀντώνιον μὲν οὖν, πιστὸν ὄντα Καίσαρι καὶ Ῥωμαλέον, ἔξω παρακατεῖχε Βροῦτος Ἀλβῖνος, ἐμβαλὼν ἐπίτηδες ὁμιλίαν μῆκος ἔχουσαν. Εἰσιόντος δὲ Καίσαρος, ἡ βουλὴ μὲν ὑπεξανέστη θεραπεύουσα· τῶν δὲ περὶ Βροῦτον οἱ μὲν ἐξόπισθεν τὸν δίφρον αὐτοῦ περιέστησαν, οἱ δ' ἀπήντησαν, ὡς δὴ Τυλλίῳ Κίμβρῳ, περὶ ἀδελφοῦ φυγάδος ἐντυγχάνοντι, συνδεησόμενοι, καὶ συνεδέοντο μέχρι τοῦ δίφρου παρακολουθοῦντες. Ὡς δὲ καθίσας διεκρούετο τὰς δεήσεις, καὶ προσκειμένων βιαιότερον, ἠγανάκτει πρὸς ἕκαστον, ὁ μὲν Τύλλιος τὴν τήβεννον αὐτοῦ ταῖς χερσὶν ἀμφοτέραις συλλαβὼν, ἀπὸ τοῦ τραχήλου κατῆγεν· ὅπερ ἦν σύνθημα τῆς ἐπιχειρήσεως. Πρῶτος δὲ Κάσκας ξίφει παίει παρὰ τὸν αὐχένα, πληγὴν οὐ θανατηφόρον, οὐδὲ βαθεῖαν, ἀλλ', ὡς εἰκὸς, ἐν ἀρχῇ τολμήματος μεγάλου ταραχθείς· ὥστε καὶ τὸν Καίσαρα μεταστραφέντα τοῦ ἐγχειριδίου λαβέσθαι καὶ κατασχεῖν. Ἅμα δέ πως ἐξεφώνησαν, ὁ μὲν πληγεὶς, Ῥωμαϊστί· « Μιαρώτατε Κάσκα, τί ποιεῖς » ; ὁ δὲ πλήξας, Ἑλληνιστὶ πρὸς τὸν ἀδελφόν. « Ἀδελφὲ, βοήθει ». Τοιαύτης δὲ ταραχῆς γενομένης, τοὺς μὲν οὐδὲν συνειδότας,

ἔκπληξις εἶχε, καὶ φρίκη πρὸς τὰ δρώμενα, μήτε φεύγειν, μήτ' ἀμύνειν, ἀλλὰ μηδὲ φωνὴν ἐκβάλλειν τολμῶντας. Τῶν δὲ παρεσκευασμένων ἐπὶ τὸν φόνον ἑκάστου γυμνὸν ἀποδείξαντος τὸ ξίφος, ἐν κύκλῳ περιεχόμενος, καὶ πρὸς ὅ τι τρέψειε τὴν ὄψιν, πληγαῖς ἀπαντῶν, καὶ σιδήρῳ φερομένῳ *καὶ* κατὰ προσώπου καὶ κατ' ὀφθαλμῶν διελαυνόμενος, ὥσπερ θηρίον ἐνειλεῖτο ταῖς πάντων χερσίν. Ἅπαντας γὰρ ἔδει κατάρξασθαι καὶ γεύσασθαι τοῦ φόνου. Διὸ καὶ Βροῦτος αὐτῷ πληγὴν ἐνέβαλε μίαν εἰς τὸν βουβῶνα. Λέγεται δ' ὑπό τινων, ὡς ἄρα πρὸς τοὺς ἄλλους απομαχόμενος, καὶ διαφέρων δεῦρο κἀκεῖ τὸ σῶμα, καὶ κεκραγὼς, ὅτε Βροῦτον εἶδεν ἐσπασμένον τὸ ξίφος, ἐφειλκύσατο κατὰ τῆς κεφαλῆς τὸ ἱμάτιον, καὶ παρῆκεν ἑαυτὸν, εἴτ' ἀπὸ τύχης, εἴτε ὑπὸ τῶν κτεινάντων, ἀπωσθεὶς πρὸς τὴν βάσιν, ἐφ' ἧς ὁ Πομπηΐου βέβηκεν ἀνδριάς. Καὶ πολὺ καθῄμαξεν αὐτῆς ὁ φόνος, ὡς δοκεῖν αὐτὸν ἐφεστάναι τῇ τιμωρίᾳ τοῦ πολεμίου Πομπηΐου ὑπὸ πόδας κεκλιμένου, καὶ περισπαίροντος ὑπὸ πλήθους τραυμάτων. Εἴκοσι γὰρ καὶ τρία λαβεῖν λέγεται· καὶ πολλοὶ κατετρώθησαν ὑπ' ἀλλήλων, εἰς ἓν ἀπερειδόμενοι σῶμα πληγὰς τοσαύτας.

ΞΖ. Κατειργασμένου δὲ τοῦ ἀνδρὸς, ἡ μὲν γερουσία, καίπερ εἰς μέσον Βρούτου ἐλθόντος, ὥς τι περὶ τῶν πεπραγμένων ἐροῦντος, οὐκ ἀνασχομένη διὰ τῶν θυρῶν ἐξέπιπτε, καὶ φεύγουσα κατέπλησε ταραχῆς καὶ δέους ἀπόρου τὸν δῆμον, ὥστε τοὺς μὲν τὰς οἰκίας κλείειν, τοὺς δ' ἀπολείπειν τραπέζας καὶ χρηματιστήρια· δρόμῳ δὲ χωρεῖν, τοὺς μὲν ἐπὶ τὸν τόπον, ὀψομένους τὸ πάθος, τοὺς δ' ἐκεῖθεν, ἑωρακότας. Ἀντώνιος δὲ καὶ Λέπιδος, οἱ μάλιστα φίλοι Καίσαρος, ὑπεκδύντες, εἰς οἰκίας ἑτέρας κατέφυγον. Οἱ δὲ περὶ Βροῦτον, ὥσπερ ἦσαν ἔτι θερμοὶ τῷ φόνῳ, γυμνὰ τὰ ξίφη δεικνύντες, ἅμα πάντες ἀπὸ τοῦ βουλευτηρίου συστραφέντες ἐχώρουν εἰς τὸ Καπιτώλιον, οὐ φεύ-

γουσιν ἐοικότες, ἀλλὰ μάλα φαιδροὶ καὶ θαῤῥαλέοι, παρακαλοῦντες ἐπὶ τὴν ἐλευθερίαν τὸ πλῆθος, καὶ προσδεχόμενοι τοὺς ἀρίστους τῶν ἐντυγχανόντων. Ἔνιοι δὲ καὶ συνανέβαινον αὐτοῖς, καὶ κατεμίγνυσαν ἑαυτοὺς, ὡς μετεσχηκότες τοῦ ἔργου, καὶ προσεποιοῦντο τὴν δόξαν· ὧν ἦν καὶ Γάϊος Ὀκταούϊος καὶ Λέντλος Σπινθήρ. Οὗτοι μὲν οὖν τῆς ἀλαζονείας δίκην ἔδωκαν ὕστερον, ὑπ' Ἀντωνίου καὶ τοῦ νέου Καίσαρος ἀναιρεθέντες, καὶ μηδὲ τῆς δόξης, δι' ἣν ἀπέθνησκον, ἀπολαύσαντες, ἀπιστίᾳ τῶν ἄλλων. Οὐδὲ γὰρ οἱ κολάζοντες αὐτοὺς, τῆς πράξεως, ἀλλὰ τῆς βουλήσεως, τὴν δίκην ἔλαβον. Μεθ' ἡμέραν δὲ τῶν περὶ Βροῦτον κατελθόντων καὶ ποιησαμένων λόγους, ὁ μὲν δῆμος, οὔτε δυσχεραίνων, οὔτε, ὡς ἐπαινῶν τὰ πεπραγμένα, τοῖς λεγομένοις προσεῖχεν, ἀλλ' ὑπεδήλου τῇ πολλῇ σιωπῇ, Καίσαρα μὲν οἰκτείρων, αἰδούμενος δὲ Βροῦτον. Ἡ δὲ σύγκλητος, ἀμνηστίας τινὰς καὶ συμβάσεις πράττουσα πᾶσι, Καίσαρα μὲν ὡς θεὸν τιμᾶν ἐψηφίσατο, καὶ κινεῖν μηδὲ τὸ σμικρότατον, ὧν ἐκεῖνος ἄρχων ἐβούλευσε· τοῖς δὲ περὶ Βροῦτον ἐπαρχίας τε διένειμε, καὶ τιμὰς ἀπέδωκε πρεπούσας· ὥστε πάντας οἴεσθαι, τὰ πράγματα κατάστασιν ἔχειν, καὶ σύγκρισιν ἀπειληφέναι τὴν ἀρίστην.

ΞΗ. Ἐπεὶ δὲ, τῶν διαθηκῶν τῶν Καίσαρος ἀνοιχθεισῶν, εὑρέθη δεδομένη Ῥωμαίων ἑκάστῳ δόσις ἀξιόλογος, καὶ τὸ σῶμα κομιζόμενον δι' ἀγορᾶς ἐθεάσαντο ταῖς πληγαῖς διαλελωβημένον, οὐκ ἔτι κόσμον εἶχεν, οὐδὲ τάξιν αὐτῶν τὸ πλῆθος, ἀλλὰ τῷ μὲν νεκρῷ περισωρεύσαντες ἐξ ἀγορᾶς βάθρα καὶ κιγκλίδας καὶ τραπέζας, ὑφῆψαν αὐτοῦ καὶ κατέκαυσαν· ἀράμενοι δὲ δαλοὺς διαπύρους ἔθεον ἐπὶ τὰς οἰκίας τῶν ἀνῃρηκότων καταφλέξοντες, ἄλλοι δ' ἐφοίτων πανταχόσε τῆς πόλεως, συλλαβεῖν καὶ διασπάσασθαι τοὺς ἄνδρας ζητοῦντες. Οἷς ἐκείνων μὲν οὐδεὶς ἀπήντησεν, ἀλλ' εὖ πεφραγμένοι πάντες ἦσαν. Κίννας δέ τις τῶν Καίσαρος ἑταίρων ἔτυχε μὲν, ὥς φασι, τῆς παρῳχημένης νυκτὸς

ὄψιν ἑωρακὼς ἄτοπον. Ἐδόκει γὰρ ὑπὸ Καίσαρος ἐπὶ δεῖπνον καλεῖσθαι· παραιτούμενος δ᾽, ἄγεσθαι τῆς χειρὸς ὑπ᾽ αὐτοῦ, μὴ βουλόμενος, ἀλλ᾽ ἀντιτείνων. Ὡς δ᾽ ἤκουσεν, ἐν ἀγορᾷ τὸ σῶμα καίεσθαι τοῦ Καίσαρος, ἀναστὰς ἐβάδιζεν ἐπὶ τιμῇ, καίπερ ὑφορώμενος τὴν ὄψιν ἅμα καὶ πυρέττων. Καί τις, ὀφθέντος αὐτοῦ, τῶν πολλῶν ἔφρασεν ἑτέρῳ τοὔνομα πυνθανομένῳ, κἀκεῖνος ἄλλῳ, καὶ διὰ πάντων εὐθὺς ἦν, ὡς οὗτός ἐστιν ὁ ἀνὴρ τῶν ἀνῃρηκότων Καίσαρα· καὶ γὰρ ἦν τις ὁμώνυμος ἐκείνῳ Κίννας ἐν τοῖς συνωμοσαμένοις, ὃν τοῦτον εἶναι προλαβόντες, ὥρμησαν εὐθὺς καὶ διέσπασαν ἐν μέσῳ τὸν ἄνθρωπον. Τοῦτο μάλιστα δείσαντες οἱ περὶ Βροῦτον καὶ Κάσσιον, οὐ πολλῶν ἡμερῶν διαγενομένων, ἀπεχώρησαν ἐκ τῆς πόλεως. Ἃ δὲ καὶ πράξαντες καὶ παθόντες ἐτελεύτησαν, ἐν τοῖς περὶ Βρούτου γέγραπται.

ΞΘ. Θνήσκει δὲ Καῖσαρ, τὰ μὲν πάντα γεγονὼς ἔτη πεντήκοντα καὶ ἕξ, Πομπηΐῳ δ᾽ ἐπιβιώσας οὐ πολὺ πλέον ἐτῶν τεσσάρων· ἣν δὲ τῷ βίῳ παντὶ ἀρχὴν καὶ δυναστείαν διὰ κινδύνων τοσούτων διώκων μόλις κατειργάσατο, ταύτης οὐδὲν ὅτι μὴ τοὔνομα μόνον καὶ τὴν ἐπίφθονον καρπωσάμενος δόξαν παρὰ τῶν πολιτῶν. Ὁ μέντοι μέγας αὐτοῦ δαίμων, ᾧ παρὰ τὸν βίον ἐχρήσατο, καὶ τελευτήσαντος ἐπηκολούθησε τιμωρὸς τοῦ φόνου, διά τε γῆς πάσης καὶ θαλάσσης ἐλαύνων καὶ ἀνιχνεύων ἄχρι τοῦ μηδένα λιπεῖν τῶν ἀπεκτονότων, ἀλλὰ καὶ τοὺς καθ᾽ ὁτιοῦν, ἢ χειρὶ τοῦ ἔργου θιγόντας, ἢ γνώμης μετασχόντας, ἐπεξελθεῖν. Θαυμασιώτατον δὲ τῶν μὲν ἀνθρωπίνων τὸ περὶ Κάσσιον· ἡττηθεὶς γὰρ ἐν Φιλίπποις, ἐκείνῳ τῷ ξιφιδίῳ διέφθειρεν ἑαυτὸν, ᾧ κατὰ Καίσαρος ἐχρήσατο· τῶν δὲ θείων, ὅ τε μέγας κομήτης (ἐφάνη γὰρ ἐπὶ νύκτας ἑπτὰ μετὰ τὴν Καίσαρος σφαγὴν διαπρεπὴς, εἶτ᾽ ἠφανίσθη), καὶ τὸ περὶ τὸν ἥλιον ἀμαύρωμα τῆς αὐγῆς. Ὅλον γὰρ ἐκεῖνον τὸν ἐνιαυτὸν ὠχρὸς μὲν ὁ κύκλος καὶ

μαρμαρυγὰς οὐκ ἔχων ἀνέτελλεν, ἀδρανὲς δὲ καὶ λεπτὸν ἀπ' αὐτοῦ κατήει τὸ θερμόν· ὥςε τὸν μὲν ἀέρα δνοφερὸν καὶ βαρὺν ἀσθενείᾳ τῆς διακρινούσης αὐτὸν ἀλέας ἐκφέρεσθαι, τοὺς δὲ καρποὺς ἡμιπέπτους καὶ ἀτελεῖς ἀπανθῆσαι καὶ παρακμάσαι διὰ τὴν ψυχρότητα τοῦ περιέχοντος. Μάλιστα δὲ τὸ Βρούτῳ γενόμενον φάσμα τὴν Καίσαρος ἐδήλωσε σφαγὴν οὐ γενομένην θεοῖς ἀρεςήν· ἦν δὲ τοιόνδε· μέλλων τὸν στρατὸν ἐξ Ἀβύδου διαβιβάζειν εἰς τὴν ἑτέραν ἤπειρον, ἀνεπαύετο νυκτὸς, ὥσπερ εἰώθει, κατὰ σκηνὴν, οὐ καθεύδων, ἀλλὰ φροντίζων περὶ τοῦ μέλλοντος. Λέγεται γὰρ οὗτος ἀνὴρ ἥκιστα δὴ τῶν στρατηγῶν ὑπνώδης γενέσθαι, καὶ πλεῖςον ἑαυτῷ χρόνον ἐγρηγορότι χρῆσθαι πεφυκώς. Ψόφου δέ τινος αἰσθέσθαι περὶ τὴν θύραν ἔδοξε, καὶ πρὸς τὸ τοῦ λύχνου φῶς ἤδη καταφερομένου σκεψάμενος, ὄψιν εἶδε φοβερὰν ἀνδρὸς ἐκφύλου τὸ μέγεθος, καὶ χαλεποῦ τὸ εἶδος. Ἐκπλαγεὶς δὲ τὸ πρῶτον, ὡς ἑώρα μήτε πράττοντά τι, μήτε φθεγγόμενον, ἀλλ' ἑστῶτα σιγῇ παρὰ τὴν κλίνην, ἠρώτα, ὅστις ἐστίν. Ἀποκρίνεται δ' αὐτῷ τὸ φάσμα· « Ὁ » σὸς, ὦ Βροῦτε, δαίμων κακός· ὄψῃ δέ με περὶ Φιλίππους ». Τότε μὲν οὖν ὁ Βροῦτος εὐθαρσῶς· « Ὄψομαι », εἶπε· καὶ τὸ δαιμόνιον εὐθὺς ἐκποδὼν ἀπῄει. Τῷ δ' ἱκνουμένῳ χρόνῳ περὶ τοὺς Φιλίππους ἀντιταχθεὶς Ἀντωνίῳ καὶ Καίσαρι, τῇ μὲν πρώτῃ μάχῃ κρατήσας τὸ καθ' ἑαυτὸν ἐτρέψατο καὶ διεξήλασε, πορθῶν τὸ Καίσαρος ςρατόπεδον· τὴν δὲ δευτέραν αὐτῷ μάχεσθαι μέλλοντι φοιτᾷ τὸ αὐτὸ φάσμα τῆς νυκτὸς αὖθις, οὐχ ὥστε τι προσειπεῖν· ἀλλὰ συνεὶς ὁ Βροῦτος τὸ πεπρωμένον, ἔῤῥιψε φέρων ἑαυτὸν εἰς τὸν κίνδυνον. Οὐ μὴν ἔπεσεν ἀγωνιζόμενος, ἀλλά, τῆς τροπῆς γενομένης, ἀναφυγὼν πρός τι κρημνῶδες, καὶ τῷ ξίφει γυμνῷ προσβαλὼν τὸ στέρνον, ἅμα καὶ φίλου τινὸς, ὥς φασιν, συνεπιῤῥώσαντος τὴν πληγὴν, ἀπέθανεν.

# ΣΗΜΕΙΩΣΕΙΣ

## ΕΙΣ ΤΑ

# ΠΛΟΥΤΑΡΧΟΥ ΠΑΡΑΛΛΗΛΑ.

## ΣΕΡΤΩΡΙΟΣ.

ΣΕΛΙΔ. 1, στ. 2, Ἄλλως.] ΔΓ, Ἄλλῳ. Ἴσως μέντοι γραπτέον, Ἄλλοσε. — Στ. 6, Ἀριθμῷ ] Ἐξ ΕΔ, ΑΤ, Ἀριθμῶν· ἔστι γὰρ ὁ νοῦς, Ἐκ τινων ὑποκειμένων ὡρισμένων κατὰ τὸν ἀριθμὸν, ἢ ὧν ὡρισμένος ἐστὶν ὁ ἀριθμός. — Ἐμπλέκεται.] Ἄμεινον ἂν ἦν (καὶ ἴσως ἦν) ὧδε τὸ Συμπλέκεται.

ΣΕΛΙΔ. 2, στ. 4, Δια τάς.] ΔΓ. Διὰ τούς. — Στ. 6, Τας πύλας.] Ἐξ ΕΔ, ΑΤ, Ταῖς πύλαις. Μνημονεύει δὲ καὶ Πολύαινος (Στρατηγημ. Γ, ιδʹ, σελ. 106 καὶ 338 ἐμ. ἐκδ.) τῆς ὑπὸ Χαριδήμου τῶν Ἰλιέων ἁλώσεως ταύτης. — Στ. 8, Ἴου.] Νῆσος τῶν Κυκλάδων μία ἡ Ἴος, ἣν καὶ πόλιν ὁμώνυμον εἰκὸς ἐσχηκέναι. Ὅμηρον ἐν ταύτῃ φασὶν, οἱ μὲν κεκηδεῦσθαι (Στραβ ί, σελ. 484)· οἱ δὲ (Στέφ. Βυζαντ. λέξ. Ἴος) γεννηθῆναι. Ἐκαλεῖτο δὲ τὸ παλαιὸν, Φοινίκη· νῦν δὲ, παρά γε τοῖς ἀπαιδεύτοις τῶν ἡμετέρων, Νίος, ταὐτὸ παθόντος τοῦ ὀνόματος ὃ καὶ ἄλλα οὐκ ὀλίγα. Τὴν γὰρ ἔναρθρον αἰτιατικὴν, Τὴν Ἴον, ἀκούων τις προφερομένην, καὶ νομίσας Τὴν Νίον ἀκούειν, ὀνομαστικὴν ἔπλασε τὴν, Ἡ Νίος, ὥσπερ καὶ παρὰ τὴν, Τὸν οἰκοκύριον, τὴν Ὁ Νοικοκύρις (ἴδ. Πλουτάρχ. Μερ. Γ, Αὐτοσχ. στοχ. σελ. μζʹ). Ὁ πολίτης, τὸ μὲν ἀρχαῖον Ἰήτης, νῦν δὲ Νιώτης. — Στ. 15, Ἀννίβου.] ΔΓ, Ἀννίβα. — Στ. 22, Εὐμένη ] Ἐξ ΗΔ ὧδέ τε κἂν τοῖς ἑξῆς ἡ τοῦ τόνου ἀναβίβασις, ΑΤ, Εὐμενῆ· ὅπως ἂν ἔχῃ διακρίνεσθαι τὸ κύριον τοῦ ἐπιθέτου· Οὕτω γὰρ καὶ Ἐπικερδὴς μὲν, ὁ κέρδος φέρων, Ἐπικέρδης δὲ, ἀνδρὸς ὄνομα κύριον, καὶ ἄλλα πολλὰ τοιουτότροπα, περὶ ὧν εἴρηται καὶ ἀλλαχοῦ (Προδρ. Ἑλλ. Βιβλιοθ. σελ. 307-308.). — Στ. 24, Καὶ ἀδίκῳ.] Ἐκ ΔΓ προσέθηκαν τὰς λέξεις εἰ Πρ. — Στ. 28, Νούσσοις.] Νουρσίᾳ θηλυκῶς καὶ ἑνικῶς γράφειν τινὲς οὐκ

ἀπιθάνως παρῄνεσαν. — Τῆς Σαβίνων.] Ἐλλειπτικῶς τοῦ, Χώρας, ὥσπερ καὶ κατωτέρω (σελ. 3, § 3), Τῆς Κελτιβήρων, ἐρεῖ.

ΣΕΛΙΔ. 3, στ. 5, Καιπίωνι.] ΠΡΔ, ΑΤ, Σκιπίωνι. — Στ. 15, Παραλαβών.] Ἐπὶ τοῦ Διδάσκεσθαι, ἢ μανθάνειν ὧδε τὸ Παραλαμβάνειν, ὡς καὶ τὸ ἀντικείμενον, Παραδιδόναι, ἐπὶ τοῦ Διδάσκειν (Ἰσοκράτ. Μέρ. Β, σελ. 219). — Στ. 22, Κάστλωνι.] Μνημονεύει καὶ Στράβων τῆς Κάστλωνος πολεως. ἣν νῦν Ἰσπανοὶ τῇ ἰδίᾳ φωνῇ Caslona καλοῦσι. — Στ. 25, Γυρισοινῶν.] ΔΓ (οὐδὲν μᾶλλον σαφὴς τῆς ἐκδεδομένης), Γουριουνῶν. Ὠρισίων γράφειν δεῖν τινες εἴκασαν.

ΣΕΛΙΔ. 4, στ. 3, Ἐνεσκευασμένους.] ΠΡΔ, ΑΤ, Ἐνσκευασμένους. — Στ. 17, Προεληλυθώς.] ΔΓ, Προελθών. — Στ. 18, Ἐπιδεικνύμενος.] ΔΓ, Ἔτι ἐνδεικνύμενος. — Στ. 20, Καὶ καλλωπιζόμενος.] Λείπει ὁ σύνδεσμος ἔν τισι τῶν ἀντιγράφων. — Στ. 25, Ἐξεδέξαντο . . . κατευφήμησαν.] ΔΓ, Ἐξεδέξατο . . . κατευφήμησεν· ἣν προείλοντο οἱ ΠΡ. — Στ. 27, Ἡλικίᾳ τε καὶ δόξῃ.] ΔΓ, Ἡλικίαν τε καὶ δόξαν.

ΣΕΛΙΔ. 5, στ. 4, Ὁρῶν αὐτὸν μέν.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ὁρῶν μὲν αὐτόν. — Στ. 16, Πέρα δίκης.] ΔΓ, Παρὰ δίκην· ὅπερ ἐξήγησις μᾶλλον ἢ διάφορος γραφὴ ἔοικεν εἶναι. — Στ. 17, Προερχόμενος.] ΔΓ, Προσχρώμενος. — Ὑπολειπόμενον.] Ἐξ ΗΔ, ΑΤ, Ἀπολειπόμενον. — Στ. 29, Διαπολεμηθέντος.] Πέρας σχόντος. Ἐν δὲ τοῖς ἑξῆς (§ ζ', σελ. 7) ἐπὶ τοῦ πρός τινα πολεμεῖν χρήσεται τῷ Διαπολεμεῖν.

ΣΕΛΙΔ. 6, στ. 3, Πρὸς ὀργήν.] ΔΓ, Κατ' ὀργήν. — Στ. 7, Πλουσίους] Ἐξ ΗΔ (συναδούσης τῷ Α καὶ τῷ Λατίνῳ μεταφραστῇ), ΑΤ, Πολλούς. Εἰσὶ δ' οὗτοι, οὓς ἀλλαχοῦ (Πλουτάρχ. Μέρ. Γ, σελ. 90 καὶ 362) Βαρδιαίους ὠνομάσθαι ἱστόρηκεν. ΣΤ. 29, Καταβαλεῖ.] ΠΡΔ, ΑΤ, Καταβάλῃ.

ΣΕΛΙΔ. 7, στ. 6, Τῶν ἐπισταθμιῶν.] Τῆς ἀνάγκης τοῦ οἴκησιν καὶ τροφὴν παρέχειν τοῖς στρατιώταις. Τοῦτο γὰρ ἐσήμαινον αἱ Ἐπισταθμίαι, ὁ παρὰ τοῖς Τούρκοις τὰ καλούμενα Κονάκια. — Στ. 30, Κιλισσῶν δὲ λῃστρίδων.] Ἐλλειπτικῶς τοῦ Νεῶν. Περὶ δὲ τῶν Κιλίκων λῃστῶν, διδάξει σε διὰ μακρῶν ἐν τοῖς ἑξῆς (Πομπ. § 24-29, σελ. 120-126) ὁ Πλούταρχος. — Πιτυούσσῃ] Ἐξ ΗΔ, ΑΤ, Πιτυούσῃ. Ἔστι γὰρ παρὰ τὸ Πιτυόεσσα· τοῦτο δὲ παρὰ τὰς Πίτυας.

ΣΕΛΙΔ. 8, στ. 10, Διεκράτησεν.] ΔΓ, Διεκαρτέρησεν. — Στ. 15, Ὄνομα τῇ περὶ αὐτὸν Ἰβηρίᾳ παρέσχεν.] Βαιτικῇ προσαγορευθείσῃ, διὰ τὸν ποταμ

ταμὸν Βαῖτιν. — Στ. 19, Καὶ ὀνομάζονται Μακάρων.] Θ ε ῶ ν ν ή σ ο υ ς ὀνομάζει ταύτας ὁ Πτολεμαῖος· εἰσὶ δὲ αἱ νῦν καλούμεναι îles Canaries.

ΣΕΛΙΔ. 9, στ. 2, Ἣν Ὅμηρος ὕμνησε.] Ἐν τοῖσδε τοῖς ἔπεσι (Ὀδυσ. Δ, 563-568),

Ἀλλά σ' ἐς Ἠλύσιον πεδίον καὶ πείρατα γαίης
Ἀθάνατοι πέμψουσιν, ὅθι ξανθὸς Ῥαδάμανθυς·
Τῇπερ ῥηΐστη βιοτὴ πέλει ἀνθρώποισι·
Οὐ νιφετὸς, οὔτ' ἂρ χειμὼν πολὺς, οὔτε πότ' ὄμβρος.
Ἀλλ' αἰεὶ Ζεφύροιο λιγυπνείοντας ἀήτας
Ὠκεανὸς ἀνίησιν, ἀναψύχειν ἀνθρώπους.

— Στ. 4, Οἰκῆσαι.] Γραπτέον, οἶμαι, Ο ἰ κ ί σ α ι. — Στ. 7 καὶ 9, Ἄσκαλιν.] Ἐκ ΔΓ, ΑΤ, Ἀσκάλιον. — Στ. 12, Κατακυκλωσάμενος.] ΔΓ, καταμαχεσάμενος. — Στ. 13, καὶ 15, Πακκιανόν. Ἐκ ΔΓ, ΑΤ, Πακκιακόν. Στ. 16, Τιγένην.] Οὔθ' αὕτη, οὔθ' ἡ ΔΓ, Ἀ σ τ ι γ έ ν η ν, ἔῤῥωται· ἀλλὰ γραπτέον, Τίγγινην ὡς τῶν ΠΡ τις διώρθου, ἢ γοῦν Τ ί γ γ α, καθὰ Στράβων (ιζ', σελ. 825) αὐτὴν ὀνομάζει. — Στ. 20, Πηχῶν ἑξήκοντα μῆκος.] Γαβίνιος, συγγραφεὺς Ῥωμαῖός ἐστιν ὁ ταῦτα περὶ Ἀνταίου τερατευσάμενος, ὥς φησι Στράβων (ιζ' σελ. 829). Σημείωσαι δὲ καὶ τὸ Π η χ ῶ ν τοῦ παρακμάζοντος ἑλληνισμοῦ, ἀντὶ τοῦ Π η χ έ ω ν. — Στ. 22, Τιγεννῖται.] ΔΓ, Τ ι γ ε ν ν ῆ τ α ι: Ἀ σ τ ι γ ε ν ῆ τ α ι. Ὤφειλε δ' εἶναι Τ ι γ γ ῖ τ α ι, ἢ Τ ι γ γ ι τ α ν ο ί. — Στ. 28, Ἰόβα. . . τοῦ πάντων ἱστορικωτάτου βασιλέων.] Ἰόβας Μαρουσίων βασιλεὺς, ἔγραψε Θ ε α τ ρ ι κ ὴ ν ἱ σ ο ρ ί α ν, Λ ι β υ κ ὴ ν ἱ σ τ ο ρ ί α ν, καὶ ἄλλα.

ΣΕΛΙΔ. 10, Στ. 8, Ἀπὸ Ῥωμαίων.] ΔΓ, Ἀπὸ τῶν Ῥωμαίων. — Στ. 9, Καὶ πυνθανόμενοι.] ἴσως περιττὸς ὁ σύνδεσμος, ὃν παρέλιπε καὶ ὁ Ἰταλὸς μεταφραστής. — Παρὰ τῶν συγγεγονότων τό.] ΔΓ. Π α ρ ὰ τ ῶ ν σ υ γ γ ε ν ο μ έ ν ω ν Σ ε ρ τ ω ρ ί ῳ κ α ὶ ἐ γ κ ω μ ι α ζ ό ν τ ω ν τ ό· ᾗ γραφῇ συμβαίνει καὶ ἡ Ἀμιότου μετάφρασις. — Στ. 10, Λέγεται γάρ.] Ἐκ ΔΓ, ΑΤ, Λέγεται δέ. — Στ. 11, Φύσει τ' ἀνέκπληκτος εἶναι κ. τ. λ.] Ἐξ ΗΔ, ΑΤ, Φ ύ σ ε ι δ' ἀ ν έ κ π λ η κ τ ο ς ὤ ν. Ἐνδέχεται δὲ καὶ οὕτω γεγράφθαι πάλαι· Φ ύ σ ε ι δ' ἀ ν έ κ π λ η κ τ ο ς ε ἶ ν α ι, ἢ τελείᾳ μετὰ τὸ, Γ ε ν έ σ θ α ι, στίξει, Φ ύ σ ε ι δ' ἀ ν έ κ π λ η κ τ ο ς ἦ ν. — Στ. 14, Ὀχυρούς.] ΔΓ, Ἐχυρούς. Λέγεται γὰρ ἀμφότερα. — Στ. 18, Ὠμότητος. . . ἐπιδεῖξαι.] Τὸ ἑξῆς, Τ ὸ π ρ α χ θ ὲ ν π ε ρ ὶ τ ο ὺ ς ὁ μ ή ρ ο υ ς ἔ ρ γ ο ν ὠ μ ό τ η τ ο ς κ α ὶ β α ρ υ θ υ μ ί α ς. — Στ. 20, Ἐπαμπεχομένην λογισμῷ.] Ὁ νοῦς, Περιβαλλομένην τῇ ἡμερότητι, διὰ τὸ

λογίζεσθαι οὕτω συμφέρειν τοῖς πράγμασι. — Στ. 22, Οὐκ ἄν ποτε δοκεῖ τύχη τις ἐκστῆσαι.] ΠΡΔ τὸ Δοκεῖ, ΑΤ, Δοκῇ· ὁ γὰρ Ἂν, οὐ πρὸς τοῦτο, ἀλλὰ πρὸς τὸ, Ἐκστῆσαι. — Στ. 26, Ἐκτραχυνόμενον ὑπὸ τῶν πραγμάτων, γινομένων πονηρῶν, πρὸς τοὺς ἀδικοῦντας] Ἐξ ΠΔ καὶ ἡ γραφὴ καὶ ἡ στίξις, ΑΤ, Ἐκτραχυνόμενον ὑπὸ τῶν πραγμάτων, γινόμενον πονηρὸν πρὸς τοὺς ἀδικοῦντας. Τούτου τὸ ἀσυνάρτητον θεραπεῦσαι οἱ Πρ ἐπεβάλοντο, παραινοῦντες γράφειν, Καὶ γινόμενον, διὰ τοῦ συνδέσμου, ἢ Γενέσθαι. Ἡ δὲ ἡμετέρα διόρθωσις πρός τῷ σαφεστέρῳ καὶ συνᾴδοντά πως ἔχει τὸν Ἰταλὸν μεταφραστήν, esacerbato dal sinistro successo delle facende, aspro et malvaggio divenne.

ΣΕΛΙΔ. 11, στ. 4, Τοιῶνδε.] ΔΓ, Τοιοῦτο. —Σπάνος, ἀνήρ.] Εἰ μὲν κύριον τοὔνομα ὥσπερ ἐξεδέξαντο οἱ ἑρμηνευταὶ, καλῶς ἔχει καὶ ἡ τάσις, καὶ ἡ μετ' αὐτὸ ὑπόστιξις· εἰδ' (ὅπερ ἴσως εὐλογώτερον) ἐθνικὸν, γραπτέον ὀξυτόνως καὶ ἀδιαστίκτως, Σπανὸς ἀνήρ. Ἡ γὰρ Ἰβηρία, τοῖς ὕστερον οὐ μόνον Ἱσπανία, ἀλλὰ καὶ τρισσυλλάβως Σπανία ἐκαλεῖτο, ὡς δῆλον ἐκ τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς (ιέ, 24 καὶ 28) τοῦ Παύλου. —Στ. 28, Πειθομένοις.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Πειθομένους.

ΣΕΛΙΔ. 12, στ. 3, Τέτταρσι Ῥωμαίων.] ΔΓ, Τέτρασι Ῥωμαίων: Τοῖς Ῥωμαίων. —Στ. 10, Κατεναυμάχησέ που· Φίδιον.] Οὐκ ἔῤῥωται τὸ κύριον ὄνομα· ὕποπτον δ' οὐχ ἧττον καὶ τὸ προηγούμενον, Που. Διὸ, οἱ μὲν, Δείδιον, οἱ δὲ, Αὐφίδιον, γράφειν δεῖν ὑπέλαβον· οἱ δὲ τὸ ὅλον οὕτως ἀναγινώσκειν παρῄνεσαν, Κατεναυμάχησε· Πουρφίδιον (ἢ Φουρφίδιον).— Τῆς Βαιτικῆς.] ΔΓ, Τῶν Βαιτῶν. — Στ. 12, Δομέτιον δὲ καὶ Λούσιον.] ΔΓ, Δομέτιον δὲ Κλούσιον. Εἰσὶν οἳ γραπτέον εἶναι ὑπειλήφασι, Δομέτιον δὲ καὶ Λούκιον (ἢ Λεύκιον). —Στ. 13, Θωράνιον.] ΔΓ, Τωράνιον: Θοράνιον. Παρὰ δὲ τῷ Λιβίῳ, Θώριον. Στ. 23, Ὁπλιτικῶν.] ΔΓ, Ὁ πολιτικῶν. —Νομίμων.] ΔΓ, Μονίμων. — Στ. 26, Συνηρτῆσθαι.] Εἰς τὸ, Συνειθίσθαι, τρεπτέον εἶναί τις εἴκασεν.

ΣΕΛΙΔ. 13, στ. 1, Ἐνδεδωκώς.] ΔΓ, Δεδωκώς. —Στ. 7, Πάσης διεκδύσεως φεύγοντι, καὶ διώκοντι κυκλώσεως... ἐμπειρίαν προσειλήφει.] Ὑπονοητέον, ὡς ἡρμήνευσαν οἱ ΠΡ, τὸ Δυνατῆς, ἢ Χρησίμης, ἵν' ᾖ ὁ νοῦς, Προσειλήφει ἐμπειρίαν πάντων τῶν τόπων, τῶν τε δι' ὧν διεκδῦναι δυνατὸν ἦν αὐτῷ φεύγοντι τοὺς πολεμίους, καὶ τῶν δι' ὧν ἦν δυνατὸν αὐτῷ κυκλοῦν αὐτοὺς διώκοντι.

ΣΕΛΙΔ. 14, στ. 4 καὶ 9, Ἀκύϊνον.] ΔΓ, ἡ διόρθωσις, Ἀκυΐλλιον. — Στ. 6, Ἀκυΐνῳ.] Ὥσπερ κἀνταῦθα, Ἀκυϊλλίῳ, ἢ Ἀκουϊλλίῳ.— Στ. 7, Ἐπανίστησιν ] ΔΓ, Ἀντανίστησιν.— Στ. 17, Ἀνθιναῖς.] Βαπταῖς. Ἄνθη γὰρ τὰ χρώματα (Ἡσύχιος).—Στ. 20, Ὄσκαν.] τὴν νῦν τοῖς Ἱσπανοῖς καλουμένην Huesca. — Στ. 27, Ἐπιδείξεις.] ΠΡΔ (ἴσως οὐκ ἀναγκαῖα) ΑΤ, Ἀποδείξεις. ΔΓ. Συνδείξεις. — Στ. 28, Βούλλας.] Ἐμνημόνευσε καὶ ἀλλαχοῦ (Μέρ. Α, σελ. 59 καὶ 376 ἡμ. ἐκδ.) Πλούταρχος τῶν τοῖς παισὶ διδομένων Βουλλῶν τούτων. Σημαίνει δὲ παρὰ Ῥωμαίοις ἡ Βούλλα [Bulla] κυρίως τὰς ἐκ τοῦ ὁπωσοῦν κινουμένου ὕδατος ἀνισταμένας πομφόλυγας· εἶτα καὶ τὰς σφαιροειδεῖς ἢ πομφολυγοειδεῖς κεφαλὰς τῶν ἥλων, καὶ τελευταῖον τὰ τοῖς τῶν εὐγενῶν παισὶ προσαρτώμενα χρυσᾶ περιδέραια (περὶ ὧν ὁ λόγος ἐνθάδε), Βούλλας εἰρῆσθαι φασὶ διὰ τὸ πομφολυγοειδὲς ἴσως τοῦ σχήματος, καίπερ ἑτέρων (Ἴδ. Πλούταρχ. Κεφαλ. Ῥωμαϊκ. ρα) τὰς παιδικὰς ταύτας Βούλλας οὐ παρὰ τὸ Ῥωμαϊκὸν Bulla, ἀλλὰ παρὰ τὸ Αἰολικὸν Βόλα τὸ δηλοῦν τὴν Βουλὴν ἑρμηνευόντων. Κατὰ δὲ τὸν παρακμάζοντα Λατινισμὸν Βοῦλλαν ὀνομασάντων τῶν Ῥωμαίων καὶ τὴν ἐντυπουμένην τοῖς τοιούτοις εἰκόνα, καὶ αὐτὴν τὴν ἐντυποῦσαν σφραγίδα, μεταλαβόντες οἱ Βυζαντινοὶ συγγραφεῖς καὶ αὐτοὶ ἐπὶ τῆς αὐτῆς σημασίας ἔταξαν τὴν Βοῦλλαν, ἐφ' ᾗ καὶ μέχρι δεῦρο χρώμεθα τῷ ὀνόματι τούτῳ τε καὶ τῷ παρὰ τοῦτο σχηματισθέντι ῥήματι, Βουλλόνω, τῷ δηλοῦντι τὸ Σφραγίζω· παρ' ὃ ἕτερον ὄνομα συνώνυμον τῇ Βούλλᾳ τὸ Βουλλωτήριον.

ΣΕΛΙΔ. 15, στ. 1, Κατάσπεισιν.] Οἱονεὶ κατ' εὐχὴν καὶ συνθήκην ἔνορκον κοινωνίαν ἐπὶ κοινῇ τύχῃ.— Στ. 3, Κατεσπεικότων ἑαυτούς ] Τῶν αὐτῷ κοινωνησάντων τῆς τύχης· εἰσὶ δ' οὗτοι οἱ τῷ Καίσαρι ἐν τοῖς Ὑπομνήμασι (Βιβλ. Γ, κεφ. 22) Σολδούριοι (Soldurii) καλούμενοι, οὓς Σιλοδούρους Νικόλαος ὁ Δαμασκηνὸς (Πρόδρ. Ἑλλ. Βιβλιοθ. σελ. 266) ὠνόμασε καὶ Εὐχωλιμαίους ἐξελληνίσας ἡρμήνευσε. Καὶ σοφῶς Δίων ὁ Κάσσιος (ΝΓ, 20, σελ. 715) ἐσημειώσατο ὅτι ἐκ τοῦ παρὰ τοῖς Ἴβηρσι τῶν καθιερουμένων ἢ καθοσιουμένων (Devoti) ἔθους τούτου, ἔθος ἕτερον ἐγεννήθη τὸ προτρεπομένους τῶν κρατούντων τινὰ, λέγειν, « Σοὶ καθωσιώμεθα ». Προσσημειούσθω δὲ τούτοις, ὅτι καὶ ἀπὸ τῶν κρατούντων ἐπὶ πάντας ἁπλῶς τοὺς ὁπωσοῦν τιμωμένους ἢ φιλουμένους τὴν τῆς καθοσιώσεως ἢ κατασπείσεως ὁμολογίαν ταύτην οἱ νεώτεροι φιλοφρονούμενοι μετήνεγκαν· τὸ γὰρ ἐν τέλει τῶν ἐπιστολῶν τῷ Δοῦλος, ἢ Φίλος, προστιθέμενον

δένουσ οὐδὲν ἕτερον κατὰ λέξιν ἢ τὸ Καθοσιωμένος, ἢ Καθιερωμένος, σημαίνει. — Στ. 24, Προστιθεμένων] Ἴσως γραπτέον Προστεθειμένων.

ΣΕΛΙΔ. 16, στ. 1, Κατηκόους μᾶλλον ἕξειν] ΔΓ, Κατηκόους γενέσθαι. — Στ. 15, Ἐν ἀκαρεῖ.] Ἐκ ΔΓ προσέθηκαν τὴν πρόθεσιν οἱ ΠΡ — Στ. 19, Ὦ πᾶσαν . . . κατεργάζεται δύναμιν] ΔΓ, Ὧν πάντων . . κατεργάζεται δύναμιν. Ἴσως ἐγέγραπτο, Ὦ πάντων . . . κατεργάζεται τὴν δύναμιν, τουτέστιν, Ὦ ἐνδελεχεῖ ἐπιὼν ὁ χρόνος αἱρεῖ καὶ κατεργάζεται τὴν δύναμιν πάντων. — Στ. 26, Ταγώνιον.] ΔΓ, ἡ διόρθωσις Τάγον. Τάγος μὲν γὰρ ποταμός ἐστι παρὰ τοῖς Ἴβηρσι, οὐδεὶς δέ πω Ταγώνιος ἔγνωσται. Οὐ μέντοι μετακινητέον τὴν γραφὴν, διὰ τὸ καὶ τοὺς Χαρακιτανοὺς αὐτοὺς τῶν ἀγνώστων εἶναι, καίπερ οὐκ ἀπιθάνως τῶν ΠΡ τινὸς εἰκάσαντος τοὺς νῦν ἐν τῇ Νέᾳ καλουμένῃ Καστιλλίᾳ τῆς Ἱσπανίας περὶ τὴν Carraca λεγομένην πόλιν οἰκοῦντας εἶναι.

ΣΕΛΙΔ. 17, στ. 1, Ἄσβεστον.] Τὴν παρὰ τοῖς πάλαι καλουμένην Τίτανον. Τὴν δὲ μήπω δι' ὕδατος λυθεῖσαν ἔλεγον συνημμένως μετὰ τοῦ ἐπιθέτου, Τίτανον ἄσβεστον· προϊόντος δὲ τοῦ χρόνου ἐξενίκησε Ἄσβεστος καλεῖσθαι ἡ Τίτανος, ἐλλειπτικῶς, πρῶτον, οἶμαι, οὕτως ὀνομάσαντος Διοσκορίδου (Ε, ρλγ'), τοῦ μικρὸν ἀκμάσαντος πρὸ τοῦ Πλουτάρχου. Καλεῖται τανῦν παρ' ἡμῖν ἀρσενικῶς, Ὁ ἀσβέστης, θηλυκῶς, Ἡ ἀσβέστη, κατὰ τὸ Ἀσβέστη φλὸξ (Ἰλιάδ. Π, 123). — Στ. 7, Εἴτε μή.] Ἐξ ΗΔ, ΑΤ, Εἴτε τὸ μή· ἀνθ' οὗ οἱ ΠΡ γεγράφασιν, Εἴτε καὶ μή. — Στ. 9, Ἄλλως ἀλύων.] Ἐξ ΕΔ, ΑΤ, Ἄλλως δ' ἀλύων. « Ἀλύω, ἀδημονῶ, ἀθυμῶ » φησὶν Ἡσύχιος.— Στ. 16, Ὑπαρκτίων.] ΔΓ, Ἀπαρκτίων,— Στ. 20, Καταντικρύ.] Ἐξ ΗΔ,ΑΤ, Κατ' ἀντικρὺ—Θῖνα.] Σωρόν. —Στ. 24, Προσεπίπνει.] Ἐξ ΗΔ (ἣν ὑπηγόρευκεν ἡ κακὴ ΔΓ Προσεπίπνει) ΑΤ, Προσανέπνει, ὃ οἱ ΠΡ εἰς τὸ Προσεπέπνει ἔτρεψαν.— Στ. 25, Ἄχνην.] Ἄχνη ἐν γένει μὲν πᾶν τὸ λεπτομερὲς καὶ κοῦφον τὸ ἀποφερόμενον τινὸς αὐτομάτως, ἢ διὰ ξύσεως· ἐν εἴδει δὲ, κονιορτὸς, ὥσπερ ἐνταῦθα. Σημαίνει δὲ καὶ τὸν Ἀφρὸν, καὶ τὰ Λεπτὰ τῶν ἀχύρων, καὶ Λίνου ξύσμα, καὶ Καπνὸν (Ἐτυμολογικ. σελ. 181-182). Κατὰ τοῦτο τὸ τελευταῖον σημαινόμενοι Ἄχνην ὀνομάζει ἡ συνήθεια καὶ τὴν ἀτμίδα.

ΣΕΛΙΔ. 18. στ. 5, Συμπεφυρμένον.] ΔΓ, Συμπεφορημένον. — Στ. 13, Ὑπερβαλόντι] ΠΡΔ, ΑΤ, Ὑπερβάλλοντι. — Στ. 17, Οὐ γάρ τι μικρόν] ΔΓ, Οὐ γὰρ μικρόν. Γραπτέον, οἶμαι, Οὐ γάρ τοι μικρόν.

ΣΕΛΙΔ. 19, στ. 23, Ἐν τῇ περὶ Σούκρωνα.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἐν τῇ περὶ Σούκρωνι. Ἔστι δὲ τῆς Ἰβηρίας ποταμὸς ὁ Σούκρων (τανῦν Xucar τοῖς Ἰσπανοῖς καλούμενος), καὶ πόλις ὁμώνυμος (Στράβων Γ, σελ. 158). — Στ. 24, Τουττίαν.] ΔΓ, Δουσίαν. Εἰσὶν οἱ παραινοῦσι γράφειν Δουρίαν, ἕτεροι δὲ Τουρίαν. Οὐ μετακινητέον μέντοι τὴν γραφὴν, ὡς ἔδοξε καί τινι τῶν ΠΡ· διότι καὶ Φλῶρος (Γ, 22) πόλεως Ἰβηρικῆς Τουτίας ἐμνημόνευσε.—Στ. 25, Περὶ Σούκρωνα.] Ἔγραψα καὶ πάλιν, Περὶ Σούκρωνα, καθὰ μικρὸν ἀνωτέρω, ΑΤ, Περὶ Σούκρωνι. — Στ. 28, Ἐπαγαγών.] Ἐκ ΔΓ, ΑΤ, Παραγαγὼν—Στ. 30, Ἐμπόδιον.] ΔΓ (ἴσως ἄμεινον), Ἐμποδών.

ΣΕΛΙΔ. 20, στ. 3, Τῷ Πομπηΐῳ τοὺς συνεστῶτας.] Τοὺς τῷ Πομπηΐῳ μαχομένους· τοῦτο γὰρ ὧδε σημαίνει τὸ Συνίστασθαι.—Στ. 9, Ὅτε.] ΔΓ, Ὥστε.

ΣΕΛΔ. 21, στ. 2, Βαρβάρων.] ΔΓ, Ἰβήρων.—Στ. 13, Σαγουντίνων.] Ἐκ ΔΓ, ΑΤ, Σεγουντίνων.—Στ. 14, Τοὺς πολεμίους.] Ἐκ ΔΓ προσέθηκαν τὸ ἄρθρον οἱ ΠΡ.—ΣΤ. 18, Τῶν ἔτι συνεστώτων.] Τῶν ἔτι μαχομένων.—Στ. 19, Ὁ δὲ, καί.] Προσέθηκα τὸν δεύτερον τῶν συνδέσμων ἐκ ΔΓ.—Στ. 20, Ἀγωνιζόμενος.] Ἴσ. γρ. Ἀγωνισάμενος.

ΣΕΛΙΔ. 22, στ. 13, Ἀποξει.] ΔΓ, Ἀπαλλάξει.—Στ. 29, Δι' ὀργάνων ἐπιδρόμων.] Οὕτως μεμηχανημένων, ὡς τὰ ἐπ' αὐτῶν τιθέμενα ῥᾷστα πρὸς τὸ κάταντες φέρεσθαι τρέχοντα.

ΣΕΛΙΔ. 23, στ. 4, Μεγαλοφροσύνης.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Μεγαλοφροσύνη.—Στ. 25, Ὁμότιμοι.] ΔΓ, Ἰσότιμοι.—Στ. 27, Τῶν πραγμάτων οὐκ εὖ φερομένων.] Ἐξ ΕΔ προσέθηκα τὴν ἄρνησιν.—Στ. 30, Ἀρχαῖς.] Οὐ δεόντως, Ἀρεταῖς γραπτέον εἶναι τινὲς ὑπενόησαν.—Χρῆσθαι.] Οἱ αὐτοὶ δὲ καὶ τὸ Χρῆσθαι, εἰς τὸ Κεχρῆσθαι μεταβάλλειν δεῖν ᾠήθησαν. Ἴσως ἄμεινον γράφειν, Χρήσασθαι.

ΣΕΛΙΔ. 24, στ. 2, Περιβαλέσθαι.] Ἐξ ΕΔ, ΑΤ, Περιβάλλεσθαι.—Στ. 9. Διαπρεσβεύσασθαι.] Ἐκ ΔΓ, ΑΤ, Διαπρεσβεύεσθαι.

ΣΕΛΙΔ. 25, στ. 5, Παλατίῳ.] Οἱ ΠΡ ἐσημειώσαντο, παρὰ τὸ ἀκριβὲς καὶ ἀναχρονικῶς εἰρῆσθαι ταῦτα Πλουτάρχῳ. Ἐπ' ἐκείνου γὰρ, εἰς μοναρχίαν ἤδη μεταπεπτωκυίας τῆς Ῥωμαϊκῆς ἡγεμονίας, ἐν Παλατίῳ ᾤκουν οἱ Καίσαρες, οὐ κατὰ τοὺς Μιθριδατικοὺς χρόνους, ἡνίκα οὔτε Καίσαρές πω ἦσαν, οὔθ' ἡ οὖσα σύγκλητος ἐν τῷ Παλατίῳ ἠθροίζετο.—Στ. 19, Τῶν ἐπισκήνων.] Τῶν ἐπισταθμευόντων στρατιωτῶν. (Ἴδ. ἀνωτέρ. σελ. 330). ΔΓ, Τῶν

ἐπικειμένων.—Ἀναπτερωθῆναι.] ΔΓ, Ἀναπτοηθῆναι. Ἐχρήσατο δὲ ἀλλαχοῦ (Δίων. § 32) Πλούταρχος τῇ λέξει Ἀνεπτοήθησαν, ἴσως ἐκεῖ τοὐναντίον ἡμαρτημένη ἀντὶ τοῦ, Ἀνεπτερώθησαν. —Στ. 27. Ὁμοῦ τι.] Σχεδόν τι.

ΣΕΛΙΔ. 26, στ. 15, Ὁ δὲ Περπέννας.] Ἐκ ΔΓ, ΑΤ, Ὁ δ' οὖν Περπέννας. Ἑτέρα ΔΓ, Ὁ γ' οὖν Περπέννας.—Στ. 16, Μάλλιον.] Μάνιον δεῖν γράφειν τῶν τις ΠΡ παρῄνεσε. Ἔστι δ' οὗτος Μάνιος Ἀντώνιος ὁ τὸν Σερτώριον παίσας τῷ ξίφει (σελ. 27).— Στ. 18, Πρὸς αὐτό.] ΔΓ, Πρὸς αὐτόν.

ΣΕΛΙΔ. 27, στ. 6. Ἔπεισεν ἐλθεῖν.] ΔΓ, Ἔπεισεν αὐτόν.—Στ. 8, Συνόντας.] ΔΓ, Συμπίνοντας. — Στ. 15, Κλισίας.] Εἰς τὸ Κλίσεως τρέπειν παρῄνεσάν τινες. Ἀσφαλέστερον μέντοι τὸ κατὰ χώραν ἐᾷν τὴν γραφὴν, ἐκδεχόμενον τὸ Κλισίας ἐπὶ τοῦ Κλίσεως.—Στ. 28, Προσέβαλε.] ΔΓ, Συνέβαλε.

ΣΕΛΙΔ. 28, στ. 1, Γραμμάτων.] ΔΓ, Πραγμάτων.—Στ. 6, Κατηρτυμένης.] ΔΓ, Κατηρτισμένης.

## ΕΥΜΕΝΗΣ.

ΣΕΛΙΔ. 29, στ. 1, Εὐμένη.] Ἐνταῦθά τε καὶ ἐν τοῖς ἑξῆς ἀνεβίβασα τὸν τόνον γράφας Εὐμένης, Εὐμένους, Εὐμένει, Εὐμένη, ΑΤ, Εὐμενής, Εὐμενοῦς, Εὐμενεῖ, Εὐμενῆ, διὰ τὸν κανόνα τῶν ἀπὸ προσηγορικῶν εἰς κύρια μεταλαμβανομένων ὀνομάτων, τὸν καὶ ἀλλαχοῦ (ἀνωτέρ. σελ. 329, καὶ Πρόδρ. Ἑλλ. Βιβλιοθ. σελ. 307) σημειωθέντα· ᾧ προσθετέον, ὅτι τὰ ἀπὸ μετοχῶν περιττοσυλλάβων εἰς κύρια μεταβαίνοντα, πρὸς τῇ τοῦ τόνου μεταθέσει καὶ τὰς πλαγίας μετασχηματίζει, οἷον παρὰ τὴν Τυχὼν, Τυχόντος, μετοχὴν, Τύχων, Τύχωνος, ὄνομα κύριον, καὶ παρὰ τὴν Θηρῶν, Θηρῶντος, Θήρων, Θήρωνος.—Στ. 15, Ἱππαρχίαν.] Ἐκ ΔΓ, ΑΤ, Ἐπαρχίαν.—Στ. 21, Βαρσίνην γὰρ τὴν Ἀρταβάζου . . . Πτολεμαίῳ μὲν Ἀπάμαν, Εὐμένει δὲ Βαρσίνην ἐξέδωκε.] Οὐ συνᾴδει ταῦτα τοῖς ἱστορημένοις τῷ Ἀρριανῷ (Ζ, 4) περὶ τῶν γάμων Ἀλεξάνδρου καὶ τῶν ἑταίρων. Οὕτω γὰρ ἐκεῖνος· « Αὐτὸς μὲν τῶν Δαρείου θυ» γατέρων τὴν πρεσβυτάτην Βαρσίνην ἠγάγετο . . . Δρύπετιν δὲ Ἡφαιστίωνι » δίδωσι, Δαρείου παῖδα καὶ ταύτην, ἀδελφὴν τῆς αὑτοῦ γυναικὸς, . . Πτο» λεμαίῳ δὲ τῷ σωματοφύλακι, καὶ Εὐμένει τῷ γραμματεῖ τῷ βασιλικῷ » τὰς Ἀρταβάζου παῖδας, τῷ μὲν Ἀρτακαμᾶν, τῷ δὲ Ἄρτωνιν ». — Στ, 24, Συνῴκισε.] Ἐξ ΗΔ, ΑΤ, Συνῴκιζε. Περὶ δὲ τῶν γάμων τούτων ἐπι-

θε τὸν Ἀθήναιον (IB, σελ. 538), καὶ τὸν Αἰλιανὸν (Ποικ. ἱστορ. Η, ζ' σελ. 101).

ΣΕΛΙΔ. 30, στ. 5, Τραγῳδεῖν.] Φαίης ἂν ἐπὶ τῆς σημασίας τετάχθαι τοῦ Ἄδειν, ὥσπερ καὶ τὸ ἐν τῇ συνηθείᾳ, Τραγῳδῶ (χυδ. Τραγουδῶ). Τοιοῦτόν τί ἐστι καὶ ὁ παρὰ τῷ Ἀῤῥιανῷ (Επικτ. Διατριβ. Γ, 14). Τραγῳδὸς, ὃν ἡ συνήθεια Τραγῳδιστὴν ὀνομάζει. « Ὡς οἱ κακοὶ τραγῳδοὶ μόνοι ᾆσαι » οὐ δύνανται, οὕτως ἔνιοι μόνοι περιπατῆσαι οὐ δύνανται ». —Στ. 28, Εἶχε.] ΔΓ, Ἔσχε. —Προὔφερε.] Ὠνείδειζε.

ΣΕΛΙΔ. 31, στ. 3, Εἰς τὴν τοῦ τάφου κατασκευήν ] Εἰς ἣν τὸ πλῆθος τῶν ἀναλωθέντων χρημάτων γεγονέναι πλείω τῶν μυρίων καὶ δισχιλίων ταλάντων φησὶν ὁ Σικελιώτης Διόδωρος (IZ, 115). — Στ. 9, 'Εν ταῖς] 'Εξ ΗΔ ἡ προσθήκη τῆς προθέσεως· τὸ γὰρ ἑξῆς, Ὡς οὐ προσῆκον αὐτῷ, ξένῳ ὄντι, πολυπραγμονεῖν ΟΥ̓ΔῈΝ 'ΕΝ ΤΑΙ͂Σ Μακεδόνων διαφοραῖς, ὡς ἐρεῖ καὶ κατωτέρω (σελ. 32), « Τοῦ Περδίκκου ΜΗΔῈΝ 'ΕΝ ΤΟΎ» ΤΟΙΣ πολυπραγμονοῦντος ». —Στ. 15, Καὶ τὴν ὑποκειμένην.] 'Εκ ΔΓ προσέθηκαν οἱ ΠΡ τὸν σύνδεσμον, ὃν ἐξέφρασε καὶ ὁ Α. —Στ. 19, Ὑπὸ Περδίκκου.] ΔΓ 'Υπὸ τοῦ Περδίκκου· —Στ. 21, Ἀναδεξόμενος.] 'Εξ ΗΔ, AT, Ἀναδεξάμενος.

ΣΓΛΙΔ. 32, στ. 1, Μήπως Ἑκαταίῳ.] ΔΓ, Μὴ Ἑκαταίῳ. —Στ. 10, 'Εν δὲ χρυσοῖς.] Οὐ παρὰ τὴν Χρυσοῦν οὐδετέραν εὐθεῖαν, ὡς ἔδοξέ τινι τῶν ΠΡ, προσυπακούοντι τὸ Σκεύεσι, ἀλλὰ παρὰ τὴν Χρυσοῦς προσυπακουομένου τοῦ, Στατῆρσι —Στ, 16, Ὑποχειρίου.] ΔΓ, Ὑποχειρίας —Στ. 23, Προσάξεσθαι.] 'Εξ ΕΔ, AT, Προσάξασθαι. — Στ. 30, Παρεσκεύαζεν.] ΔΓ (ἣν προείλοντο οἱ ΠΡ), Κατεσκεύαζεν.

ΣΕΛΙΔ. 33, στ. 13, Ἔπεμψεν.] ΔΓ, Ἔγραψεν. —Στ. 18, Εὔνοιαν.] ΔΓ. Εὐμηνίαν (ἡμαρτημένως δηλονότι ἀντὶ τοῦ Εὐμένειαν, οὐδὲ ταύτης χρηστῆς γραφῆς). Στ. 20, Παρέταττε.] ΔΓ, Παρετάττετο. — Στ. 25, Καὶ λαβόντας.] Καὶ δόντας καὶ λαβόντας. παρῄνει τις γράφειν οὐκ ἀπιθάνως. —Στ. 29, Ὅσας εἶχε.] 'Εκ ΔΓ, AT, Ἃς εἶχε —Στ. 30, Στρατιάν.] 'Εξ ΕΔ, AT, Στρατείαν.

ΣΕΛΙΔ. 34, στ. 13, Καυσίαν.] ΔΓ (κακὴ) Παρουσίαν. Ἔστι δὲ ἡ Καυσία εἶδος πίλου Μακεδονικοῦ. — Στ. 22, Προσῆγεν.] Μεταβατικῶς πρὸς τὸ, Πολὺ μέρος τῆς δυνάμεως. Διὸ καὶ οὐκ ἐπείσθην τοῖς ΠΡ τρέψασιν εἰς τὸ, Προῆγεν. —Στ. 30, Τοῦτο τοῦ ἡγεμόνος.] Τούτου τοῦ ἡγεμόνος, ἔγραψαν οἱ ΠΡ ἐξ ΕΔ, ἴσως οὐκ ἀποβλητέας.

ΣΕΛΙΔ. 35, στ. 2, Πίγρης.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Πίγρις.— Ἱππεῖς Καππαδοκῶν.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ἱππεῖς καὶ Καππαδοκῶν.— Στ. 10, Περὶ γῆς ἀρίστης.] ΔΓ (ἣν προείλοντο οἱ ΠΡ) Περὶ τῆς ἀρίστης. —Στ. 15, Πάντας.] ΔΓ, Αὐτούς. —Στ. 29, Ἄγημα.] Ἐπιθι τοῦ Στεφάνου τὸν Θησαυρὸν (Τομ. Α, σελ. 91) περὶ τῆς μήπω ἀκριβῶς ἑρμηνευθείσης ταύτης λέξεως.

ΣΕΛΙΔ. 36, στ. 10, Τέλος δέ.] ΠΡΔ, ΑΤ, Τέλος δή. —Στ. 19, Ἐπεδράξαντο.] Ἐξ ΗΔ (ἣν ὑπηγόρευσε ΔΓ Ἀπεδράξαντο), ΑΓ, Ἀπελάβοντο. Ἑτέρα ΔΓ, Ἐπελάβοντο, ἣν προείλοντο οἱ ΠΡ. Διόδωρος δὲ ὁ Σικελιώτης (ΙΗ, 31) αὐτὴν ταύτην τὴν συμπλοκὴν Νεοπτολέμου καὶ Εὐμένους ἱστορῶν, τῷ ἁπλῷ, Ἐδράξαντο, κέχρηται. —Στ. 28, Παρὰ τὸν τράχηλον.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Περὶ τὸν τράχηλον.

ΣΕΛΙΔ. 37, στ. 1, Ἢ παρέψαυσε τοῦ βουβῶνος ἀποβάς.] Οὐκ ἔῤῥωται τὸ χωρίον. Ἀντὶ τῶν πέντε τούτων λέξεων ὁ μὲν Ἰταλὸς μεταφραστὴς Παρὰ τὸν βουβῶνα μόνον ἐξέφρασε, nell'anguinaja καὶ οὐδὲν πλέον· Ἀμιότος δὲ τὴν τελευταίαν μόνην παραλιπών, τῶν λοιπῶν τὴν δευτέραν εἰς τὸ κατὰ παράτασιν Παρέψαυε ἔτρεψεν, ἵν' ᾖ ὁ νοῦς, Κατ' ἐκεῖνο τὸ μέρος, καθ' ὃ ὁ θώραξ παρέψαυε τοῦ βουβῶνος. Ἴσως τρεπτέον τὸ Ἀποβάς, εἰς τὸ Ὑποβάς, συναπτόμενον πρὸς τὸ Νεοπτόλεμος. —Στ. 8, Ἐπεδάκρυσε.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἀπεδάκρυσε. —Στ. 13, Σχεδόν τι μετά.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Σχεδὸν τῇ μετά.

ΣΕΛΙΔ. 38, στ. 7, Ὀλέθρου δ' οὐθεὶς λόγος.] Παροιμία ἐπὶ τῶν ἐν τοῖς μεγίστοις κινδύνοις ἀδεῶς καὶ ἀφροντίστως ἀναστρεφομένων λεγομένη, ὡς ἐξηγήσαντο οἱ ΠΡ. —Στ. 10, Τετραπυργίας.] Τοῦτο παρατιθέμενος Πλουτάρχου τὸ χωρίον ὁ σοφὸς Σνεΐδερος (Λεξ. Ἑλληνογερμανικ. λέξ. Τετραπυργία) καὶ παραβάλλων τῇ παρὰ τῷ Πολυβίῳ καὶ τῷ Στράβωνι ὁμοίᾳ λέξει, Τετραπυργίας εἰκάζει κεκλῆσθαι τὰς ἐν ἀγροῖς τῶν εὐδαιμόνων εὐρυχώρους οἰκήσεις, ἐν αἷς ἦσαν τέσσαρες πύργοι. Ὅτι δὲ καὶ Πύργους ἁπλῶς ὠνόμαζον τὰς ἐν τοῖς ἀγροῖς οἰκήσεις, ὡς καὶ νῦν ὀνομάζονται παρὰ τοῖς Χίοις, ἀποχρώντως ἀλλαχοῦ (Ἡλιοδώρ. Β, σελ. 28) δεδήλωται. —Σωμάτων] Ἐπὶ τοῦ Δούλων, ἢ ἀνδραπόδων, ἡ λέξις ἐνθάδε. —Στ. 11, Μηχανὰς λαβών.] Λείπει ἔν τισι τῶν ἀντιγράφων ἡ μετοχή, καὶ λείπουσα οὐδὲν λυμαίνεται τοῦ χωρίου τὸν νοῦν. —Στ. 19, Παρανυκτερεύειν.] ΔΓ, Περινυκτερεύειν. Ἔσωσεν ἡ παρ' ἡμῖν συνήθεια τὸ Παρανυκτερεύω, ἐπὶ τῆς αὐτῆς σημασίας. —Στ. 20, Λαμβάνοντες.] ΔΓ, Λαβόντες. — Στ. 25, Φα-

νεσθαί τι.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Φαίνεσθαί τε.—Στ. 26, Ὑπερεχόντων.] ΔΓ, Ὑπαρχόντων. — Στ. 29, Ὁρκυνίοις.] ΔΓ, Ὁρκιλίοις. Οὐδετέρα τῶν γραφῶν ἀνύποπτος. Ἴσως γραπτέον, Ὁρκαορικοῖς, ὧν μνημονεύει Στράβων (ΙΒ, σελ. 567, 568, καὶ 576).— Στ. 30, Διὰ προδοσίαν.] ΔΓ, Διὰ προδοσίας.

ΣΕΛΙΔ. 39, στ. 3, Μετέβαλε.] Ἴσω; γραπτέον, Μετέλαβε. Ἡ δὲ στίξις τοῦ χωρίου ἐξ ΕΔ.—Στ. 4, Καὶ συναγαγών.] οἱ ΠΡ προσέθηκαν τὸν σύνδεσμον.—Στ. 12, Ὠφελείας καὶ λαφύρων.] Οὐκ ἀπιθάνως γράφειν τις παρῄνεσεν, Ὠφελείας ἐκ λαφύρων.—Στ. 21, Φυλάξασθαι.] Ἐξ ΕΔ (συνᾳδούσης τῇ Ἰταλικῇ μεταφράσει, καὶ τῷ Πολυαίνῳ (Στρατηγημ. Δ, ή, 5) ΑΤ, Φράξασθαι, ὃ οἱ ΠΡ εἰς τὸ Φράζεσθαι ἔτρεψαν. Ἀμιότος δὲ παρέλιπεν ὅλως τὴν λέξιν.—Στ. 22, Ἐπιδρόμων.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ἐπιδρομῶν.—Πεδινῶν.] Ἐκ ΔΓ, ΑΤ, ταπεινῶν.—Στ. 28, Ἄληπτος.] ΔΓ, Ἀκατάληπτος.

ΣΕΛΙΔ. 40, στ. 4, Ἀλλ' ἐκεῖνος.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἀλλ' ἐκεῖνο. Ἑτέρα ΔΓ, Ἀλλ' ἐκείνως (γρ. ἐκεῖνός) γε. — Στ. 5, Ὑμῶν.] Οὕτως ἔγραψα ὁρμηθεὶς ἐκ τῶν μεταφράσεων, ΑΤ, Ἡμῶν.— Παρῆκε.] Τὸ λαβεῖν τὴν ἀποσκευήν.—Στ. 8, Κηδόμενος.] ΔΓ, Φειδόμενος.—Στ. 10, Εἰς Νῶρα.] Πληθυντικῶς καὶ οὐδετέρως, Τὰ Νῶρα, ὡς δῆλον ἐκ τῶν ἑξῆς (§ 11, σελ. 41), καὶ ἐκ τοῦ Στράβωνος (ΙΒ, σελ. 537) οὑτωσὶ λέγοντος « Καὶ τὰ Νῶ-» ρα, ὃ νῦν καλεῖται Νηροασσός, ἐν ᾧ Εὐμένης πολιορκούμενος ἀντέσχε πο-» λὺν χρόνον· καθ' ἡμᾶς δὲ Σισίνου ὑπῆρχε χρηματοφυλάκιον, τοῦ ἐπιθεμέ-» νου τῇ Καππαδόκων ἀρχῇ ».—Στ. 11, Ἐν μεθορίῳ.] ΔΓ, Ἐν μέρεσι (ἐξ ἀμείνονος ἴσως τῆς, Ἐν ὄρεσι). — Στ. 15, Ὡς δ' ἀπελθών.] ΔΓ, Ὡς δὲ ἐλθών.—Στ. 30, Μακεδόνων ] ΔΓ, Πολεμίων.

ΣΕΛΙΔ. 41, Στ. 7, Ἀποκατέστησεν ] Ἐξ ΗΔ. ΑΤ, Ἀπεκατέστησεν.—Στ. 10, Γεγονώς.] ΠΡΔ, ΑΤ, Γέγονε. — Ἅλας, ἄλλο δὲ μηδέν ] Ἐξ ΗΔ, ΑΤ, Ἅλας καὶ ἄλλο μηδέν.—Στ. 14, Φιλοφροσύνην.] ΠΡΔ, ΑΤ, Φιλοφροσύνῃ.—Στ. 24, Τὸν ἄλυν.] Ἐχρήσατο τῇ λέξει καὶ ἀλλαχοῦ (Μερ. Γ, σελ. 14, Πύῤῥ. § 13) ὁ Πλούταρχος. Σημαίνει ἐνθάδε τὴν πάρεσιν τῆς ψυχῆς, ἣν ἡ Γαλλικὴ φωνὴ διὰ τοῦ ennui ἐκφράζει.—Μαραινομένων.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Μαραινόμενον.—Στ. 26, Χρήσασθαι.] ΔΓ, Χρῆσθαι.

ΣΕΛΙΔ· 42, στ. 1, Παρήνειρε·] Ἐξ ΗΔ (παρὰ τὸ Παρενείρω), ΑΤ· Παρήγειρε. Ἔστι δὲ γράφειν, εἰ βούλει, καὶ Παρενεῖρε.—Στ. 6, Στηρίξασθαι.] Ἐξ ΗΔ, ΑΤ, Στηρίσασθαι.

ΣΕΛΙΔ. 43, στ. 2, Ὀλίγῳ τῶν χιλίων ἀποδέοντας.] Ὁ δὲ Σικελιώτης Διόδωρος (ΙΗ, 53) « Πλείους τῶν δισχιλίων » εἴρηκε. — Στ. 12, Κουΐνδοις.] Ἐν δὲ τῷ Δημητρίου βίῳ (§ 32) Κ ύ ϊ ν δ α (οὐ Κουΐνδα) ὀνομάζει τὸ χωρίον, ὥσπερ καὶ Διόδωρος, καὶ Στράβων, ὃς καὶ ἐπὶ λέξεως τάδε φησὶ (Γεωγραφ. ΙΔ, σελ. 672), « Ὑπέρκειται δὲ τὰ Κύϊνδα τῆς Ἀγχιάλης, ἔρυμα, ᾧ ἐχρήσαντό » ποτε Μακεδόνες γαζοφυλακίῳ· ἦρε δὲ τὰ χρήματα Εὐμένης ἀποστὰς Ἀντι» γόνου. ». — Στ. 30, Ἀλεξάνδρῳ Καταπεφημισμένον.] Ἀλεξάνδρῳ καθιερωμένον τῷ Ἀλεξάνδρου ὀνόματι ὀνομαζόμενον, τουτέστιν Ἀ λ ε ξ ά ν δ ρ ο υ θ ρ ό ν ο ν κ α λ ο ύ μ ε ν ο ν, καθάπερ εἴρηκε καὶ ἀλλαχοῦ (Νικ. § 3, Πλουτάρχ. Μέρ. Γ, σελ. 263), Κ α τ α π ε φ η μ ι σ μ έ ν ο ν θ ε ῷ σ ῶ μ α. Εἶπε δὲ καὶ Πίνδαρος.

—τὸ καὶ ΚΑΤΕΦΑΜΙΞΕΝ ΚΑΛΕΪ-
ΣΘΑΙ μιν χρόνῳ σύμπαντι μάτηρ
Τοῦτ' ΟΝΥΜ' ἀθάνατον——.

Οὐ μετακινητέον οὖν τὴν γραφὴν, Κ α τ α π ε φ η μ ι σ μ έ ν ο ν (παρὰ τὸ Κ α τ α φ η μ ί ζ ω), εἰς τὸ Κ α τ ε π ε υ φ η μ ι σ μ έ ν ο ν, ὥσπερ ἔγραψαν διορθοῦντες οἱ ΠΡ.

ΣΕΛΙΔ. 44, στ. 7, Τεθραμμένα.] οὔτ' εἰς τὸ Τ ε θ ρ υ μ μ έ ν α τρεπτέον, ὥσπερ ἔγραψαν οἱ ΠΡ, οὔτ' εἰς τὸ Τ ε θ η ρ ι ω μ έ ν α, καθὰ γράφειν ἕτερός τις παρῄνει.

ΣΕΛΙΔ. 45, στ. 5, Ἐγένοντο.] Ἐξ ΗΔ, ΑΤ, Ἐ γ ί ν ο ν τ ο. — Στ. 7, Περσικῇ.] Ἴσως γραπτέον, Π ε ρ σ ί δ ι, ὥς τις εἴκασε τῶν ΠΡ.

ΣΕΛΙΔ. 46, στ. 12, Τὴν Γαβηνῶν.] Προσυπακούειν χρὴ τὸ Χ ώ ρ α ν. — Στ. 15, Βραχεῖαν.] Ἐξ ΕΔ, ΑΤ, Τ ρ α χ ε ῖ α ν· ἀνθ' οὗ οἱ ΠΡ ἔγραψαν Τ α χ ε ῖ α ν. — Στ. 23, Ἱππαστρίαις καμήλοις.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἱ σ π α σ τ ρ ί α ι ς. Ταὐτόν τινες ὑπέλαβον δύνασθαι ἐνθάδε τὴν Ἱ π π α σ τ ρ ί α ν κ ά μ η λ ο ν, τῇ ὑπὸ Πλουτάρχου ἀλλαχοῦ (Ἀλεξάνδρ. § 31, σελ. 218) καὶ Διοδώρου τοῦ Σικελιώτου (ΙΘ, 37) Κ α μ ή λ ῳ δ ρ ο μ ά δ ι, καλουμένῃ. Ἕτεροι δὲ, ἡμαρτημένην ὑπολαβόντες τὴν γραφὴν, λανθάνειν φασὶν ὑπ' αὐτῇ ὄνομά τι ἐθνικὸν κρυπτόμενον. Ἐπιτείνει δὲ τὴν ὑποψίαν καὶ τὸ μοναδικὸν τῆς λέξεως· Πλὴν γὰρ ἐν τούτῳ Πλουτάρχου τῷ χωρίῳ οὐδαμοῦ ἀλλαχοῦ εὕρηται τοὔνομα, Ἱ π π ά σ τ ρ ι α. Ἴσως οὖν ἐγέγραπτο, Β α κ τ ρ ί α ι ς κ α μ ή λ ο ι ς· ταύταις γὰρ μᾶλλον εἰκὸς κεχρῆσθαι πρὸς τὰ κατεπείγοντα διά τε τὴν ἰσχὺν καὶ τὸ τάχος (ἴδ. Ἀριστοτέλ. Περὶ Ζώων ἱστορ. Β, 1, Θ, 50, καὶ Ἀθην. Τόμ. Β, σελ. 342 μετὰ τοῦ Τόμ. Ε τῶν σημειώσ. σελ. 605). — Στ. 28, Τρισὶν

ὕστερον ἡμέραις.] « Τρισὶν ἢ τέτρασι » φησὶ Διόδωρος ὁ Σικελιώτης (ΙΘ, 38), Πέντε δὲ Κορνήλιος ὁ Νέπως (Εὐμέν. § 9).

ΣΕΛΙΔ. 47, στ. 3, Περιβαλόμενος] ΠΡΔ, ΑΤ, Περιβαλλόμενος.—Στ. 5, Γενομένου.] ΠΡΔ. ΑΤ, Γινομένου.

ΣΕΛΙΔ. 48, στ. 17, Τοῖς δ' ἱππεῦσιν ἐπεκράτει, τοῦ Πευκέστου κ. τ. λ.] Ἐξ ΕΔ· ἥ τε στίξις καὶ ἡ ἀποβολὴ τοῦ δευτέρου συνδέσμου, ΑΤ, Τοῖς δ' ἱππεῦσιν ἐπεκράτει. Τοῦ δὲ Πευκέστου.—Στ. 21, Βαθύτερον.] ΔΓ, Βαρύτερον. Ἀμιότος μὲν ἐξέφρασε διὰ τοῦ enfondrante, ὁ δ' Ἰταλὸς μεταφραστὴς διὰ τοῦ soffice, ἅτινα οὔτε τὸ Βαθύτερον οὔτε τὸ Βαρύτερον ἑρμηνεύουσιν, ἀλλὰ μᾶλλον τὸ Μαλακὸν καὶ χαῦνον, καὶ ῥᾳδίως ὑπεῖκον τῇ θλίψει. Ἴσως ἐγέγραπτο, Παχύτερον. Ἕτεροι δὲ, Βαθύγεων ὑπετόπασαν γραπτέον εἶναι.—Στ. 26, Ῥᾴδιον.] Ἴσ. γρ. Ῥᾷον, ὥσπερ ἡρμήνευσε καὶ ὁ Ἰταλὸς μεταφραστής (più facilmente). Ὅτι δὲ οὐχ ἅπαξ συγκέχυται ἡ γραφὴ τοῦ Ῥᾴδιον καὶ τοῦ Ῥᾷον, τῶν ἀντιγραφέων θάτερον ἀντὶ θατέρου γραφόντων, δεδήλωται καὶ ἀλλαχοῦ (Ἰσοκράτ. Μέρ. Β, ἐν τῷ Πίνακι, λέξ. Ῥᾴδιον). Ἐνδέχεται μέντοι καὶ αὐτοῦ Πλουτάρχου γεγονέναι τὸ ἁμάρτημα· πολλάκις γὰρ οἱ τοῦ παρακμάζοντος ἑλληνισμοῦ συγγραφεῖς τῷ θετικῷ, Ῥᾴδιον, ἀντὶ τοῦ συγκριτικοῦ, Ῥᾷον, ἐχρήσαντο. Δῆλον δὲ τοῦτο καὶ ἐκ τοῦ τὰς Πλατωνικὰς λέξεις συναγαγόντος Τιμαίου· « Ῥᾷον » (γάρ φησι), συγκριτικὸν πρὸς ἕτερον· Ῥᾴδιον, ἀπόλυτον καθ' αὑτό· Ῥᾷστον, ὑπερθετικόν », οὐκ ἂν τὰ οὕτως κατάδηλα σημειωσάμενος, εἰ μὴ πολλοὺς ᾔδει περὶ αὐτὰ ἁμαρτάνοντας. Καὶ οὐ μόνον περὶ ταῦτα ἡμάρτανον, ἀλλ' ἦσαν οἳ καὶ τὸ Ῥᾷον θετικὸν ὑπολαμβάνοντες εἶναι, συγκριτικὸν αὐτοῦ τύπον ἀνέπλασαν τὸ Ῥᾳότερον (Φρυνίχ. σελ. 178).

ΣΕΛΙΔ. 49, στ. 12, Καὶ τὰς χεῖρας δεδεμένας προτείνας.] Ἀλλὰ πῶς εἶχε προτεῖναι, ἃς ἀποστραφείσας τῇ ζώνῃ δεδέσθαι εἴρηται μικρὸν ἀνωτέρω; Τοῦτο συνεωρακότες καὶ οἱ ΠΡ τὸ ἀκατάλληλον, ἐξεῤῥυηκέναι τι τοῦ χωρίου γραφέων ἀβλεψίᾳ ὑπέλαβον. Σαφέστερον γὰρ ὁ Ἰουστῖνος (ΙΔ § 4) ἀνεθέντων φησὶ τῶν δεσμῶν (τῶν ὄπισθεν δηλονότι κατεχόντων τὰς χεῖρας) οὕτω προτεῖναι τὴν χεῖρα, ὥσπερ ἦν δεδεμένος, laxatisque vinculis, prolatam, sicut erat catenatus, manum ostendit. — Στ. 13, Ἂν ἔστησε.] ΠΡΔ. ΑΤ, Ἀνέστησε.—Στ. 30, Ἄγει.] ΠΡΔ· ΑΤ, Ἤχθει.

ΣΕΛΙΔ. 50, στ. 4, Καμόντες.] ΔΓ, Κάμνοντες. - Στ. 18, Πλείονας ἡμέρας.] Ἑπτά φησιν ὁ Κορνήλιος Νέπως (Εὐμέν. § 12). — Προσήγετο καὶ

λόγους καὶ ὑποσχέσεις.] Τῶν ὑπὸ τῶν ΠΡ προβληθεισῶν τριῶν διορθώσεων. Προήγετο, λόγους ἀκούων καὶ ὑποσχέσεις: Προήγετο λόγοις καὶ ὑποσχέσεσι: Προσίετο λόγους καὶ ὑποσχέσεις, ἡ τελευταία πλεῖστον ἔχει τὸ πιθανόν.—Στ. 20, Τῶν δ' ἄλλων.] Περιττὸς ἔδοξέ μοι ὁ σύνδεσμος.

ΣΕΛΙΔ. 51, στ. 4, Ἀποσφάττουσιν αὐτόν.] Ἐτῶν γεγονότα πέντε πρὸς τοῖς τετταράκοντα, ὥς φησιν ὁ Κορνήλιος Νέπως (Εὐμέν. § 13).—Στ. 7, Τοῖς παισίν.] ΔΓ. Τοῖς τέκνοις. Ἦσαν δὲ τηνικαῦτα ἐν Καππαδοκίᾳ, ὡς ἱστορεῖ Κορνήλιος Νέπως (Εὐμέν. § 13).—Στ. 11, Ἰβυρτίῳ.] Γράφε Σιβυρτίῳ, καθὰ φέρεται παρὰ Διοδώρῳ τῷ Σικελιώτῃ (ΙΘ, 48) καὶ παρὰ τῷ Πολυαίνῳ (Στρατηγμ. Δ, ς', 15, σελ. 133,)

ΣΕΛΙΔ. 52 στ. 12, Οἱ μέν.] Οἱ Ἴβηρες καὶ οἱ Λυσιτανοί.—Οἱ δέ.] Οἱ Μακεδόνες.—Στ. 14, διὰ τὴν Γραμματείαν.] Διὰ τὸ γραμματεῦσαι Ἀλεξάνδρῳ.—Στ. 15, Οὐ μόνον τοίνυν] ΠΡΔ, ΑΤ, Οὐ μόνον ταῖς νῦν.—Στ. 23, Στρατηγίαν.] ΠΡΔ, ΑΤ, Στρατείαν.

ΣΕΛΙΔ. 53, στ. 3, Γενομένῳ.] Ἐξ ΕΔ, ΑΤ, Γενόμενος.—Στ. 10, Ἑκοντί.] ΔΓ, Ἑκουσίως.—Ἐπ' ἀρχῇ.] ΠΡΔ, ΑΤ, Ἐν ἀρχῇ.—Στ. 13, Ἀποθανεῖν.] ΔΓ. Θανεῖν.

## ΑΓΗΣΙΛΑΟΣ.

ΣΕΛΙΔ. 55, στ. 2, Λαμπιδοῦς.] Ἐκ ΔΓ, καὶ τοῦ Πλάτωνος (Ἀλκιβιάδ. Α, σελ. 123), ΑΤ, Λαμπριδοῦς. Ἔστι δὲ Λακωνικὸν τοὔνομα, ὃ διὰ τοῦ τ ἐξήνεγκεν ὁ Κωμικὸς (Λυσιστρ. 77-78),

Ἡ δὶ δὲ καὶ δὴ Λαμπιτὼ προσέρχεται.
Ὦ φιλτάτη Λάκαινα, χαῖρε Λαμπιτοῖ.

—Στ. 3, Εὐπωλίας.] ΔΓ, Ἰωνίας.—Στ. 8, Προσηγορεῦσθαι.] ΔΓ, Προσειρῆσθαι.—Στ. 18, Συντρεφομένων] Ἐκ ΔΓ, καὶ τοῦ Α, ΑΤ, Συστρεφομένων.—Στ. 22, Ἔχων.] ΠΡΔ, ΑΤ, Ἔχον.

ΣΕΛΙΔ. 56, στ. 3, Ἐκδηλοτέραν.] Ἐκ ΔΓ, ΑΤ, Ἐνδηλοτέραν.—Στ. 6, Μήτε πλαστάν, μήτε μιμηλάν τινα, ποιήσασθαι.] ΔΓ, Μήτε πλαστῶν, μήτε μιμητῶν τινα μιμήσασθαι: Μήτε πλαστόν, μήτε μιμητόν τινα μιμήσασθαι. Ἴσως ἡ γνήσιος γραφὴ ἦν Μήτε πλαστάν, μήτε μιμηταν τινα ποιήσασθαι. Τὸ γὰρ Μιμηλὸς ἢ Μιμηλὴ ἐνεργητι-

κὴν ἔχει σημασίαν, ἐπὶ τῶν μιμεῖσθαι πεφυκότων ὡς ἐπὶ τὸ πολὺ τεταγμένον, οὐκ ἐπὶ τῶν παθητικῶς μεμιμημένων. Εἰδὲ προαιρῇ τῶν ΔΓ τὴν πρώτην, γράφε καὶ στίζε Μήτε πλαστῶν, μήτε μιμητῶν, τινὰ ποιήσασθαι, Πλάστας μὲν, τοὺς ἀνδριαντοποιοὺς ἐννοῶν, Μιμητὰς δὲ, τοὺς ζωγράφους (ἴδ. Πλουτάρχ. Θησ. § 4, Μέρ. Α. σελ. 4). —Στ. 11, Παρέσχεν.] ΔΓ, Παρεῖχεν. Στ. 14, Γεννάσει.] Δωρικῶς ἀντὶ τοῦ Γεννήσει. ΔΓ, Γεννώσει. —Στ. 18, Παιδίον.] ΔΓ. Παιδάριον.— Στ. 20, Δεῦρις] Ἱστορίας συγγραφεὺς, Θεοφράστῳ μαθητεύσας αὐτός τε καὶ Λυγκεὺς ὁ ἀδελφὸς αὐτοῦ, καθά φησιν Ἀθήναιος (Δ, σελ. 128). — Στ. 23, Τῇ Τιμαίᾳ.] Ἐκ ΔΓ προσέθηκα τὸ ἄρθρον.—Στ. 24, Γεγονότων.] ΔΓ, Γενομένων.

ΣΕΛΙΔ. 57, στ. 3, Διὰ τὴν ἀρετήν.] Ἐξ ΕΔ προσέθηκα τὴν πρόθεσιν.—Στ. 11, Μὴ σέθεν ἀρτίποδος.] ΔΓ, ἡ διόρθωσις, Μή σ' ἀντ' ἀρτίποδος.—Βλάψῃ.] ΔΓ. Βλάστῃ.— Στ. 12 Νοῦσοι.] Ἐν δὲ Λυσάνδρῳ (Πλουτάρχ. Μέρ. Γ, σελ. 117) Μόχθοι. —Στ. 13, Φθερσίβροτον.] ΑΤ, Φθισίβροτον (ὃ οἱ ΠΡ ἔτρεψαν εἰς τὸ Φθισιβρότου) ἔγραψα ὧδέ τε καὶ ἐν Λυσάνδρῳ (Πλουτάρχ. Μέρ. Γ, σελ. 117), Φθερσίβροτον, ἐκ τοῦ Παυσανίου· ἡ γραφὴ μαρτυρεῖ καὶ ἡ ἡμαρτημένη ΔΓ, Φθεσίβροτον. —Κυλινδόμενον.] ΠΡΔ, ΑΤ, Κυλινδομένου. — Στ. 19, Ποσειδῶνα.] ΔΓ, Ποσειδῶ —Στ. 21, Λεωτυχίδην.] ΔΓ (ὧδέ τε καὶ ἐν τοῖς ἑξῆς) Λεωτυχίδαν.— Στ. 24, Τοὺς ἀπὸ μητρὸς οἰκείους.] Τῆς μητρὸς τοῦ Ἄγιδος.—Στ. 27, Ἐπὶ τῇ κληρονομίᾳ.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ἐπὶ τὴν κληρονομίαν. — Ὁ δὲ φησίν.] Ἐξ ΕΔ, ΑΤ, Ὡς δέ φησιν. — Στ. 28, Ὅτι, πάντα τῇ πατρίδι.] Ἐκ ΔΓ, ΑΤ, Ὅτι, τῇ πατρίδι.— Στ. 29, Τοιοῦτόν ἐστι· Τῶν Ἐφόρων.] ΠΡΔ, ΑΤ, Τοιοῦτο ἐκ τῶν Ἐφόρων.

ΣΕΛΙΔ. 58, στ. 2, Τοῖς βασιλεῦσιν.] ΔΓ, Τοῖς βασιλεύουσιν. —Στ. 6, Καὶ τὸ προσκρούειν.] Ἐκ ΔΓ, ΑΤ, Καὶ προσκρούειν. —Στ. 9, Τύχαι.] ΔΓ, Τύχῃ.— Στ. 14, Προστιθέμενος.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Προτιθέμενος.—Στ. 28, Πάντως.] Ἐκ ΔΓ, ΑΤ, Πάντων.—Στ. 29, Πρὸς πάντα.] ΠΡΔ, ΑΤ, Πρὸς ταῦτα.

ΣΕΛΙΔ. 59, στ. 3, Τὴν δὲ ἀνθυπείκουσαν τῷ ἀνελέγκτῳ χάριν.] Τὴν δὲ χάριν τὴν ὑποχωροῦσαν, καὶ ὑποκατακλινομένην διὰ τοῦ μὴ ἐλέγχειν, ἢ διὰ τοῦ ἀνέλεγκτα ἐᾷν τὰ ἐλέγχου δεόμενα. ΔΓ, Τὴν δὲ ἀνθυπείκουσαν τῶν ἀνελέγκτων χάριν. — Στ. 5, Οὐ γὰρ ἂν τόν.] ΠΡΔ, ΑΤ, Οὐ γὰρ τόν. Αἰνίττεται δὲ τὰ ἐκ τοῦ Ὁμήρου (Ὀδυσσ. Θ, 76-78) ταυτὶ περὶ τῆς Ὀδυσσέως καὶ Ἀχιλλέως ἔριδος,

Ὥς ποτε δηρίσαντο, θεῶν ἐν δαιτὶ θαλείῃ,

Ἐκπάγλοις ἐπέεσιν· ἄναξ δ' ἀνδρῶν Ἀγαμέμνων
Χαῖρε νόῳ, ὅτ' ἄριστοι Ἀχαιῶν δηριόωντο.

—Στ. 13, Ἀπήγγελλον.] Ἐκ ΔΓ, ΑΤ, Ἀπήγγειλαν.—Στ. 19, Πολεμῆσαι.] ΔΓ, Προπολεμῆσαι. — Στ. 25, Νεοδαμώδεις.] Τοὺς ἐκ τῶν Εἱλώτων ἐλευθερουμένους οὕτως ἐκάλουν οἱ Λακεδαιμόνιοι, οἱονεὶ νεωστὶ εἰς τὸν δῆμον καταλεχθέντας, καὶ μὴ ἐξ ἀρχῆς πολίτας ὄντας. — Δισχιλίους.] Τοσούτους λέγει καὶ Ξενοφῶν (Ἑλληνικ. Γ, δ', 2). —Στ. 26, Συμπράττοντος δὲ τοῦ Λυσάνδρου, πάντα.] ΔΓ, Συμπράττοντος δὲ πάντα τοῦ Λυσάνδρου. Ἴσως γραπτέον, Συμπράττοντος δὲ τοῦ Λυσάνδρου, ταῦτά τε. — Στ. 28, Εὐθύς.] Περιττὸν ἔδοξε τοῦτο καὶ τοῖς ΠΡ.

ΣΕΛΙΔ. 60, στ. 7, Τῶν αὐτῶν.] ΔΓ, Τῶν μὲν αὐτῶν.—Στ. 9, Θῦσαί σε.] Ἐκ ΔΓ προσέθηκα τὴν ἀντωνυμίαν.— Στ. 11, Ἔσφαξε.] ΔΓ, Ἐσφαγίασε. — Στ. 14, Ἀμαθίαν.] ΔΓ, Ἀπάθειαν. — Στ. 16, Οὐχ' ὥσπερ εἰώθει τοῦτο ποιεῖν ὑπό.] ΠΡΔ, ΑΤ, Οὐχ ὥσπερ εἰώθει τοῦτο ποιεῖν ὁ ὑπό. —Στ. 23, Στρατείας.] ΔΓ. Στρατηγίας. —Στ. 24, Ἀφιξομένης.] ΔΓ, Ἀφιξόμενος. — Στ. 25, Εἰς Ἔφεσον.] ΔΓ, Εἰς τὴν Ἔφεσον. — Στ. 27, Ἐπὶ τὰς θύρας.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Περὶ τὰς θύρας, —Στ. 29, Ἔχοντα.] ΠΡΔ, ΑΤ, Ὄντα.

ΣΕΛΙΔ 61, στ. 1, Δεινότερος.] ΔΓ, Ἐνδοξότερος. —Στ. 15, Συμβουλίαις.] Ταὐτὸν δύναται τῷ Συμβουλαῖς (ἴδ. Ἰσοκράτ. Μέρ. Β, σελ. 11). — Στ. 23, Αἰσθόμενος.] ΔΓ, Αἰσθανόμενος.—Στ. 30, Νῦν οὖν.] ΔΓ, Νῦν μὲν δή.

ΣΕΛΙΔ. 62, στ. 2, Σαφῶς.] ΔΓ, Σοφῶς. Ἐν δὲ τῷ Λυσάνδρου βίῳ (§ 23, Πλουτάρχ. Μέρ. Γ, σελ. 119) Γέγραπται, Καλῶς. — Στ. 4, Λέλεκται βέλτιον.] ΔΓ, Λέλεκται μᾶλλον. Παράβαλλε τοῖς ἐν τῷ Λυσάνδρου βίῳ εἰρημένοις (Μέρ. Γ, σελ. 119) καὶ τοῖς ἐκεῖ (σελ. 372) σημειωθεῖσι. — Στ. 5, Τάξιν.] ΔΓ, Πρᾶξιν. —Στ. 7, Σπιθριδάτην.] Ἐκ ΔΓ, ΑΤ, Μιθριδάτην. — Στ. 10, Ἐβούλευεν.] ΔΓ, Ἐπεβούλευεν. —Στ. 14, Οὕτως αἱ φιλότιμοι.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Οὕτως δὲ φιλότιμοι. —Στ. 16, Εἰ Λύσανδρος.] ΔΓ, Εἰ ὁ Λύσανδρος. — Στ. 22, Ἑλληνικάς.] ΔΓ, Ἑλληνίδας. —Στ. 25, Στρατείας.] ΔΓ, ϛρατηγίας· Στρατιᾶς—Στ. 27, Νενικηκότας.] Ἐκ ΔΓ, ΑΤ, Νενικηκότες.

ΣΕΛΙΔ. 63, στ. 9, Προειπών] Ἐκ ΔΓ (καὶ τῶν εἰς Πλούταρχον ἀναφερομένων Ἀποφθεγμάτων) οἱ ΠΡ, ΑΤ, Προσειπών. — Στ. 12, Δειλῶν καὶ πλουσίων.] Ἐξ ΕΔ (καθὰ φέρεται καὶ ἐν τοῖς Ἀποφθέγμασι] ΑΤ, Ψιλῶν ὁπλι-

τῶν. — Στ. 15, Καὶ γὰρ τὸν Ἀγαμέμνονα κ. τ. λ.] Μέμνηται καὶ ἀλλαχοῦ Πλούταρχος. Λέγει δὲ τὴν ἵππον Αἴθην, περὶ ἧς Ὅμηρος (Ἰλιάδ.. Ψ, 295-298) φησὶ,

Τὴν Ἀγαμέμνονι δῶκ' Ἀγχισιάδης Ἐχέπωλος
Δῶρ', ἵνα μὴ οἱ ἕποιθ' ὑπὸ Ἴλιον ἠνεμόεσσαν,
Ἀλλ' αὐτοῦ τέρποιτο μένων — — — — — —

—Στ. 20, Σκιατροφίας.] ΔΓ, Σκιστροφίας.—Στ. 22, Οἷς μάχεσθε.] ΔΓ, Οἷς μαχεῖσθε. Ἀλλὰ τηνικαῦτα καὶ τὸ ἐχόμενον, Ὑπὲρ ὧν μάχεσθε, εἰς τὸ, Ὑπὲρ ὧν μαχεῖσθε, ἐχρῆν ἂν τρέπειν, καθὰ καὶ Α ἐξέφρασε, Ce sont là les personnes à qui vous aurèz à combattre, et ici les dépouilles pour qui vous combattrez. Οὐ μέντοι μετακινητέον τὴν γραφήν.—Στ. 26, Καὶ νῦν οὖν αὐτὸν ἅψεσθαι.] Ἐξ ΕΔ καὶ ἡ περιαίρεσις τοῦ, Οὖν, καὶ ἡ τροπὴ τοῦ, Ἅψασθαι, εἰς τὸ Ἅψεσθαι.

ΣΕΛΙΔ. 64, στ. 6, Ἐπῆγε.] ΔΓ, Ἐπήγαγε: Εἰσῆγε.— Στ. 8, Ὑπῆρξεν.] Εκ ΔΓ, ΑΤ, Ὑπῆρχεν.—Στ. 11, Ἀπεχθέστατον.] Ἐκ ΔΓ, (συμφωνοῦντος καὶ τοῦ Α) ΑΤ Ἐπαχθέστατον — Στ. 12, Ἀπέτεμε.] ΠΡΔ, ΑΤ, Ἐπέτεμε.— Στ. 19, Ἐτετιμώρητο.] ΔΓ, Ἐτιμωρήσατο.— Στ. 21, Τελῶν.] Ἀρχόντων (ἴδ. Πλουτάρχ. Μέρ. Γ, σελ. 369).—Στ. 25, Θεόπομπος.] Χῖος, Ἰσοκράτους μαθητὴς καὶ συγγραφεὺς ἱστορίας.

ΣΕΛΙΔ. 65, στ 1, Ὑπὸ Φαρναζάζου.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ὑπὸ Φαρναβάζου.—Στ 3. Συνῆγε.] ΔΓ, Συνήθροιζε.— Στ. 15, Ἄλλοθεν ἀλλαχόσε.] ΠΡΔ (ὥσπερ καὶ Α, d'un lieu en autre) ΑΤ, Ἄλλοτε ἀλλαχόσε.—Στ. 16. Μεθιδρύμενος.] Ἀνεβίβασα τὸν τόνον (ἵν' ᾖ ἐνεστὼς παρὰ τὸ Ἵδρυμι) τοῦ παρὰ τοῖς ΠΡ Μεθιδρυμένος, κατὰ παρακείμενον. ΔΓ, Μεθιδρυόμενος, χρηστὴ καὶ αὕτη· λέγεται γὰρ Ἵδρυμι καὶ Ἱδρύω.—Στ. 17, Παραλαβών. Ἐκ ΔΓ, ΑΤ, Λαβών.—Στ. 20, Φωρῶν.] ΠΡΔ (ἴσως οὐκ ἀναγκαία) ΑΤ, Ἐφορῶν. Ἔστι δὲ τὸ Φωρᾶν παρὰ τὸ Φὼρ τὸ δηλοῦν τὸν κλέπτην, ὥσπερ καὶ τὸ παρὰ Ῥωμαίοις Fur· καὶ ταυτὸν σημαίνει τῷ παρὰ τοῖς Γάλλοις Fureter. —Στ. 27, Ἐμφανῶν.] Ἐκ ΔΓ, ΑΤ, Ἐπιφανῶν.

ΣΕΛΙΔ 66, στ. 1, Ἀσπασομένου.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Σπασομένου. — Στ. 10, Οὐδὲν, ἔφη, δεῖ.] ΔΓ, Οὐδὲν ἔφη δεῖν, ὃ οἱ ΠΡ, ἔτρεψαν, μηδὲν δέον, εἰς τὸ, Οὐδὲν, ἔφη, δεινόν. — Στ. 11, Τήναν τὰν μάχαν τὰν περὶ τοῦ κ. τ. λ.] Δωριστὶ, ἀντὶ τοῦ, Ἐκείνην τὴν μάχην τὴν περ

ρὶ τοῦ φιλήματος ἥδιον. — Στ. 12, Φιλάματος.] Ἐξ ΕΔ ὁ διορισμὸς (ἵνα συνάδη τοῖς λοιποῖς), ΑΤ, Φιλήματος.—Ἄδιον ἄν.] Ἐκ ΔΓ, προσέθηκα τὸν σύνδεσμον.— Ἢ πάντα ὅσα τεθέαμαι χρυσία μοι γενέσθαι.] Ἠμφιβολόγηται τὸ χωρίον. Σημαίνει μὲν γὰρ, Ἢ γενέσθαι μοι πάντα τὰ χρυσία, ὅσα τεθέαμαι, τουτέστιν, ἢ κύριος γενέσθαι πάντων τῶν χρυσίων, ἅ μοι συνέβη θεάσασθαι. Ἕτεροι δὲ, ὧν ἐστι καὶ ὁ Α, ἡρμήνευσαν, Ἢ πάντα ὅσα τεθέαμαι γενέσθαι μοι χρυσία, τουτέστιν, εἰς χρυσὸν μεταβληθῆναι, κατὰ τὸ περὶ τοῦ Μίδου μυθολογούμενον. Ἄμεινον δὲ τὸ πρῶτον, ὡς ἔδοξε καί τινι τῶν ΠΡ.—Στ. 15, Πάλιν αὖ μεταβαλομένου καὶ φανέντος.] ΔΓ, Πάλιν παραγενομένου καὶ μεταβαλομένου.—Στ. 18, Ἀμφοτέροις.] Ἐξ ΕΔ (συνᾴδοντος καὶ τοῦ Α), ΑΤ, Ἀμφοτέρους· ἡ γὰρ σύνταξις πρὸς τὸ Ξένος. Ἐπιθι τὸν Ξενοφῶντα (Ἑλληνικ. Δ, ά, 29)—Στ. 21, Περιέμενε.] Ἐκ ΔΓ, ΑΤ, Περιέμεινε.— Στ. 22, Ὑποβεβλημένων αὐτῷ κωδίων τε μαλακῶν.] Ἐκ ΔΓ, ΑΤ, Ὑποβεβλημένων τ' αὐτῷ κωδίων μαλακῶν. —Στ. 24, Χαμᾶζε.] ΔΓ (ὀρθωτέρα), Χαμᾶζε.—Στ. 27, Χρήσιμος γενομένως.] Τὸ Χρήσιμον γενέσθαί τί τινι, ἡ συνήθεια ἁπλούστερον διὰ τοῦ Χρησιμεύειν ἐκφέρει, οἷον ἐν τῷ παρόντι φαίη τις ἂν περὶ Φαρναβάζου, ὅτι, Ἐχρησίμευσε πολλὰ εἰς τοὺς Ἀθηναίους.

ΣΕΛΙΔ. 67, στ. 5, Ἀφ' ἧς δ' ἂν ἡμέρας.] Ἐκ ΔΓ, ΑΤ, Ἀφ' ἧς δ' ἡμέρας.—Στ. 6, Λέγεσθαι.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Γενέσθαι.—Στ. 23, Ἀδαίου.] ΔΓ, Ἰδαίου, ὡς καὶ παρὰ τῷ Ξενοφῶντι (Ἑλληνικ. Δ, ά, 39). Στ. 25, Χρόνῳ περιιόντι.] Ἐκ ΔΓ, ΑΤ, Χρόνῳ προϊόντι. Ἐρεῖ δὲ καὶ μετ' ὀλίγα (§ 14. σελ. 68) « Ἤδη δὲ περιιόντος ἐνιαυτοῦ δευτέρου ».—Στ. 26, Ὑπὸ τῶν ἀδελφῶν.] Ἴσως γραπτέον, Ὑπὸ τοῦ ἀδελφοῦ· Οὕτω γὰρ ὁ Ξενοφῶν (Ἑλληνικ. Δ, ά, 40), « Ἀποστερῶν ὁ ἀδελφὸς τὴν ἀρχὴν, φυγάδα ἐποίησε κ. τ. λ. »— Στ. 29. Ἐπεὶ δὲ μέγας ὢν καὶ σκληρὸς κ. τ. λ.] Ἐν παισὶ γὰρ ἔμελλεν ἀγωνίσεσθαι, οὐκέτι παιδὸς ἡλικίαν ἔχων. Ἐξεκρίνοντο δ' ὅλως οἱ τοιοῦτοι τῶν παιδικῶν ἀγώνων, ἐξὸν ἄλλως αὐτοῖς, εἰ ἐβούλοντο καὶ ἐδύναντο, εἰς τοὺς ἀνδρικοὺς μεταβῆναι· ὃ καὶ συμβῆναί φησιν Ἐρατοσθένης (παρὰ Διογέν. Λαερτ. Η, 47) Πυθαγόρᾳ, « Τοῦτον εἶναι (λέγων) τὸν » πρῶτον ἐντέχνως πυκτεύσαντα, ἐπὶ τῆς ὀγδόης καὶ τετταρακοστῆς Ὀλυμ» πιάδος, κομήτην, καὶ ἁλουργίδα φοροῦντα· ἐκριφθῆναί τε ἐκ τῶν παί» δων, καὶ χλευασθέντα αὐτίκα προσβῆναι (ἴσ. γρ. Προβῆναι εἰς) τοὺς ἄν» δρας, καὶ νικῆσαι »,

ΣΕΛΙΔ. 68, στ. 5, Πρὸς Ἰδριέα τὸν Κᾶρα.] Οὗτός ἐστιν Ἰδριεὺς ὁ Καρίας δυνάστης, οὗ καὶ Ἰσοκράτης ἐμνημόνευσεν ἐν τῷ Πρὸς Φίλιππον λόγῳ (Ἰσοκράτ. Μέρ. Α, σελ. 99). Νικίαν. — Ἐξ ΗΔ, συνᾳδούσης τῇ ἀλλαχοῦ τοῦ Πλουτάρχου (Πολιτικ. παραγγελμ. § 13) γραφῇ, ΑΤ, Νικίας, ὥσπερ φέρεται ἐνθάδε τε καὶ ἐν τοῖς εἰς Πλούταρχον ἀναφερομένοις Ἀποφθέγμασι. Καὶ τοῦτο μὲν τὸ ἐπιστόλιον ἀνάξιον ἦν ἐπιεικῶς Ἀγησιλάου· μακρῷ δὲ μᾶλλον οἰκειότερα τοιούτῳ στρατηγῷ τὰ ἱστορημένα ἐν τοῖς Ἀποφθέγμασι περὶ αὐτοῦ. « Ἐδεήθη τις αὐτοῦ γράψαι πρὸς τοὺς ἐπ' Ἀσίας ξένους, ὅπως τύχοι τῶν δικαίων· Ἀλλ' οἱ ἐμοὶ ξένοι, εἶπεν, τὰ δίκαια δι' ἑαυτῶν, κἂν ἐγὼ μὴ γράψω, ποιοῦσιν ». — Στ. 6, Ἦν μὲν οὖν ἐν τοῖς πλείστοις.] Ἐξ ΗΔ ἡ προσθήκη τῆς προθέσεως. — Στ. 8, Ἔστι δ' ὅπου... τῷ καιρῷ μᾶλλον.] Ἐξ ΗΔ ἡ περιαίρεσις τοῦ, Καὶ, συνδέσμου, λείποντος καὶ ἐν τοῖς Ἀποφθέγμασι. — Στ. 11, Ἐπιστραφείς.] Γέγραφα, ὡς φέρεται ἐν τοῖς Ἀποφθέγμασιν, ΑΤ, Ἀποστραφείς. — Στ. 12, Ἱερώνυμος ὁ φιλόσοφος.] Τὸν περιπατητικὸν ἔοικε λέγειν Ἱερώνυμον, τὸν Ἀριστοτέλους μαθητὴν, οὗ καὶ ἀλλαχοῦ (Ἀριστείδ. § 27, Πλουτάρχ. Μέρ. Β, σελ. 269) ἐμνημόνευσε. — Στ. 13, Περιιόντος. Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Περιόντος — Στ. 15, Ἀφελείας.] Ἐξ ΕΔ, ΑΤ, Ἀτελείας. — Στ. 18, Τοὺς θεούς. Ἐκ ΔΓ ἡ προσθήκη τοῦ ἄρθρου. — Στ. 19, Φαυλοτέραν σιβάδα.] Ἐκ ΔΓ, ΑΤ, Φαυλοτέραν καὶ εὐτελεστέραν σιβάδα. — Στ. 21, Ὑπὸ τοῦ θεοῦ.] Ἐκ ΔΓ κἀνταῦθα ἡ τοῦ ἄρθρου προσθήκη.

ΣΕΛΙΔ. 69, στ. 11, Ὦ βάρβαρ' ἐξευρόντες.] Ἐκ τῶν Εὐριπίδου Τρῳάδων (στίχ. 759). — Στ. 12, Καὶ τὴν τότε σύστασιν καὶ σύνταξιν ἐφ' ἑαυτοὺς τῶν Ἑλλήνων.] Καὶ τὸν τότε πόλεμον τῶν Ἑλλήνων ἄλλων ἐπ' ἄλλους συνισταμένων καὶ συντασσομένων. Διὰ μιᾶς λέξεως, conjuration, ἐξέφρασεν Α τὴν σύστασιν καὶ σύνταξιν. — Στ. 13, Τῆς τύχης ἄνω φερομένης.] Τοῦθ' οὔτε ὁ Λατῖνος μεταφραστὴς, οὔθ' ὁ Γάλλος συνῆκεν, ὁ μὲν ἑρμηνεύσας, fortunam in sublime evolantem, ὁ δὲ, la fortune qui les conduisoit au comble de félicité. Τὸ γὰρ Ἄνω ἐνθάδε τὴν Περσίδα σημαίνει ἀντιδιεσταλμένως πρὸς τοὺς Ἐπὶ θαλάττῃ· καί ἐστι τὸ λεγόμενον, Ἐκώλυσαν τὴν τύχην ἐπὶ τὸν ὄλεθρον τῶν Περσῶν βαδίζουσαν. Μαρτυρεῖ δὲ τῇ ἡμετέρᾳ ἐξηγήσει καὶ τὰ ἑχόμενα, καὶ ἡ πολλὴ παρὰ τοῖς συγγραφεῦσι, καὶ μάλιστα Ξενοφῶντι, χρῆσις τοῦ Ἄνω, ἐφ' ἧς εἴρηκα σημασίας. — Στ. 16, Οὐ γὰρ ἔγωγε συμφέρομαι.] Οὐ συγκατατίθεμαι, οὐ συνομολογῶ. Ἐπιθεὶ τὰ ἀλλαχοῦ (Πλουτάρχ. Μέρ. Α, σελ. 406)

σεσημειωμένα μοι.—Στ. 20, Οἵ τότε... κατανήλωσαν.] ΔΓ, ... κατηνάλωσαν. Ἄμεινον δ' ἂν ἐλέγετο, ὡς καί τινι τῶν ΠΡ ἔδοξεν, Οἱ τότε... καταναλώσαντες.—Στ. 26, Τοῖς ἐπὶ τὸν οἶκοι.] Ἐκ ΔΓ, ΑΤ, Τοῖς μὲν ἐπὶ τὸν οἶκοι.

ΣΕΛΙΔ. 70, στ. 5, Ἀτελευτήτῳ ἐπὶ ἔργῳ.] Ἐκ τῶν παρ' Ὁμήρῳ (Ἰλιάδ. Δ, 174) ὑπ' Ἀγαμέμνονος πρὸς Μενέλαον λεγομένων,

Σέο δ' ὀστέα πύσει ἄρουρα
Κειμένου ἐν Τροίῃ, ἀτελευτήτῳ ἐπὶ ἔργῳ.

—Στ. 8, Βασιλέα γὰρ αὐτόν.] ΔΓ, Βασιλέα γὰρ ἑαυτόν: Βασιλέα τὸν ἐπ' αὐτόν. Τῶν δύο τούτων γραφῶν, ἡ μὲν πρώτη οὐδὲν λέγει πλέον τῆς ἐκδεδομένης, ἡ ἑτέρα δὲ καὶ βάρβαρος καὶ ἀδιανόητος· ἐνδέχεται μέν τοι τρίτην ἄλλην ὑπὸ ταῖς δυσὶ κεκρύφθαι γνησίαν Πλουτάρχου ταύτην γραφήν, Βασιλέα γὰρ ἑαυτὸν τῶν ἐπ' αὐτοῦ κ. τ. λ. τουτέστιν, Ἐπιδειξάμενος ὁ Ἀγησίλαος ἑαυτὸν βασιλέα καὶ στρατηγὸν ἄριστον τῶν ἐπ' αὐτοῦ βασιλέων καὶ στρατηγῶν.—Στ. 12, Μυρίοις τοξόταις.] Γραπτέον, Τρισμυρίοις τοξόταις, οὐ μόνον διὰ τὸ εὐτελὲς τοῦ ἀριθμοῦ τῶν μυρίων, ἀλλὰ καὶ διότι μνημονικὸν ἔοικασιν ἁμάρτημα εἶναι Πλουτάρχου, ἢ γοῦν γραφικὸν παρόραμα, οἱ Μύριοι τοξόται· καὶ γὰρ καὶ ἐν Ἀρταξέρξῃ (§ 20), καὶ ἐν τοῖς Ἀποφθέγμασι, τρισμυρίους τοξότας διαῤῥήδην πέμψαι φησὶν εἰς Ἑλλάδα τὸν Πέρσην ἐπὶ δωροδοκίᾳ τῶν μιαρωτάτων δημαγωγῶν.—Στ. 20, Ὡς ἕκαστος δυνάμεως εἶχεν.] Λείπουσιν αἱ τέσσαρες αὗται λέξεις ἔν τισι τῶν ἀρχαίων ἐκδόσεων· οὐ μὴν διὰ τοῦτο ἐξωστέαι τοῦ χωρίου, ὥσπερ ἔδοξε τοῖς ΠΡ —Τράλλεις.] Ἔθνος Θρᾳκικόν, λῃστρικὸν καὶ φονικώτατον, οἱ Τράλλεις, ὧν ἄποικος ἡ ἐν Ἀσίᾳ πόλις, ἡ καλουμένη Τράλλεις, (Στράβ. ΙΔ, σελ. 649). Φησὶ δὲ καὶ Ἡσύχιος· « Τράλλεις· οὕτως ἐκαλοῦντο μισθοφόροι Θρᾷκες τοῖς βασιλεῦσιν οἱ τὰς (γρ. Οἳ τοῖς βασιλεῦσι τὰς) φονικὰς χρείας πληροῦντες ».—Στ. 28 Ἡμεῖς δ' ἤδη πορευόμεθα.] ΔΓ, Ἡμεῖς δὲ διαπορευσόμεθα: Ἡμεῖς δὲ δὴ πορευόμεθα, (ἐν δὲ τοῖς Ἀποφθέγμασι) Ἡμεῖς δὲ πορευσόμεθα.—Στ. 29, Προάγειν.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Προσάγειν.

ΣΕΛΙΔ, 71, στ. 8, Ὡς ἐνὶ μάλιστα αἰφνίδιον.] Τὰς τέσσαρας ταύτας λέξεις, πῶς εἰσέφρησαν εἰς τὸ χωρίον, καὶ τί βούλονται λέγειν, οὔθ' οἱ ΠΡ ἐνόησαν, οὔτ' ἐγὼ νοῆσαι οἷός τ' ἐγενόμην.—Στ. 17, Ναρθακίῳ] ΔΓ (ἡμαρτημένη) Καρθακίῳ. Πλήν, οἶμαι, Πτολεμαίου, οὐδεὶς ἕτερος μέμνηται τοῦ Ναρ-

θακίου τούτου.—Στ. 25, Μόρας;] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Μοίρας. « Τὴν » δὲ Μόραν Ἔφορος μὲν ἄνδρας εἶναι πεντακοσίους φησὶ, Καλλισθέ» νης δ', ἑπτακοσίους, ἄλλοι δέ τινες, ἐννακοσίους (Πλούταρχ. Πελοπ. § 17 » Μέρ. Β, σελ. 179) ».

ΣΕΛΙΔ. 72, στ. 5, Ἠχθέσθη μέν.] ΔΓ, Ἠχθέσθη μὲν οὖν. — Στ. 8, ΔΓ, Νικῷεν—Στ. 9, Τὴν ναυμαχίαν.] ΔΓ, (ἀμείνων), Τῇ ναυμαχίᾳ.—Στ. 15, Ὁ Ξενοφῶν] Ἐν τοῖς Ἑλληνικοῖς βιβλ. Δ, κεφ. 3. — Οἵαν οὐκ ἄλλην τῶν ΠΩΠΟΤΕ γενέσθαι.] Ξενοφῶν δὲ οὐ τοῦτο λέγει, ἀλλ' « Ἐγένετο, οἵα οὐκ ἄλλη ΤΩΝ Γ' ἘΦ' ἩΜΩΝ ». Διὸ καί τις τῶν ΠΡ ὑπενόησε μήποτε ἀντὶ τοῦ παρὰ Πλουτάρχῳ, Πώποτε γραπτέον, Τότε. — Στ. 16, Καὶ γὰρ παρῆν.] Ἐξ ΕΔ ἡ προσθήκη τοῦ δευτέρου συνδέσμου. —Στ. 20, Πιέζεσθαι.] ΔΓ, Πιεζεῖσθαι· ὅπερ μᾶλλον Πλουτάρχειον (ἴδ. Πλουτάρ. Μέρ. Α, σελ. 426).

ΣΕΛΙΔ 73, στ. 7, Ἐτρέψαντο.] ΠΡΔ, ΑΤ, Ἔτρεψαν.—Στ. 17, Νικήσαντες Ἀθηναίους, καὶ Τολμίδην ἀποκτείναντες.] Μνημονεύει τῆς μάχης ταύτης Διόδωρος ὁ Σικελιώτης (ΙΒ, 16).

ΣΕΛΙΔ. 74, στ. 5, Ἀριστόδημος.] Κορνήλιος δὲ Νέπως (Ἀγησιλ. § 7) οὐκ Ἀριστόδημον, ἀλλὰ τὸν Ἀριστοδήμου υἱὸν, Εὐρυσθένη, ἐνταῦθα ὠνόμακεν, ἐναντίως δὲ καὶ Πλουτάρχῳ καὶ Ξενοφῶντι (Ἀγησιλ. κεφ. ή, § 7).— Κάναθρον.] Εἰσὶν οἳ διὰ διπλοῦ γράφουσι τοῦ ν, Κάνναθρον, ὀρθώτερον ἴσως· παρὰ γὰρ τὰς Κάννας, (Ῥωμ. Canna Γαλλ. Canne) τουτέστι τοὺς καλάμους, ἢ τὰ καλαμοειδῆ φυτὰ ἐξ ὧν ἐπλέκοντο. Ἦσαν δὲ τὰ Κάναθρα ἁμαξῶν σκεπάσματα. ἤ, ὥσπερ ἀλλαχοῦ Πλούταρχος (Μέρ. Γ, σελ. 428) ὠνόμασε, Στέγαστρα, ἤ, ὡς ἕτεροι, Γέῤῥα, οἷς ἡμεῖς συνωνυμεῖν ἔφαμεν τὰ Γεῤῥάδερμα, λεληθὸς τέως ἀνευρόντες τοὔνομα. Ὃ δὲ προστίθησιν ἐχομένως, εἴδωλα γρυπῶν, τὸ σχῆμα δηλοῖ τῆς ἁμάξης, οἷα πολλὰ καὶ νῦν ἰδεῖν ἐστιν, παρὰ τοῖς βορειοτέροις τῶν Εὐρωπαίων, ἐν ταῖς νιφοβολίαις μάλιστα σχήμασι ζώων εἰκασμένα, τὰ καλούμενα τοῖς Γάλλοις trainaux, οἷς ἐπιβαίνοντες θέουσιν ἐπὶ τῆς χιόνος.—Στ. 9, Δικαίαρχος.] Ἀριστοτέλους μαθητής.—Στ. 11, Ἔτι γινωσκόντων.] ΠΡΔ, ΑΤ, Ἐπιγινωσκόντων.— Στ. 13, Εὐπωλίαν.] Ἐκ ΔΓ, ΑΤ, Ἀπωλίαν. Στ. 14, Προλύταν.] ΔΓ, Προαύγαν.—Στ. 18, Ἅρμα καθεῖσαν.] Ἐκ ΔΓ, ΑΤ (ὧδέ τε καὶ ἐν τοῖς Ἀποφθέγμασι φερομένου), Εἰς ἅρμα καθίσασαν. Οὐ γὰρ ἐξῆν ταῖς γυναιξὶν εἰς Ὀλυμπίαν ἀγωνίζεσθαι· ἐξὸν ἄλλως, ὥσπερ καὶ τοῖς ἀνδράσι, πέμπειν τοὺς ἀγωνισομένους ὑπὲρ αὐτῶν· τοῦτο γὰρ βούλεται τὸ Καθιέναι

ἅρμα, ὥσπερ ἐξέφρασε καὶ ὁ Α, qu'elle envoyast son chariot avec ses chevaulx aux jeux Olympiques.—Στ. 21, Ἐκέλευσε.] ΔΓ (ἄμεινον) Ἐκέλευε.—Στ. 24, Ἑταιρίαν.] ΔΓ, Ἑταιρείαν.—Στ. 27, Βιβλίῳ] Ἐκ ΔΓ, ΑΤ, Βίβλῳ.—Στ. 28, Κλέων.] ΔΓ, Κρέων.—Ἀναλαβών.] Εἰς μνήμην λαβὼν, ἐν μνήμῃ θέμενος. Ἔστι δὲ τοῦτο τὸ ἐν τῇ συνηθείᾳ Ἐκστηθίσας ἢ, Ἀποστηθίσας (Γαλ. Apprendre par cœur) καὶ σημειοῦ τὴν σημασίαν τοῦ παρακμάζοντος ἑλληνισμοῦ ταύτην, μήπω καταχωρισθεῖσαν ἐν τοῖς Λεξικοῖς. Καὶ γὰρ Δίων ὁ Χρυσόστομος, σχεδὸν ἅμα Πλουτάρχῳ, καὶ ὁ μικρὸν μετὰ Πλούταρχον ἀκμάσας Ἀθήναιος, ἐχρήσαντο τῇ λέξει, ὁ μὲν (Δίων Χρυσόστ. ιή, σελ. 483, Τομ. Α· ἐκδ. Ῥεϊσκ.) εἰπὼν, « Καὶ ἈΝΑΛΑΜΒΆΝΕΙΝ » μέντοι, εἴ σοι ῥᾴδιον μεμνῆσθαι, τὰ ἐκείνων ἄμεινον » · ὁ δ' Ἀθήναιος (Α, σελ. 4) « Καλλιφάνης... ἀρχὰς ποιημάτων πολλῶν καὶ λόγων ἐγ» γραψάμενος, ἈΝΕΙΛΉΦΕΙ μέχρι τριῶν καὶ τεσσάρων στίχων ».

ΣΕΛΙΔ. 75, στ. 3, Καθησύχασε.] Τῶν οὐ τετριμμένων ἡ λέξις· ἐκ γὰρ μόνου Πολυβίου λαβὼν κατεχώρισεν ὁ Σνεϊδέρος ἐν τῷ Λεξικῷ.

ΣΕΛΙΔ. 76, στ. 2, Ἀπέφαινε.] Ἐξ ΗΔ, ΑΤ, Ἀπέφηνε, ὅπερ εἰς τὸ Ἀπεφήνατο τρέπειν τις παρῄνει τῶν ΠΡ· Δύναται δ' ἐνθάδε τὸ Ἀπέφαινε ταὐτὸν καὶ τὸ Ἔλεγε, ἐφ' ἧς σημασίας ἐρεῖ καὶ προϊὼν (§ 23. σελ. 78), « Πανταχοῦ τὴν δικαιοσύνην ἀπέφαινε πρωτεύειν τῶν » ἀρετῶν ».—Στ. 13, Συμπεριπατοῦντας.] Ἐξ ΗΔ (συνᾳδούσης τῇ ἐν τοῖς ἀποφθέγμασι γραφῇ), ΑΤ, Περιπατοῦντας.—Στ. 16, Σύ γε.] Γράφε δωρικώτερον Τύ γε, ὡς φέρεται καὶ ἐν τοῖς Ἀποφθέγμασι. —Δεικηλίκτας.] Δωρικὸν τοὔνομα. Ἐσχημάτισται δὲ πολυτρόπως· Δεικηλίκτας γὰρ καὶ Δεικηλιστὰς καὶ Δικελιστὰς, καὶ ἕτερα πλείω, ἅπερ εὑρήσεις ἐν τοῖς Λεξικοῖς. Τὸ δὲ ἔτυμον οὐ πάνυ σαφές· οὐδὲ γὰρ πιθανά μοι δοκοῦσι λέγειν οἱ παρὰ τὸ Δεικελίζω ἢ τὸ θεματικώτερον Δείκω (ἐπὶ τοῦ Δείκνυμι) παράγοντες αὐτό. Ἴσως ἄμεινον μετὰ τοῦ Ἐτυμολόγου (σελ. 260) καὶ τοῦ σχολιάσαντος τὸν Ἀπολλώνιον (Ἀργοναυτ. Α, 746) παρὰ τὸ Δίκηλον, ἢ Δίκελον ἑρμηνεύειν τὴν λέξιν· ὅπερ ἐστὶ μὲν κυρίως τὸ τῷ Διὶ ἴκελον ἄγαλμα, καταχρηστικῶς δὲ καὶ πᾶν ὁμοίωμα. Ἐκ δὲ τούτου τὸ Δικελίζω, Δικελίσω, καὶ οἱ Δικελισταὶ, ἢ τὸ Δικελίζω, Δικελίξω, καὶ οἱ Δικελίκται, προηγουμένως μὲν οἱ Ἀνδριαντοποιοὶ, ἑπομένως δὲ καὶ πάντες οἱ ὁπωσοῦν τι μιμούμενοι.—Στ. 17, Μίμους.] Τοὺς ὑποκριτὰς ἐνθάδε λέγει, τοὺς ἐπὶ σκηνῆς μιμουμένους, ὡς ἔλεγον καὶ

τὰς μιμουμένας γυναῖκας Μιμάδας (Σουίδ. λέξ. Κρίσεως), ὃ διὰ διφθόγγου γέγραπται ἐν ἐπιγραφῇ τινὶ οὐ πρὸ πολλοῦ ἐν Ἀκυληΐᾳ εὑρεθείσῃ, καὶ πεμφθείσῃ μοι παρὰ τοῦ φιλομούσου Σιαύου, Σιτάρχου τῶν στρατοπέδων (Siauve, commissaire des guerres). Ἐκθήσομαι δὲ καὶ τὴν ἐπιγραφὴν ὅλην, εἰς τὸ στιχηρὸν ἀποκαταστήσας, καίπερ ἡμαρτημένως ἐν πολλοῖς γεγραμμένην, εἴτε τοῦ λιθοξόου οὕτως ἐγχαράξαντος, εἴτε καὶ τοῦ γράμμασιν ἀναλαβόντος, οὐκ ἐξακριβώσαντος.

ΤΗΝ ΠΟΛΛΟΙΣ ΔΗΜΟΙΣΙ ΠΑΡΟΣ ΠΟΛΛΑΙΣ ΔΕ ΠΟΛΕΣΣΙ
ΔΟΞΑΝ ΦΩΝΑΕΣΣΑΝ ΕΝΙ ΣΚΗΝΑΙΣΙ ΛΑΒΟΥΣΑΝ
ΠΑΝΤΟΙΗΣ ΑΡΕΤΗΣ ΕΝ ΜΕΙΜΟΙΣ ΕΙΤΑ ΧΟΡΟΙΣΙ
ΠΟΛΛΑΚΙΣ ΕΝ ΘΥΜΕΛΑΙΣ ΑΛΛΟΥΧΟΥΤΩΔΕΘΑΝΟΥΣΗ
ΤΗ ΔΕΚΑΤΗ ΜΟΥΣΗ ΤΟ ΛΑΛΕΙΝ ΣΟΦΟΣ ΗΡΑΚΛΕΙΔΗΣ
ΜΕΙΜΑΔΙ ΒΑΣΙΛΛΗ ΣΤΗΛΗΝ ΘΕΤΟ ΒΙΟΛΟΓΟΣ ΦΩΣ
Η ΔΗ ΚΑΙ ΝΕΚΥΣ ΟΥΣΑ ΙΣΗΝ ΒΙΟΥ ΕΛΛΑΧΕ ΤΙΜΗΝ
ΜΟΥΣΙΚΟΝ ΕΙΣ ΔΑΠΕΔΟΝ ΣΩΜ ΑΝΑΠΑΥΣΑΜΕΝΗ

ΤΑΥΤΑ

ΟΙ ΣΥΣΚΗΝΟΙ ΣΟΥ ΛΕΓΟΥΣΙΝ

ΕΥΨΥΧΕΙ (ἴσ. ΕΥΤΥΧΕΙ) ΒΑΣΙΛΛΑ ΟΥΔΕΙΣ ΑΘΑΝΑΤΟΣ.

Καὶ τοῦ μὲν πρώτου στίχου τὸ ΤΗΝ, ἴσως τρεπτέον εἰς τὸ ΤΗ Ν καὶ τοῦ δευτέρου τὸ ΛΑΒΟΥΣΑΝ εἰς τὸ ΛΑΒΟΥΣΗ, ἵν' ᾖ, Τῇ ἐν πολλοῖς δήμοις... λαβούσῃ, συνηρτημένως πρὸς τὸ ἑξῆς, ΘΑΝΟΥΣῌ Τῌ ΔΕΚΑΤῌ ΜΟΥΣῌ. Ἀλλ' οὐδὲ τοῦ τετάρτου τὸ τελευταῖον ἡμιστίχιον, ΑΛΛΟΥΧΟΥΤΩΔΕΘΑΝΟΥΣΗ, ἔρρωται τῇ γραφῇ· πλὴν εἰ μή τις νοητῶς μεν ὁπωσοῦν, οὐ μὴν ἐμμέτρως, γράφειν βούλοιτο, Ἀλόχῳ τῇ δε θανούσῃ. Δηλοῦται δὲ ἐκ τοῦ ἕκτου, ὅτι Μιμάδας ἐκάλουν τὰς ἐπὶ σκηνῆς γυναῖκας, ὥσπερ καὶ τοὺς ἄνδρας, οὐ μόνον Μίμους, ἀλλὰ καὶ Βιολόγους, ὡς τὰ κατὰ τὸν βίον συμβαίνοντα μιμουμένους. Ὠνομάζοντο δ' ἔτι καὶ Ἠθολόγοι παρὰ τὴν τῶν ἀνθρωπίνων ἠθῶν μίμησιν. Μουσικὸν δὲ δάπεδον ἴσως τὸ θέατρον αὐτὸ λέγει, ἐν ᾧ τεθάφθαι τὴν Βασίλλαν εἰκός. Σημειωτέον δὲ καὶ ὅτι τῶν ἑπτὰ πρώτων στίχων ἑξαμέτρων, ἢ ὡς ἑξαμέτρων, γραφέντων, ὁ τελευταῖος πεντάμετρος γέγραπται. Καὶ ταῦτα μὲν περὶ τῆς ἐπιγραφῆς ταύτης· μεταβῶμεν δὲ ἐπὶ τὰ ἑξῆς τῶν Πλουτάρχου.—Στ. 18, Αὐτᾶς ἄκουκα.]Ἐν τοῖς

Ἀποφθέγμασιν, Αὐτᾶς ἄκουκα πολλάκις. ἐν δὲ τῷ Λυκούργου βίῳ (Μέρ. Α, σελ. 94 § 20) Αὐτᾶς ἄκουκα τήνας, τουτέστιν, Αὐτῆς ἐκείνης ἀκήκοα.—Στ. 20, Ἀπεγνωσμέναις θεραπείαις.] ΔΓ, Ἀπεγνωσμένοις θεραπεύμασι.—Στ. 21, Καὶ δὴ καὶ πρὸς] Ἐκ ΔΓ, ΑΤ, Καὶ δῆτα πρός. Ἐν δὲ τοῖς Ἀποφθέγμασι, Καὶ δὴ πρός.—Στ. 23, Μενεκράτει.] Ἐκ ΔΓ καὶ τῶν Ἀποφθεγμάτων, ΑΤ, Μενεκράτη.—Στ. 24, Τὴν Κόρινθον.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Τὴν Κορινθίαν. Ἑτέρα ΔΓ, Τὴν Κορινθίων.—Ἥραιον.] Ἴσως ἐγέγραπτο Πειραῖον, ὡς ὑπειλήφασί τινες τῶν ΠΡ. οὐ μετακινητέον μέντοι τὴν γραφήν, ἐπεὶ καὶ τὸ Ἥραιον, τουτέστιν ὁ ναὸς τῆς Ἥρας, πλησίον ἦν τοῦ Πειραίου, ὡς δῆλον ἐκ τοῦ Ξενοφῶντος (Ἑλληνικ. Δ, έ, 5) « Ἐπεὶ δὲ ᾔσθοντο οἱ ἐν τῷ Πειραίῳ τὰ ἄκρα ἐχόμενα· . . εἰς τὸ Ἥραιον κατέφυγον.

ΣΕΛΙΔ. 77, στ. 15, Ποιούμενος.] Ἐξ ΕΔ, ΑΤ, Ποιουμένους.—Στ. 18, Στρατείᾳ.] ΔΓ (ἀμείνων) Στρατιᾷ.—Στ. 24, Παραγγελλομένης.] Ἐκ ΔΓ, ΑΤ, Παραγενομένης.—Στ. 27, Ἐπόρθουν.] Ἐκ ΔΓ, (συνᾳδούσης τῷ Α), ΑΤ Ἐπολιόρκουν.—Στ. 30, Τηρίβαζον. ΔΓ, Τιρίβαζον. Διαφορεῖται δὲ καὶ ἐν τοῖς Ξενοφῶντος ἀντιγράφοις· καὶ χαλεπὸν διαγνῶναι τὴν γνησίαν γραφὴν ξενικοῦ ὄντος τοῦ ὀνόματος.

ΣΕΛΙΔ. 78, στ. 8, Τοῖς δὲ μὴ βουλομένοις.] Ἐκ ΔΓ, ΑΤ, Τοὺς δὲ μὴ βουλομένους.—Στ. 25, Τί δ' ἐκεῖνος.] ΔΓ, Τί δαὶ ἐκεῖνος.

ΣΕΛΙΔ. 79, στ. 6, Ἀρχίαν.] Ἐξ ΕΔ, ἐνθάδε τε καὶ ἐν τοῖς ἑξῆς, ΑΤ, Ἀρχίδαν. Ἀρχίαν γὰρ αὐτὸν καὶ Ξενοφῶν ὀνομάζει, καὶ αὐτὸς ἀλλαχοῦ (Πελοπιδ. § 5, Μέρ. Β, σελ. 167) ὁ Πλούταρχος.—Στ. 11, Ἀθηναῖοι.] Κακῶς οἱ μεταφρασταὶ εἰς τὸ Θηβαῖοι μετέβαλον τοὔνομα, ὡς ἐσημειώσαντο καὶ οἱ ΠΡ.—Ἠλευθέρουν.] ΔΓ, Ἠλευθέρωσαν.—Στ. 12, Ἐγκαλῶν αὐτοῖς.] Τοῖς Θηβαίοις, ὃ νοεῖται ἐκ τοῦ προσεχοῦς, Πόλιν, ὡς ἐσημειώσαντο οἱ ΠΡ. Στ. 18, Στρατηγίαν.] ΔΓ, Στρατείαν.—Στ. 27, Καταλάβοι.] Ἐκ ΔΓ, ΑΤ, Καταλάβῃ.—Στ. 29, Μέλωνα.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Γέλωνα.—Βοιωταρχῶν.] Ἐγράφετο, Βοιωτάρχων παρὰ τὸ Βοιώταρχος δηλονότι· ἀλλ' ἐπεὶ ἐν τοῖς ἑξῆς (§ 32, σελ. 89) περισπωμένως ἐξενήνεκται, παρὰ τὸ ἐν πλείονι χρήσει Βοιωτάρχης, περιέσπασα κἀνταῦθα, τὴν ἀνωμαλίαν ἐκτρεπόμενος. Πέντε γάρ εἰσι μόνα τὰ ἐξαιρούμενα τοῦ περισπῶντος κανόνος, Ἀφύων, Ἐτησίων, Λαπίθων, Χλούνων, καὶ Χρήστων, εὐλόγως μὲν τὰ τρία, ἵνα μὴ συνεμπέσῃ τοῖς ἐπιθέτοις Ἀφυῶν, Χλου-

νῶν (παρὰ τὸ Χλουνός, ὅθεν ὁ ἐν τῇ συνηθείᾳ Χλωμός), καὶ Χρηστῶν, ἀλογώτατα δὲ πάντων τὸ, Ἐτησίων, καὶ τὸ, Λαπίθων.

ΣΕΛΙΔ. 80, στ, 5, Κατέλαμψεν.] ΔΓ, Κατέπαυσεν. Ἄνοίαν ὠφλίσκανον ἂν εἰκότως τὴν οὕτως ἀνόητον προσσημειούμενος γραφὴν, εἰ μὴ παρεῖχεν ὑπονοεῖν γεγράφθαι πάλαι, Κατέφαυσεν, παρὰ τὸ μήπω καταχωρισθὲν ἐν τοῖς Λεξικοῖς, Καταφαύω· ὅπερ εἰκὸς τοῦ παρακμάζοντος ἑλληνισμοῦ εἶναι, καθὰ καὶ τὸ παρὰ τῷ Ἀποστόλῳ (Πρὸς Ἐφεσ. ε΄, 4) Ἐπιφαύω.—Στ. 11, Κατηγόρων.] ΔΓ, Κατηγορίας.

ΣΕΛΙΔ. 81, στ. 1, Σκέψεσθαι.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Σκέψασθαι. — Στ. 2, Ἐξέλιπε.] ΔΓ, Ἐξέλειπε —Τὸ προσιέναι.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Τὸ προσεῖναι. ΔΓ, Τῷ προσεῖναι. — Στ. 7, Ψέγειν.] Προσυπακουστέον τὸ, Ἔφασκεν, ἢ Ἔλεγεν ὁ Ἐτυμοκλῆς. — Στ. 24, Τὸν Κλεόμβροτον.] ΠΡΔ, ΑΤ, Τὸν υἱὸν Κλεόμβροτον· συνεβασίλευε γὰρ Κλεόμβροτος Ἀγησιλάῳ (ἀνωτέρ. § 24, σελ. 79) οὐκ αὐτοῦ ὢν υἱὸς, ἀλλ' Ἀγησιπόλιδος. Ξενοφῶν (Ἑλληνικ. Ε, δ', 35) δέ φησιν οὐκ αὐτὸν ἀφ' ἑαυτοῦ ταῦτα πρᾶξαι τὸν Ἀγησίλαον, ἀλλὰ δεηθέντων Λακεδαιμονίων, διότι φρονιμώτερον ἡγήσεσθαι τοῦ Κλεομβρότου τὸν Ἀγησίλαον ἐνόμισαν. — Στ. 28, Ἡ καλὰ διδασκάλια κ. τ. λ.] Ἐμνημόνευσε τούτου καὶ ἐν τῷ Λυκούργου βίῳ (§ 13. Πλουτάρχ. Μέρ. Α, σελ. 85).

ΣΕΛΙΔ 82, στ. 8, Φθείρεσθαι δεῦρο κἀκεῖσε.] Ἐξ ΕΔ διέγραψα τὴν μετὰ τὸ, Φθείρεσθαι, στιγμήν. Ἔστι γὰρ, Δεῦρο κἀκεῖσε μετὰ φθορᾶς περιέρχεσθαι. Ὁμοίως εἴρηκε καὶ ἀνωτέρω (Σερτωρ. § 25, σελ. 25), Δεῦρο φθαρέντας, καὶ (Εὐμέν. § 14, σελ. 44), Φθειρομένοι πρὸς τοὺς διδόντας. — Στ. 14, Πρῶτον,] Ἐκ ΔΓ, ΑΤ, Πρότερον. Ἄμεινον δ' ἂν γράφοις, Πρώτους, ὡς φέρεται ἐν τοῖς Ἀποφθέγμασιν.—Στ. 15, Ἐφεξῆς.] Ἐκ ΔΓ (συνᾳδούσης τῇ ἐν τοῖς Ἀποφθέγμασιν), ΑΤ, Ἑξῆς. — Στ. 24, Γεγονέναι.] ΔΓ, Γενέσθαι.—Στ. 27, Λειποψυχία.] ΔΓ, Λειποθυμία.

ΣΕΛΙΔ. 83, στ. 3, Τεγύρας.] Ἐκ ΔΓ, ΑΤ, Λεῦκτρα. Οὔπω γὰρ τηνικαῦτα συνέβη τὸ περὶ Λεῦκτρα πταῖσμα, ὡς ἐσημειώσαντο καὶ οἱ ΠΡ. Ἔπιθι καὶ τὰ ἐλλαχοῦ (Πλουτάρχ. Μέρ. Β, σελ. 177-188) περὶ τῆς ἐν Τεγύραις μάχης εἰρημένα Πλουτάρχῳ. — Στ. 11, Ὑπὲρ τῆς Ἑλλάδος ὁμοῦ κοινόν.] ΔΓ, Ὑπὲρ τῆς Ἑλλάδος ὁμοῦ κοινὸν καὶ πρὸς τὴν Ἑλλάδα. — Στ. 20, Τὴν Λακωνικήν.] ΔΓ, Τοὺς Ἕλληνας. — Στ. 22, Ἀφίησιν.] ΔΓ, Ἀφιᾶσιν. — Στ. 28, Ποιοῦντας. Ἔργον γὰρ ἦν.] Εἰκασέ τις τῶν ΠΡ γραπτέον εἶναι, Ποιοῦν-

τας ἔργον. Οὐ γὰρ ἦν. — Στ. 29, Ἐκκαθᾶραι.] ΔΓ. Ἐκκαθῆναι (ἐξ ἀμείνονος δηλονότι τῆς Ἐκκαθῆραι),—Ἀμφιλογίας.] ΔΓ, Ἀμφιβολίας —Ἔτυχε δὲ κατ'.] ΔΓ, Ἔτυχε δὲ καὶ κατ'.

ΣΕΛΙΔ. 84, στ. 10, Γενομένων.] ΔΓ, Γεγονότων. — Στ. 24, Ὁ μὲν γὰρ Ξενοφῶν φησι κ. τ. λ.] Ἐν ἀρχῇ τοῦ Συμποσίου, οὑτωσὶ φράσας, « Ἀλλ' » ἔμοιγε δοκεῖ τῶν καλῶν κἀγαθῶν ἔργα οὐ μόνον τὰ μετὰ σπουδῆς πραττόμε- » να, ἀξιομνημόνευτα εἶναι, ἀλλὰ καὶ τὰ ἐν ταῖς παιδιαῖς ». —Στ. 29, Γυμνοπαιδίαι.] Γυμνοπαιδιαὶ ὀξυτόνως γράφουσιν οἱ ΠΡ, παρὰ τὸ Γυμνὸς καὶ Παιδιά. Πολλαχοῦ δ' ἀλλαχοῦ (Τιμ. Πλατωνικ. λέξ. σελ. 73, ἐκδ. Ρύγκεν) Γυμνοπαιδίαι, βαρυτόνως φέρεται. Ἦν δὲ ἡ Γυμνοπαιδία, ἢ Γυμνοπαιδιά, ἑορτὴ Λακεδαιμονίων, ἐν ᾗ παῖδες ὀρχούμενοι γυμνοί, ᾖδον τῷ Ἀπόλλωνι παιᾶνας εἰς τοὺς περὶ Θυρέαν πεσόντας. Ἐξῆν δὲ καὶ τοῖς ἀνδρᾶσι συνορχεῖσθαι μετὰ τῶν παίδων, ὥς φησιν Ἀθήναιος (ΙΕ, σελ. 678) « Χοροὶ δ' εἰσὶ [αἱ γυ- » μνοπαιδιαὶ] τὸ μὲν εὐπροσώπων παίδων, τὸ δ' ἐξ ἀρίστων ἀνδρῶν, γυμνῶν » ὀρχουμένων, καὶ ᾀδόντων Θαλήτου καὶ Ἀλκμᾶνος ᾄσματα, καὶ τοὺς Διονυ- » σοδότου τοῦ Λάκωνος παιᾶνας ».

ΣΕΛΙΔ. 85, στ. 9, Λιπαροὶ τὰ πρόσωπα.] ΔΓ, Λιπαροὶ τά τε σώματα καὶ τὰ πρόσωπα. —Στ. 25, Τὸν χωλόν.] Ἐξ ΗΔ ἡ προσθήκη τοῦ ἄρθρου. — Στ. 27, Καὶ ἀρετήν.) ΔΓ, Καὶ τὴν ἀρετήν. —Στ. 30, Τρέσαντας.] Ἔπιθι τὰ ἀλλαχοῦ (Πλουτάρχ. Μέρ. Γ, σελ. 433) σημειωθέντα περὶ τῆς λέξεως.

ΣΕΛΙΔ. 86, στ. 1, Ἀτιμίας.] ΔΓ, Αἰτίας. —Στ. 4, Λαβεῖν.] Προσυπάκουε τό, Παρὰ τῶν τρεσάντων. « Αἰσχρὸν γὰρ ἦν δειλῷ σύσκηνον, ἢ συγ- » γυμναστήν, ἢ φίλον γενέσθαι » ὥς φησι Νικόλαος ὁ Δαμασκηνὸς (Προδρ. Ἑλλην. Βιβλιοθ. σελ. 278). —Στ. 5, Αὐχμηροί.] Ξηροί, λουτροῦ καὶ ἀλείμματος ἀπεσχημένοι, ἀπεναντίως τοῖς ἀνωτέρω (σελ. 85), ὀνομασθεῖσι Λιπαροῖς, τουτέστι τοῖς λελουμένοις καὶ ἀληλιμμένοις. Καὶ τοῦτο μὲν ἦν χαρᾶς ἐπ' εὐτυχίαις, ἐκεῖνο δὲ σκυθρωπότητος ἐπὶ συμφοραῖς σημεῖον, ἔσθ' ὅτε δὲ καὶ τῶν ἀρετὴν ὑποκρινομένων, ἢ τῶν κυνιζόντων, πρόσχημα, ᾗ δῆλον καὶ ἐκ τοῦ, « Ἀφανίζουσι γὰρ τὰ πρόσωπα αὐτῶν, ὅπως φανῶσι τοῖς ἀνθρώποις νηστεύον- » τες . . . σὺ δὲ νηστεύων ἄλειψαί σου τὴν κεφαλὴν ἐλαίῳ, καὶ τὸ πρόσωπόν » σου νίψαι (Ματθ. ς', 16) ». — Στ. 8, Δεομένη.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Δεομένους. —Στ. 12, Ἐκ δὲ τῆς σήμερον ἡμέρας κ. τ. λ.] Παράβαλλε τοῖς παρὰ τῷ Πολυαίνῳ (Στρατηγημ. Β, α, 13, σελ. 44) —Στ. 16, Τοῖς ἐναντίοις.] ΔΓ,

Τοῖς πολεμίοις. —Στ. 17, Πολίχνην.] Μικρὰν πόλιν, ὡς Κυλίχνην τὴν μικρὰν κύλικα. Ὠνομάζετο δὲ Εὔταία, ἡ Ἀρκαδικὴ Πολίχνη αὕτη, ὥς φησι Ξενοφῶν (Ἑλληνικ. ς', ἑ, 12).—Στ. 28, Ἄθικτον.] Ἀνέγγικτον λέγει τοῦτο ἡ συνήθεια, ἐπὶ παραπλησίας μεταφορᾶς χρωμένη τῇ λέξει.

ΣΕΛΙΔ. 87, στ. 1, Ἀλλὰ τὰ μέσα τῆς πόλεως.] ΔΓ, Ἀλλὰ τῆς πόλεως τὰ μέσα. Παρέλιπε δὲ, φασὶ, Πλούταρχος ἐνθάδε τὸ παρὰ τῷ Πολυαίνῳ (Στρατηγημ. Β, ά, 27, σελ. 47) στρατήγημα, ᾧ ἐχρήσατο Ἀγησίλαος, κωλῦσαι Βουλόμενος τοὺς ἑαυτοῦ, διαβῆναι σπεύδοντας τὸν Εὐρώταν. Ἦν δὲ τοιοῦτον· « Λογοποιοὺς καθῆκεν, ὡς ἄρα χρησμὸς εἴη τοὺς προτέρους τὸν ποταμὸν διαβάντας ἡττᾶσθαι ».—Στ. 2, Περιεσπειραμένος.] ΠΡΔ, ΑΤ, Περισπειράμενος. Δύναται δὲ, Περικυκλωσάμενος, περιβαλὼν, τὰ μέσα τῆς πόλεως τοῖς ὁπλίταις, ἢ τοὺς ὁπλίτας περιστήσας τοῖς μέσοις τῆς πόλεως· παρὰ τὸ, Περισπειράω.—Στ. 3, Ἐκαρτέρει.] Ἐνθάδε μὲν, ὡς καὶ παρὰ τοῖς ἀρχαίοις, τὸ Καρτερεῖν, ἐπὶ τοῦ Ὑπομένειν, ἐν δὲ τῇ παρ' ἡμῖν συνηθείᾳ, ἐπὶ τοῦ, Περιμένειν, ἢ Ἀναμένειν, ἀπ' αὐτῶν ἤδη τῶν Πτολεμαϊκῶν χρόνων εἰς τοῦτο καταστρεψάσης τῆς λέξεως. Ἴδε Μακκαβ. Β, ζ', 17.—Στ. 12, Καύχημα.] ΔΓ, Αὔχημα. Λέγεται γὰρ ἀμφότερα· ἀρχαιότερον δὲ τὸ δίχα τοῦ κ, ὡς καὶ τὸ ἄχρηστον Νέφας (παρὰ τὸ Νέφος) τοῦ Κνέφας, καὶ ὁ παρὰ τὸ Τύπτω Τύπος τοῦ Κτύπος.—Στ. 15, Ἀνδρίας.] Ἐκ ΔΓ, ΑΤ, Ἀνδρείας.—Στ. 22, Ἔνιοι μέντοι τόν.] ΔΓ, Τότε μέντοι τόν.—Στ. 23, Ὑπεκθέσθαι.] Ὑπεκπέμψαι. —Στ. 29, Διὰ τοῦ Εὐρώτα.] Ἐκ ΔΓ προσέθηκα τὰς τρεῖς ταύτας λέξεις.

ΣΕΛΙΔ. 88, στ. 11, Αὐτὸς δ' ἐν ἱματίῳ κ. τ. λ.] Τὰ αὐτὰ ἱστορεῖ καὶ Πολύαινος (Στρατηγημ. Β, ά, 14, σελ. 44).—Στ. 18, Περὶ πεντεκαίδεκα τινὰς συλλαβὼν, νυκτὸς ἀπέκτεινεν.] Πολύαινος δὲ, « Νύκτωρ δὲ τοὺς ἐξάρχους » τῆς στάσεως, ἄνδρας δώδεκα, ἄλλον ἄλλῃ ὑπεξάγων (ἴσ. γρ. Ὑπεξαγαγὼν), ἔπαυσε τὴν στάσιν ».—Στ. 25, Τεταγμένων.] ΔΓ, Συντεταγμένων. —Στ. 28, Ἐπιφοιτᾶν ταῖς στιβάσι.] Ἴδε Πολύαινον (Στρατηγημ. Β, ά, 15, σελ. 44).

ΣΕΛΙΔ. 89, στ. 8, Προσγενέσθαι] Ἐκ ΔΓ, ΑΤ, Προσπεριγενέσθαι.—Στ. 14, Πταίσματος.] Ἐκ ΔΓ, ΑΤ, Πτώματος.—Στ. 16, Παρά.] Ἐκ ΔΓ προσέθηκαν τὴν πρόθεσιν οἱ ΠΡ.—Στ. 19, Προσαγαγόντες.] Ἐκ ΔΓ, ΑΤ, Προσάγοντες. —Στ. 21, Αὐτὸς μὲν οὖν.] Ἐκ ΔΓ προσέθηκα τὸν πρῶτον τῶν

συνδέσμων.—Στ. 23, Παρὰ τοῦ τυράννου.] Διονυσίου τοῦ πρεσβυτέρου· περὶ οὗ καὶ Ξενοφῶν (Ἑλληνικ. Ζ. α', § 28-32).

ΣΕΛΙΔ. 90, στ. 1, Γενομένης.] Ἐκ ΔΓ, ΑΤ, Γινομένης.—Ἣν Θουκυδίδης γέγραφε] Ἐπιθι Θουκυδίδην (Ε, 71-75).—Στ. 4, Ἀγγελθείσης.] ΔΓ, Ἀπαγγελείσης.—Στ. 5, Πρῶτος ὁ πατήρ] Ἐκ ΔΓ, ΑΤ, Πρῶτός τε ὁ πατήρ.—Ἀπήντα.] ΔΓ, Ὑπήντα.—Στ. 8. Ἀπεωσμένης.] ΔΓ, Ἀπωσμένης.—Στ. 13, Συμπορευομένων.] ΔΓ, Συνοικιζομένων.—Στ. 22, Προσαπέβαλε.] ΔΓ, Ἀπέβαλε.—Στ. 29, Εὐθύνου.] ΔΓ, Εὐώνου.

ΣΕΛΙΔ. 91, στ. 3, Προσέβαλον] Ἐξ ΗΔ (συναδούσης τοῖς μεταφρασταῖς) ΑΤ, Προσέβαλλον.—Στ. 15, Ἰσάδαν.] ΔΓ, Ἰσίδαν.—Στ. 16, Πολεμίοις.] ΔΓ, Ἐναντίοις.—Καλόν] ΔΓ, Καινόν.

ΣΕΛΙΔ. 92, στ. 3, Οὕτω γὰρ ἐθαύμασαν καὶ ὑπερηγάπησαν.] ΔΓ, Οὕτω γὰρ ἠγάπησαν καὶ ὑπερεθαύμασαν.—Στ. 13, Ἀτενής.] ΔΓ, Ἀπηνής.—Στ. 15, Καταβάλλων] Ἐξ ΕΔ συναδούσης Α (pour faire tumber), ΑΤ, Ἀναβάλλων. ΔΓ, Διαβάλλων.—Στ. 16, Ἐνοχλεῖν τοῖς κατὰ πόλιν φίλοις.] Οὐ τρεπτέον τὴν δοτικὴν εἰς τὴν αἰτιατικὴν (Τοὺς κατὰ πόλιν φίλους;) ὡς παρῄνει τις τῶν ΠΡ. Ἐν πλείονι μὲν γὰρ χρήσει ἡ πρὸς αἰτιατικὴν σύνταξις τοῦ Ἐνοχλῶ (ἣν ἔσωσε καὶ ἡ συνήθεια)· φέρεται μέντοι καὶ παραδείγματα τῆς πρὸς δοτικὴν συντάξεως.—Στ. 17, Εἰς τοῦτο περιήκοντι τῷ καιρῷ.] Ἐλλειπτικῶς τῆς, ἐν, ὥσπερ ἂν εἰ ἔλεγε, Ἐν καιρῷ περιήκοντι εἰς τοῦτο. Οἱ δὲ ΠΡ τὸ, Τῷ καιρῷ, εἰς τὸ, Τῶν καιρῶν, ἔτρεψαν, τῇ μετοχῇ Περιήκοντι προσυπακούοντες τὸ Ἀγησιλάῳ.—Στ. 19, Τοσαύτην.] ΔΡ, Τοιαύτην.—Στ. 22, Τάχῳ.] Ταχὼς, ὀξυτόνως παρὰ Διοδώρῳ τῷ Σικελιώτῃ (ΙΕ, 90). Παρὰ δὲ τῷ Ἀριστοτέλει (Οἰκονομικ. Β, § 25). Ταὼς, ἢ Θαὼς ὀνομάζεται· παρὰ τῷ Πολυαίνῳ δὲ (Στρατηγημάτ. Γ, ια', 5), Θάμως.—Τῷ Αἰγυπτίῳ στρατηγῷ, ἐπιδοὺς ἑαυτόν.] Τὸ μὲν Αἰγυπτίων εἰς τὸ Αἰγυπτίῳ ἔτρεψα ἐξ ΕΔ· ἀλλ' οὔτε οἱ ΠΡ κατενόησαν, ἐγώ τε ὀψὲ νῦν συνῆκα, προσεπιδιορθωτέον εἶναι, Τῷ Αἰγυπτίῳ στρατηγὸν ἐπιδοὺς ἑαυτόν.—Στ. 24, Τὴν Οἰκουμένην.] ΔΓ, Τὴν πόλιν.—Στ. 25, Ἀποστάτῃ βασιλέως.] Τοῦ Περσῶν δηλονότι.—Στ. 27, Ξεναγοῦ.] Ἐκ ΔΓ, ΑΤ, Ξεναγωγοῦ. Ξεναγὸν γὰρ καὶ ἀνωτέρω (Εὐμέν. § 8, σελ. 38), εἴρηκε.—Καὶ γὰρ εἰ, ὑπέρ.] ΠΡΔ, ΑΤ. Εἰ γὰρ ὑπέρ. ΔΓ, Καὶ γὰρ ὑπέρ.—Στ. 30. Τῆς Ἑλλήνων.] ΔΓ. Τῆς τῶν Ἑλλήνων.

ΣΕΛΙΔ. 93, στ. 1, Ἂν εἶναι τὴν ὁρμήν.] Ἐξ ΗΔ καὶ ἡ προσθήκη τοῦ συνδέσμου καὶ ἡ τροπὴ τοῦ Ὥ ρ α ν εἰς τὸ Ὁ ρ μ ή ν. Τὸ μὲν γὰρ Ὥ ρ α ν, ὡς ἀδιανόητον ἐνθάδε καὶ Ἀμιότος παρῆκε. Τὸ δ' Ὁ ρ μ ὴ ν (ὃ καὶ ΠΡ τῶν τις ὑπετόπασε) καλῶς συνάπτεσθαι τῷ ἐχομένῳ Φ ι λ ο τ ι μ ί α ν, οἷόν τε καὶ ἐξ ἑτέρων διαβεβαιώσαθαι· αὐτίκα Πολύβιος (ς', 55) « Τοιαύτη τις . . . ἐγγενᾶται » τοῖς νέοις ὉΡΜῊ ΚΑῚ ΦΙΛΟΤΙΜΊΑ πρὸς τὰ καλὰ τῶν ἔργων ». Ὅτι δ' οὐ θαυμαστὴ οὐδ' αὐτὴ τῶν λέξεων ἡ σύγχυσις, ἀλλαχοῦ (Πλουτάρχ. Μέρ. Γ, σελ. 430), παραδεδήλωται.—Στ. 2, Δεῖν.] ΠΡΔ, ΑΤ, Δεῖ.—Στ. 6, Ἀθροίσας.] ΔΓ, Ἤθροισε.—Στ. 11, Ἐπὶ τὴν ναῦν.] Προσέθηκα τὸ ἀναγκαῖον ἄρθρον.—Θεραπεύοντες.] ΔΓ, ἡ διόρθωσις, Θ ε ρ α π ε ύ σ ο ν τ ε ς.—Στ. 15, Ἔν τινι πόᾳ.] Ἴσ. γρ. Ἐν τῇ πόᾳ.—Στ. 20, Προσκομισθέντων καὶ προσαχθέντων.] Ἢ τὰς τελευταίας δύο λέξεις περιαιρετέον, ἢ γραπτέον, Π ρ ο σ κ ο σ μ ι σ θ έ ν τ ω ν, καὶ π ρ ο σ α χ θ έ ν τ ω ν α ὐ τ ῷ. Τὴν δ' ὑπὸ τῶν Αἰγυπτίων γενομένην τῶν δώρων προσκομιδὴν ταύτην, Θασίοις ἀναγράφει ὁ τὰ εἰς Πλούταρχον ἀναφερόμενα Λ α κ ω ν ι κ ὰ ἀ π ο φ θ έ γ μ α τ α συγγράψας.—Στ. 22, Βιαζομένων.] ΔΓ, Προσβιαζομένων. —Στ. 23, Στεφανωτρίδι.] Κακῶς τοῖς πρὸ ἡμῶν γέγραπται, Σ τ ε φ α ν ω τ ρ ί δ ι, προπαροξυτόνως. Ὅτι δ' εἰς στεφάνους ἐχρῶντο τῇ Βίβλῳ, ἢ Βύβλῳ, δηλοῖ καὶ Ἀππιανὸς (Μιθριδατ. § 111) περὶ τοῦ Φαρνάκου λέγων « Βύβλον τις πλα» τεῖαν φέρων ἐξ ἱεροῦ ἐστεφάνωσεν αὐτὸν ἀντὶ διαδήματος ».—Στ' 24, Θεόφραστος.] Θεόπομπον ἱστορεῖσαι τοῦτό φησιν Ἀθήναιος (ιέ, σελ. 676), οὐ Θεόφραστον· καὶ ἴσως γραφικῶς ἡμάρτηται παρὰ Πλουτάρχῳ τοὔνομα.

ΣΕΛΙΔ. 94, στ. 5, Νεκτάναβις.] ΔΓ, Ν ε κ τ έ ν α β ι ς. Παρὰ Πλινίῳ (λς', 9 καὶ 13) καλεῖται, Ν έ κ τ α β ι ς· Παρὰ Κορνηλίῳ Νέπωτι (Ἀγησίλ. § 8), Ν ε κ τ ά ν ε β ι ς, παρὰ δὲ Διοδώρῳ τῷ Σικελιώτῃ (ΙΕ, 92) καὶ τῷ Πολυαίνῳ (Στρατηγημάτ. Β, ά, 22), Ν ε κ τ α ν ε β ώ ς.—Στ. 6, Τοῦ Τάχω.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Τῷ Τάχῳ.—Στ. 14, Σεαυτοῦ.] ΔΓ, Ἑαυτοῦ. —Στ. 15, Ἔχοι μοι.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ἔχοιμι.—Στ. 18, Κατηγορήσειν.] Ἐκ ΔΓ, ΑΤ, Κατηγορεῖν.—Στ. 23, Ἐπέστειλαν.] Ἐκ ΔΓ, ΑΤ. Ἀπέστειλαν.

ΣΕΛΙΔ. 95, στ· 1, Πλὴν ᾧ.] ΔΓ, Πλὴν ὅ.—Στ. 5, Ἀναγορευθεὶς.] ΔΓ, Ἀγορευθείς.—Ἀνθρώπων.] Προσέθηκα τὴν λέξιν ἐκ ΔΓ.—Στ. 10, Αἱ γὰρ . . . τοῖς πρὸς ἄμυναν ὑπονοοῦσι καὶ προσδοκῶσι τρεπομένοις.] Τεθόλωται ἡ συνάρτησις διὰ τὸ ἐπάλληλον τῶν μετοχῶν. Ὁ γὰρ νοῦς ἐστιν, ὥσπερ ἂν εἰ ἔλε-

γεν, Αἱ γὰρ ἀπάται ἐκείνοις ἐπάγουσι τὸ παράδοξον (τουτέστιν ἐκείνους ἀπατῶσιν) οἱ ὑπονοοῦντες καὶ προσδοκῶντες (ἢ Οἱ μεθ' ὑπονοίας καὶ προσδοκίας) πρὸς ἄμυναν τρέπονται.—Στ. 21, Δὲ καὶ πάλιν·] ΔΓ, Δὲ πάλιν —Στ. 22, Ἢ τελέως·] Ἐξ ΗΔ (συνᾳδούσης Ἀμιότῳ) ΑΤ, Καὶ τελέως.—Στ. 23, Συνειστῆλθεν.] ΔΓ, Συνῆλθεν.

ΣΕΛΙΔ. 96, στ. 1, Ἦγον.] Ἐκ ΔΓ (ἣ συνᾴδει καὶ Ἀμιότος), ΑΤ, Ἀνῆγον. Ἄγειν γὰρ τάφρον, ἄμεινον λέγειν, ἢ Ἀνάγειν, ὥσπερ καὶ Ἄξειν τεῖχος Θουκυδίδης (ς', 99) εἴρηκε.—Στ. 4, Ἀπαντῶντος αὐτῷ.] Ἐξ ΕΔ, ΑΤ, Ἀπαντῶντος αὐτῷ. Ἔστι δὲ, εἰς ἑαυτὸ συνιόντος τοῦ ὀρύγματος, καὶ συμψαύοντος σχεδὸν τοῖς ἄκροις.—Στ. 7, Διαφθεῖραι φοβούμενος.] Ἐκ ΔΓ, ΑΤ, Διαφθεῖραι μὴ βουλόμενος· περὶ δὲ τῆς τοῦ Φοβοῦμαι συντάξεως ἔπιθι τὰ ἀλλαχοῦ (Πλουτάρχ. Μέρ. Α, σελ. 367) σεσημειωμένα. —Στ. 10, Ἐμποδὼν ἐστι τοῦ πλήθους.] Κωλύει ἐκείνους χρῆσθαι τῷ ἑαυτῶν πλήθει, ἀπείργει πολλοὺς ὄντας διὰ μικροῦ τοῦ διαλείποντος καθ' ἡμῶν ἐνεχθῆναι.—Στ. 13, Ἐπισπόμενος.] Ἐξ ΕΔ (παρὰ τὸ Ἐπίσπομαι ταὐτὸ σημαῖνον τῷ Ἐφέπομαι), ΑΤ, Ἐπισπώμενος (παρὰ τὸ Ἐπισπάομαι).—Στ. 18, Τοὺς ἀντιστάντας.] ΔΓ, Τοὺς ἄνδρας. —Στ. 23, Παραῤῥέουσαν.] ΔΓ, Περιέχουσαν. Ἴσως γραπτέον Περιῤῥέουσαν.—Στ. 27, Οἱ δὲ φεύγοντες ἐσκεδάσθησαν·] Μεταποιεῖ τὸ ἄρθρον εἰς ἀντωνυμίαν διορθώσας τὴν στίξιν, Οἱ δὲ φεύγοντες ἐσκεδάσθησαν. Τὸ μὲν γὰρ ἄστικτον σημαίνει, Οἱ δὲ, φυγάδες ἐσκεδάσθησαν, προεγνωσμένους τινὰς φυγάδας λέγον, καίπερ νῦν πρῶτον περὶ φυγῆς τοῦ λόγου γινομένου· τὸ ἐστιγμένον δὲ, Οἱ δ' ἄλλοι, φεύγοντες ἐσκεδάσθησαν.

ΣΕΛΙΔ. 97, στ. 3, Προῦπεμψεν.] Τὸ ἐν τῇ συνηθείᾳ Ἐπροευόδωσεν (χυδ. Ἐπροβόδωσεν), παρὰ τὸ, Προευοδῶ, ἢ Προευοδίζω. Οἱ δὲ πρὸ ἡμῶν οὐ μακρῷ γεγονότες Πρόβοδον ὠνόμαζον καταχρηστικῶς καὶ τὸν ὁδηγὸν ἢ τὸν ὁδοῦ ἡγεμόνα, ὡς ἐστὶν ἀναλέξασθαι ἐκ τοῦ Δουκαγγιανοῦ Λεξικοῦ (λέξ. Πρόβοδος), ὅπου κακῶς σεσημείωται τὸ Πρόβοδος σημαίνειν καὶ τὸν παρὰ Ῥωμαίοις Provisor, ἢ Præbendarius. Σημείωσαι δὲ καὶ ὅτι οἱ προπέμποντες τοῖς προπεμπομένοις τελευταῖον ἐπιφωνοῦσι ῥῆμα ἀπαλλαττόμενοι τὸ, Κατευόδιον (ἐκχυδαϊσθὲν καὶ τοῦτο εἰς τὸ Καταβόδιον), καὶ πλειστάκις, κατὰ πλεονασμὸν, Καλὸν κατευόδιον! ᾧ πλεονασμῷ ἐχρήσατο καὶ ὁ κωμικὸς Ἀριστοφάνης (Βατράχ. 1528)

Πρῶτα μὲν ΕΥΟΔΙΑΝ ἈΓΑΘΗΝ ἀπιόντι ποιητῇ
Κὲς φάος ὀρνυμένῳ δότε, δαίμονες οἱ κατὰ γαῖαν.

Προσσημειωτέον καὶ τοῦτο, ὅτι καὶ εἰρωνικῶς χρώμεθα τῇ λέξει πρὸς τοὺς μετ' ὀργῆς ἀπαλλαττομένους, ἢ ἀπαλλάξεσθαι ἀπειλοῦντας, Κατευόδιον! ἢ Καλὸν κατευόδιον! ἐπιφωνοῦντες, παραπλησίως ὥσπερ ὁ παρὰ τῷ Σοφοκλεῖ (Τραχιν. 815) Ὕλλος περὶ τῆς μητρὸς πρὸς τὸν χορόν,

Ἐᾶτ' ἀφέρπειν. ΟΥ̓ΡΟΣ ὀφθαλμῶν ἐμῶν
Αὐτῇ γένοιτ' ἄπωθεν ἑρπούσῃ ΚΑΛΟΣ.

Ὁ γὰρ Καλὸς οὖρος οὐδέν ἐστιν ἕτερον ἢ τὸ παρ' ἡμῖν Κατευόδιον.—Στ. 7, Κομισθείς.] Λείπει ἔν τισι τῶν ἀντιγράφων.—Στ. 8, Αποθνήσκει.] ΔΓ, Θνήσκει.—Στ. 9, Τέσσαρα ἔτη.] ΔΓ, Τέσσαρας ἐνιαυτούς. — Στ. 14, Αὐτοῦ.] Ἐπὶ ξένης δηλαδὴ, ἐπιῤῥηματικῶς.

## ΠΟΜΠΗΙΟΣ.

ΣΕΛΙΔ. 99, στ. 4, Ἐχθροῦ πατρός μοι τοῦτο φίλτατον τέκνον.] Ἐκ μηκέτι σωζομένου δράματος Αἰσχύλου, ἐπιγραφομένου, Προμηθεὺς λυόμενος. Ἐχθρὸν δὲ πατέρα ὁ Προμηθεὺς ὀνομάζει τὸν Δία.—Στ. 16, Ὡς μηδενὸς ἀλυπότερον δεηθῆναι, μηδ' ἥδιον ὑπουργῆσαι δεομένῳ.] Ἐκ ΔΓ, οἱ ΠΡ ἔγραψαν Ἀλυπότερον, ΑΤ, Ἀλυπηρότερον. Ἑτέρα ΔΓ, Ηρότερον. Τῶν δὲ λεγομένων τὸν νοῦν ὁ Ἀμιότος καὶ ὁ Ἰταλὸς μεταφραστὴς οὕτως ἐξεδέξαντο, ὁ μὲν ἐκφράσας, De sorte qu'il n'y avoit homme ne qui demandast plus envis que lui, ne qui feist plus vouluntiers plaisir quand on l'en requeroit. ὁ δὲ, Non essendovi alcun altro che men di lui molesto fosse in pregare, nè che s'impiegasse con più di piacere in servizio di chi lo pregava, τουτέστιν, Ὥστε μηδένα ἕτερον ἀνεπαχθέστερον, ἢ Πομπήϊον, δεηθῆναί τινος, μηδὲ ἥδιον ἑτέρῳ δεομένῳ ὑπουργῆσαι. Ὁ δὲ Λατῖνος μεταφραστὴς ἡρμήνευσε, cum quidem nemo esset qui vel equiori animo peti abs se aliquid paterétur, vel libentius petitionibus satisfaceret, τουτέστιν, Ὥστε μηδένα Πομπηΐου εὐμενέστερον εἶναι τοῖς δεομένοις, ἢ προθυμότερον ἐκτελεῖν ὧν ἐδέοντο. Ὁ δὲ Ῥεΐσκιος τὸ πρῶτον μέρος τῆς φράσεως οὕτω δεῖν ἐκδέχεσθαι ὑπέλαβε, Ut nemo unquam minore cum tædio et molestia

quicquam quemquam rogarit, quam qui Pompejum rogarunt, siquae rogarent, τουτέστιν, Ὥστ' οὐδεὶς οὐδὲν οὐδένα ποτὲ ἀλυπότερον καὶ ἀνεπαχθέστερον ᾔτησε τῶν αἰτησάντων τι παρὰ Πομπηΐου. Ἡμῖν δὲ ὁ νοῦς οὗτος εἶναι δοκεῖ τῶν λεγομένων· Ὥστε μηδένα παρὰ μηδενὸς ἀλυπότερον, ἢ παρὰ Πομπηΐου, αἰτῆσαι καὶ δέξασθαι χάριν, μηδ' ἥδιον μηδένα μηδενὶ, ἢ Πομπηΐῳ, ὑπουργῆσαι δεομένῳ. Εἰ δὲ προαιρῇ τὴν ἑτέραν γραφὴν, Πρότερον, (τῆς ἐκδεδομένης, Λυπηρότερον, ἴσως οὐ χείρω) σαφέστερον ἔσται σοι τὸ λεγόμενον, οὑτωσί πως παραφράζοντι, Ὥστε μηδένα, χρῄζοντά τινος πράγματος, ἐπ' ἄλλον πρότερον ἐλθεῖν δεησόμενον, ἢ ἐπὶ Πομπήϊον, μηδὲ χρῄζοντι ἥδιον ἑτέρῳ, ἢ Πομπηΐῳ, ὑπουργῆσαι.—Στ. 22, Εὐθὺς ἡ ἀκμή.] ΔΓ( ἴσ· ἀμείνων), Εὐθὺς ἐν ἀκμῇ.—Στ. 23, Καὶ τῶν περὶ τὰ ὄμματα ῥυθμῶν ὑγρότης.] Καὶ τῆς τῶν ὀφθαλμῶν κινήσεως μαλακότης.

ΣΕΛΙΔ. 100, στ. 1, Οὐκ ἔφευγεν.] Ἐξ ΗΔ (ὡς ἐξέφρασαν ὅ, τε Α καὶ ὁ Ἰταλὸς μεταφραστὴς), ΑΤ, Οὐκ Ἔφυγεν.—Στ. 6, Πρὸς τὸν Πομπήϊον.] ΔΓ, Πρὸς Πομπήϊον·—Στ. 17, Τὸν νεών.] ΔΓ, Τὸν νεώ.—Στ. 20, Ἐχρῆτο.] Γραπτέον Ἐχρήσατο, συντελικῶς, ὡς ἐξέφρασε καὶ ὁ Α· οὕτως γὰρ σαφέστερόν πως γίνεται ὃ παραινίξασθαι μόνον ἐβουλήθη Πλούταρχος. Εἴη δ' ἂν τοῦτο, ὅτι ἀποτόμως, καὶ μεθ' ὕβρεως ἴσως, ἀπήλλαξεν ἑαυτοῦ τὴν ἐρωμένην. Καλὸν μὲν γὰρ, καὶ πρὸς ἀνδρός ἐστι νοῦν ἔχοντος, τὸ ἀπαλλάττεσθαι τῶν αἰσχρῶν· τὸ δ' ἀπαλλαττόμενον ὑβρίζειν οἷς τέως συνέπραττε τὰ αἰσχρὰ, τῆς ἐσχάτης ἐστὶν ἀδικίας.—Στ. 24, Διέφυγε.] Ἐξ ΗΔ (συνᾳδούσης τοῖς μεταφρασταῖς) ΑΤ, Διέφευγε.—Στ· 27, Ἓν ἀπομνημόνευμα.] ΔΓ, Καὶ ἀπομνημόνευμα. Προειλόμην διαγράψαι ἐξ ΕΔ τὸ, Ἕν.

ΣΕΛΙΔ. 101, στ. 1, Λουκούλλῳ ] ΔΓ, Λευκόλλῳ. Λεύκολλον καὶ Διόδωρος ὁ Σικελιώτης ὀνομάζει, Λεύκουλλον δὲ ὁ Στράβων· πολὺ γὰρ τὸ ἄστατον καὶ ἀνώμαλον παρὰ τοῖς Ἕλλησιν ἐν τοῖς ξενικοῖς ὀνόμασι. Ἀμείνων δὲ ἡ ἐκδεδομένη τοῦ χωρίου γραφὴ, Λούκουλλος, ᾗ κέχρηται καὶ Ἀππιανὸς, καὶ Δίων ὁ Κάσσιος.—Στ. 8, Ἀποκτενεῖν.] ΔΓ, Ἀποκτείνειν·—Στ. 21, Ἐπὶ στόμα.] Τὸ ἐν τῇ συνηθείᾳ εἰς ἐπίῤῥημα μεταπεποιημένον, Ἐπίστομα, ἢ Πίστομα (Πρόδρ. Ἑλληνικ. Βιβλιοθ. σελ. 300). Καὶ σημείωσαι ὅτι ἡ τοιαύτη ἀφαίρεσις τοῦ ἀρχικοῦ τῆς προθέσεως στοιχείου εὐ-

ρηται καὶ ἐν τῷ Ἡσυχίου Λεξικῷ· Π ι τ ί μ ι α γὰρ παρ' ἐκείνῳ γράφεται ἐν τῷ Π ςοιχείῳ, ἀντὶ τοῦ Ἐ π ι τ ί μ ι α, καὶ Π ί χ ε ι ρ ο ν ἀντὶ τοῦ Ἐ π ί χ ε ι ρ ο ν, εἴτε τῶν ἀρχαίων καὶ μάλιςα τῶν Κωμικῶν, τινὸς καινοτομήσαντος τὴν γραφὴν, εἴτε (ὃ καὶ μᾶλλον εἰκὸς) τοῦ Λεξικογράφου ἐκ συναληλιμμένων γραφῶν (τ ά π ι τ ί μ ι α καὶ τ ά π ί χ ε ι ρ α) πλάσαντος τὰς λέξεις. Τοιοῦτόν τι ἔοικεν εἶναι παρὰ τῷ αὐτῷ Λεξικογράφῳ, καὶ τὸ μήπω τοῖς κριτικοῖς ἑρμηνευθὲν «Πισάκιον, περιστόμιον», παρὰ τὸ, Ἐ π ι σ ά κ κ ι ο ν, δηλονότι.—Στ. 27, Ἕνα τῶν ἀπελευθέρων ὁ Πομπήϊος νενοσφισμένον Ἀλέξανδρον.] Ἐκ ΔΓ,ΑΤ, Ἕνα τῶν ἀπελευθέρων νενοσφισμένον ὁ Πομπήϊος Ἀλέξανδρον.—Στ. 29, Θηρευτικά.] ΔΓ, Θηρατικά.—Ἀσκλῳ. ] Ἴδ. Πλουτάρχ. Μέρ. Γ, σελ. 347.

ΣΕΛΙΔ. 102, στ. 4, Εὐσταθής.] ΔΓ. Ἀπαθής.—Στ. 13, Ταλασίῳ·) Οὖ καὶ ἀλλαχοῦ Πλούταρχος (Μέρ. Α, σελ. 45, Ῥωμύλ. § 15), ἐμνημόνευσε.—Στ. 16, Αἰγελάται.] ΔΓ, Ἀγελάται: Ἀπελάται. —Στ. 23, Γίνεσθαι.] Ἐξ ΗΔ, ΑΤ, Γ ε ν έ σ θ α ι.—Στ. 24, Ὀλίγαις οὖν.] ΔΓ, Ὀλίγαις δ' οὖν.—Στ. 26, Ἐπεὶ δὲ πρὸς... οὐκ ὄντος δ' ἐμφανοῦς κ. τ. λ.] Ἢ τὸ, Ἐ π ε ὶ δ έ, φασὶν ἐκληπτέον ἀντὶ τοῦ, Ἔ π ε ι τ α δ έ, ἢ διαγραπτέον τὸν δεύτερον σύνδεσμον, Δὲ, ἵν' ἡ τὸ ἐχόμενον, Ο ὐ κ ὄ ν τ ο ς ἐ μ φ α ν ο ῦ ς, ἀπόδοσις τῆς προτάσεως.

ΣΕΛΙΔ. 103, στ. 1, Ὁ δὲ, φεύγων καὶ καταλαμβανόμενος κ. τ. λ.] Ἀππιανὸς (Ῥωμαϊκ. ἐμφυλ. Α, 78) καὶ Τίτος Λίβιος (Ἐπιτομ. 83) ὑπὸ τῶν αὐτοῦ στρατιωτῶν ἐν αὐτῷ τῷ στρατοπέδῳ ἀνῃρῆσθαι τὸν Κίνναν φασί.—Στ. 3, Γόνασι.] ΔΓ, Γούνασι.—Στ. 13, Πικηνίδι.] ΔΓ, Πικινίδι. Ἴδε περὶ τῆς γραφῆς Πλουτάρχ. Μέρ. Β, σελ. 431. Ὀρθωτέρα γὰρ ἡ διὰ τοῦ η, ἐπεὶ Picenum ὠνομάζετο τοῖς Ῥωμαίοις. Στράβων δὲ Π ι κ ε ν τ ί ν η ν καὶ Π ι κ η ν ὴ ν καλεῖ. Ἔστι δὲ μοῖρα τῆς νῦν καλουμένης τῇ Ἰταλῶν φωνῇ Marca d'Ancona.—Στ, 16, Ἀπελείποντας.] Ἐξ ΗΔ, ΑΤ, Ἀ π ο λ ι π ό ν τ α ς.—Στ. 27, Αὐτὸς ἑαυτῷ δοὺς τὸ ἄρχειν.] Ἐξ ΕΔ, ΑΤ, Αὐτὸς ἑαυτὸν δοὺς τῷ ἄρχειν.—Στ. 28, Αὐξίμῳ.] Αὔξιμον Auximum ὀνομάζει καὶ ὁ Καῖσαρ (Ἐμφυλ. πολέμ. Α, 12) τὴν πόλιν ταύτην· Στράβων δὲ (σελ. 240 Αὔξουμον. Ἔστιν ἡ νῦν τοῖς Ἰταλοῖς καλουμένη Osimo.—Στ. 29, Αὐτῶν.] Τῶν Αὐξιμιτῶν, ὑπονοουμένου δηλονότι τοῦ ἐπιθέτου ἀπὸ τοῦ προηγησαμένου κυρίου ὀνόματος Α ὐ ξ ί μ ῳ, κατὰ τὸ «ΣΑΜΟΝ τὸ μὲν ἐξ ἀρχῆς... ἐβασίλευσεν ΑΥΤΩΝ Ἀγκαῖος «(Προδρ. Ἑλλ. βιβλιοθ. σελ. 211)», περὶ ἧς συντάξεως καὶ ἀλλαχοῦ (Ἰσοκράτ. Μέρ. Β, σελ. 245) ἀποχρώντως εἴρηται.

ΣΕΛΙΔ. 104, στ. 1, Κατέλεγε.] ΔΓ, Καταλέγει.—Στ. 4, Ἑαυτούς.] ΔΓ, Αὐτούς.—Στ. 12, Κοίλιος.] ΔΓ, Κοίλιος.—Στ. 17, Ἀντεξίππευσαν.] Ἐκ ΔΓ, ΑΤ, Ἀντεξίππασαν.—Στ. 18, Αὐτῶν.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Αὐτόν,—Στ. 24, Ἐν ἐμβολαῖς ὑσσῶν γενέσθαι.] Ἐν τοσούτῳ διαστήματι ἀπ' ἀλλήλων γενέσθαι, ὥστε τοὺς βαλομένους ὑσσοὺς ἐφικνεῖσθαι καθ' ὧν ἐβάλλοντο.—Στ. 26, Ἱππέων συχνὰς ἴλας ἐφέντος.] Ἐξ ΕΔ ἔγραψα Ἐ φ έ ν τ ο ς, ΑΤ, Ἀ φ έ ν τ ο ς· οὕτω γὰρ καὶ ἀλλαχοῦ (Ἀριστείδ. § 14, Μέρ. Β, σελ. 254) Πλούταρχος, «Τὴν » ἵππον ἀθρόαν αὐτοῖς ἐφεὶς » εἶπεν.

ΣΕΛΙΔ, 105. στ. 8, Στρατιάν.] ΔΓ, Στρατείαν: Δύναμιν· ὧν ἡ μὲν πρώτη γραφικόν ἐστιν ἁμάρτημα· ἡ ἑτέρα δὲ, ἐπεξήγησις.—Εὐανδρίᾳ.] ΔΓ, Εὐανδρίαν.] — Στ. 9, Ἱλαράν.] Περιχαρῆ τῇ ὄψει, ὥσπερ ἐξηγεῖται Ἡσύχιος. Ἔστι δὲ ταὐτὸν τῷ Ἵ λ ε ω ν, ὡς Ἀθήναιος (σελ. 363) φησί, τοῦτο παρατιθέμενος Ἐφίππου τοῦ κωμικοῦ τὸ χωρίον,

Ἐποίησέ θ' ἹΛΑΡΟΝ, εὐθέως τ' ἀφεῖλε πᾶν
Αὐτοῦ τὸ λυποῦν, κἀπέδειξεν ἽΛΕΩΝ.

—Στ. 18, Οὐ μὴν ἐκουφίσθη.] Οὐκ ἐμετεωρίσθη τὴν διάνοιαν· κατὰ τὸ, Κ ο υ φ ο ν ό ω ν ἐ ρ ώ τ ω ν, περὶ οὗ ἔπιθι τὰ ἀλλαχοῦ (Ἡλιοδώρ. Β, σελ. 153) σεσημειωμένα,—Στ. 24, Καθ' αὑτόν,] ΔΓ, Καθ' ἑαυτόν.

ΣΕΛΙΔ. 106, στ. 3, Πλήθει δέ.] Ἐξ ΗΔ, ΑΤ, Π λ ή θ ε ι τ ε.—Στ. 4, Ἀγώνων καταχεχωσμένας.] Ἐκ ΔΓ, ΑΤ, Ἀ γ ώ ν ω ν κ α ὶ π ο λ έ μ ω ν κ α τ α κ ε χ ω σ μ έ ν α ς.—Τὸ δὲ Κ α τ α κ ε χ ω σ μ έ ν α ς δύναται τὸ, Ἠ φ α ν ι σ μ έ ν α ς (Γαλλ. éclipsées)· παρὰ τὸ Κ α τ α χ ό ω, οὗ παράγωγον ἕτερον ῥῆμα ταὐτὸ σημαῖνον, τὸ Κ α τ α χ ω ν ν ύ ω ἢ Κ α τ α χ ώ ν ν υ μ ι. Τούτων ἡ παρ' ἡμῖν συνήθεια, τῷ μὲν Κ α τ α χ ό ω, τρέψασα εἰς τὸ Κ α τ α χ ό ν ω, ἐπὶ τοῦ Κ α τ α κ ρ ύ π τ ω κέχρηται, τῷ δὲ Κ α τ α χ ω ν ν ύ ω, εἰς τὸ μήπω καταχωρισθὲν ἐν τοῖς Λεξικοῖς Κ α τ α χ ω ν ν υ ά ζ ω μεταποιήσασα, τὴν τοῦ Ἀφανίζω σημασίαν προσῆψε. Δέδια.] Ἐκ ΔΓ, ΑΤ, Ἐδεδίειν. Ἄμεινον δ' ἂν ἦν ἐνθάδε τὸ Δ έ δ ο ι κ α.—Στ. 16, Πρόγονον.] Τὸν ὀξυτόνως παρ' ἡμῖν νῦν καλούμενον Π ρ ο γ ο ν ό ν, ἐπὶ τῶν ἀρσένων· ἐπὶ γὰρ τῶν θηλειῶν οὐκ ἔτι τούτῳ χρώμεθα, ἀλλὰ τῷ Π ρ ο γ ο ν ή. Φαμὲν δὲ καὶ οὐδετέρως Π ρ ο γ ό ν ι ο ν, προσυπακουομένου τοῦ Π α ι δ ί ο ν.—Στ. 17, Ἤδη καὶ κύουσαν τότε.] ΔΓ, Ἤδη τότε καὶ κύουσαν.—Στ. 18, τὰ τοῦ γάμου.] Ἐκ ΔΓ, προσέθηκαν τὸ πρῶτον τῶν ἄρθρων οἱ ΠΡ.—Τοῖς Σύλλα καιροῖς.] Ἐπὶ τοῦ συνήθους ἐξεδέξαντο οἱ μετα-

φρασται τὸ Καιροῖς· ἄμεινον δ' ἐκλαμβάνειν ἐπὶ τοῦ, Συμφέρουσιν (Γαλλ. intérêts). Σημαίνει γὰρ καὶ τοῦτο τὸ πληθυντικὸν Καιροί.—Στ. 19, Τῷ Πομπηΐου βίῳ.] ΔΓ, Τοῖς Πομπηΐου τρόποις,—Στ. 23, Φρονεῖν.] Ἐκ ΔΓ, ΑΤ, Τηρεῖν.

ΣΕΛΙΔ. 107, στ. 2, Ἐπ' ἐκεῖνα.] ΠΡΔ, ΑΤ, Ἐπέκεινα.—Στ. 3, Ἀποδράντες.] ΔΓ, Ἀποδράσαντες..—Στ. 8, Νόμῳ.] ΔΓ, Νομίμῳ—Στ. 13, Ῥωμαῖον.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ῥωμαίων.—Στ. 16, Φασὶν αὐτὸν... δεῖσθαι τόπον αὐτῷ καὶ χρόνον βραχὺν, ὡς ὑπὸ κοιλίας ἐνοχλουμένῳ, παρασχεῖν.] Φιλοψυχήσαντα δηλονότι, καὶ τὸ ζῆν παρεκτεῖναι βουλόμενον· ὅπερ εἰκότως, ὡς αἴσχιστον, ἐξονειδίζει τῷ Κάρβωνι Οὐαλέριος Μάξιμος (Θ, 13, § 2). Ἀνδρὶ γὰρ ἐν ἀνάγκῃ τοιαύτῃ γενομένῳ οὐδὲν ὑπόλοιπον ἔτι ἢ τὸ φροντίζειν ὅπως ἀποθανεῖται κάλλιστα·

Αἰσχρὸν γὰρ ἄνδρα τοῦ μακροῦ χρῄζειν
Βίου, κακοῖσιν ὅστις μηδὲν ἐξαλλάσσεται.
Τί γὰρ παρ' ἦμαρ ἡμέρα τέρπειν ἔχει
Προσθεῖσα, κἀνθεῖσα τοῦ γε κατθανεῖν;
Οὐκ ἂν πριαίμην οὐδενὸς λόγου βροτὸν,
Ὅστις κεναῖσιν ἐλπίσιν θερμαίνεται.
Ἀλλ' ἢ καλῶς ζῆν, ἢ καλῶς τεθνηκέναι
Τὸν εὐγενῆ χρή.——————

(Σοφοκλ. Αἴαντ. 473—480). Μνημονεύει τοῦ Κάρβωνος θανάτου καὶ Ἀππιανὸς (Ῥωμαϊκ. ἐμφυλ. Α, 96) καὶ Κικέρων (Ἐπιστολ. Θ, 21) ἐν τῇ πρὸς Παῖτον ἐπιστολῇ· παρ' οὗ καὶ μαθεῖν ἐστιν ὡς οὐδὲν ἧττον κακῶς ἐβίωσεν ἢ τὸ ζῆν ἐτελεύτησεν ὁ Κάρβων.—Στ. 18, Ὅππιος,] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ὄπιος.—Στ. 19, Χρήσασθαι] ΔΓ, Χρῆσθαι.—Στ. 21, Ἐπισπασάμενον.] Τῶν τις ΠΡ ὑπέλαβε γραπτέον ἴσως εἶναι, Ἀσπασάμενον.—Στ. 29, Τὴν δ' Ἱμεραίων πόλιν.] Ἀντὶ τῶν Ἱμεραίων Πλούταρχος ἀλλαχοῦ (Ἀποφθέγμ. Πομπ. § 3, καὶ Πολιτικ. παραγγελμ. § 19) ἐν Μαμερτίνοις τοῦτο γενέσθαι φησί.—Στ. 30, Σθένις.] Σθέννιος οὗτος ἐν τοῖς Ἀποφθέγμασι, Σθένων δὲ ἐν τοῖς Πολιτικοῖς παραγγέλμασιν, ὀνομάζεται τῷ Πλουτάρχῳ.

ΣΕΛΙΔ. 108, στ. 1, Τὸν αἴτιον] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Τὸ αἴτιον.—Στ. 6, Εἶτα καὶ τοὺς ἄλλους.] Τῶν ΠΡ διόρθωσις ἡ προσθήκη τοῦ συνδέσμου.—Στ.

ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ ΕΤΟΣ ΙΔΡΥΣΕΩΣ 1878

13, Ἰταλίαν.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Σικελίαν.—Συνέχει.] Συνῃρημένον ἐκ τοῦ Συνέχεε,, ὃ μὴ συννοήσας τις τῶν ΠΡ, εἰς αὐτὸ τοῦτο τὸ Συνέχεε τρέπειν παρῄνει.—Στ. 15, Μέμμιον.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Μόμμιον. ΔΓ, Μούμμιον.—Στ. 20, Ἑπτακισχίλιοι,] ΔΓ, Ὀκτακισχίλιοι.—Στ. 23, Ἔδοξε τοῖς ἄλλοις πᾶσι.] ΔΓ, Δόξα τοῖς ἄλλοις παρέστη πᾶσι.—Στ. 25, Ἀποτεθειμένων.] Ἐξ ΗΔ, ΑΤ, Ἀποτιθεμένων. Καθ' ὑπερσυντελικὸν δ' ἡρμήνευσαν καὶ οἱ μεταφρασταί.—Στ. 27, Θησαυρούς.] ΔΓ, Θησαυρόν.

ΣΕΛΙΔ. 109, στ. 4, Μαχέσασθαι.] Ἴσ. γρ. Μαχέσεσθαι,—Στ. 5, Ἑαυτοῦ.] ΔΓ, Αὐτοῦ.—Στ. 11, Βράδιον.] ΔΓ, Βραδύτερον.—Στ. 21, Ἰάρβαν,] Ἐκ ΔΓ, καὶ τοῦ Τίτου Λιβίου (Hiarba), ΑΤ, Ἰάρφαν.—Στ. 22, Ἰέμψα.] Ἐκ ΔΓ καὶ τοῦ Τίτου Λιβίου (Hiempsal), ΑΤ, Ἰάμψα.—Στ. 28, Ῥώμης καὶ τύχης.] ΔΓ, Ῥώμης καὶ τόλμης.—Στ. 30. Τοὺς πολεμίους συνεῖλε.] Ἴσως γραπτέον, Τοὺς πολέμους συνεῖλε. Τοῦ γὰρ, Συναιρεῖν πόλεμον, πολλὴ ἡ χρῆσις, παρά τε Πλουτάρχῳ καὶ ἄλλοις· οὐκ οἶδα δὲ εἰ καὶ τὸ, Συναιρεῖν πολεμίους, χρηστὸν, ὥσπερ τὸ, Αἱρεῖν πολεμίους.

ΣΕΛΙΔ. 110, στ. 4, Στρατιάν.] ΠΡΔ (οὕτω πάλαι διορθώσαντος καὶ τοῦ Πόρτου) ΑΤ, Στρατείαν. —Στ. 12, Δεδακρυμένος.] Ἔπιθι τὰ ἀλλαχοῦ (Πλουτάρχ. Μέρ. Β, σελ. 405) εἰρημένα περὶ τῆς μετοχῆς ταύτης.—Στ. 17, Οὕτως.] Ἐκ ΔΓ, ΑΤ, Οὕτω. Καὶ ἔοικεν ἀγνοίᾳ γραμματικῶν, ὡς ἐσημειώσαντο καὶ ἕτεροι, τοῦ ἐπιῤῥήματος τούτου τὸ τελικὸν στοιχεῖον, κατὰ τὸ ἐφελκυστικὸν καλούμενον ν, τηρεῖσθαι μὲν προηγούμενον λέξεως ἀπὸ φωνήεντος ἀρχομένης, ἀποβάλλεσθαι δὲ, ὅταν ἀπὸ συμφώνου ἄρχηται ἡ ἑπομένη λέξις. Εἰ γὰρ ἦν ἀληθῶς ἐφελκυστικὸν, ἐπὶ πάντων ἂν ἐχρῆν τῶν ὁμοιογενῶν ἐπιῤῥημάτων ἰσχύειν τὰ τοῦ κανόνος, καὶ οὐκ ἐπὶ μόνου τοῦ Οὕτως. Αὕτως γὰρ καὶ Ὡσαύτως, καὶ Σοφῶς, καὶ Ἀληθῶς κ, τ. λ. ἀεί ποτε γράφομεν καὶ λέγομεν, ἑπομένου τε καὶ μὴ, φωνήεντος. Παραπλησίως οὖν καὶ Οὕτως, γραπτέον· ᾗ γραφῇ, εἰ καὶ μὴ ἑκάστοτε, ἔν γε πολλοῖς ὁμολογεῖ καὶ τὰ ἀντίγραφα.—Στ, 28, Πρῶτον.] Οὐ πρὸς τὸ Ἀναφώνημα, ἀλλ' ἐπιῤῥηματικῶς ἀντὶ τοῦ Πρώτως, ὡς ἐσημειώσαντο καὶ οἱ ΠΡ.—Στ, 30, Πάντων.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Πάντως.

ΣΕΛΙΔ. 111, στ. 5, Ἐπικλήσεσι.] ΔΓ, Κλήσεσι. —Στ. 9, Αὐτῷ.] Τῷ δήμῳ. —Στ. 11, Κατειλεγμένους.] ΔΓ, Καταλελεγμένους. —Στ. 17, Οὔπω πάνυ.] ΔΓ, Οὔπω σφόδρα. —Στ. 21, Κολούσων.] Ἐξ ΕΔ, ΑΤ, Κωλύσων.

ΣΕΛΙΔ. 112, στ. 1, Ἐπεχείρησεν ἅρματι ἐλεφάντων τεττάρων.] ΔΓ (κομψοτέρα), Ἐπεχείρησεν ἐλεφάντων ἅρματι τεττάρων. — Στ. 3, Στενωτέρας.] ΔΓ, Στενοτέρας· διὰ τὴν ἄλογον δηλονότι τοῦ κανόνος ἐξαίρεσιν τοῦ λέγοντος, τὸ ληκτικὸν ο τῶν εἰς ος θετικῶν ἐπί τε τῆς συγκρίσεως καὶ τῆς ὑπερθέσεως, τῶν μὲν βραχυπαραλήκτων τρέπεσθαι εἰς ω οἷον Σοφός, Σοφώτερος, Σοφώτατος, τῶν δὲ μακροπαραλήκτων φυλάττεσθαι, οἷον Μωρός, Μωρότερος, Μωρότατος, πλὴν τοῦ Κενὸς καὶ Στενὸς (Ετυμολογικ. σελ. 275). — Στ. 6, Ἀφήσειν μᾶλλον τόν.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ Ἀφήσειν μᾶλλον φησὶ τόν. — Κολακεύσειν.] ΔΓ, Κολακεύειν. — Στ. 18, Πλὴν ὅτε.] ΔΓ, Πλὴν ὅτι. — Στ. 27, Παρεσκευάκας.] Ἐκ ΔΓ, ΑΤ, Παρασκευάσας. Ἑτέρα ΔΓ, Κατεσκευάκας. — Στ. 29, Δωρεάς.] Ἐκ ΔΓ, ΑΤ, Δωρεάν·

ΣΕΛΙΔ. 113, στ. 5, Ἐπεὶ δέ] Κἀνταῦθα ἀντὶ τοῦ, Ἔπειτα δέ, ἐκδεκτέον ὑπέλαβόν τινες τό, Ἐπεὶ δέ. Ἀλλ' οὐ χρεία τῆς τοιαύτης ἐκδοχῆς· ἡ γὰρ ἀπόδοσις τῆς προτάσεως λέληθεν ἐν τῷ κατωτέρω, Οὐ διεμέλησεν, ὁ Πομπήϊος δηλονότι· — Στ. 11, Ἦν μὲν ἀξιώματι σωφροσύνης καὶ δικαιοσύνης μέγιστος τῶν τότε Ῥωμαίων.] Ὁ νοῦς, Μέγιστος ἦν τῶν τότε Ῥωμαίων κατὰ τὴν ὑπόληψιν (τοῦτο γὰρ ἐνταῦθα δύναται τὸ Ἀξίωμα) τῆς σωφροσύνης καὶ τῆς δικαιοσύνης, ἢ Ἠξιοῦτο (ἤγουν ἐνομίζετο) σωφρονέστατος καὶ δικαιότατος εἶναι τῶν τότε Ῥωμαίων. Ἔστι γὰρ ἡ φράσις παραπλησία τῇ ἀλλαχοῦ (Μαρκελ. § θ', Πλουταρχ. Μέρ. Β, σελ. 209) «Πλεῖστον ἔχοντος ἀξίωμα πίστεως καὶ συνέσεως». Διὸ καὶ περιαιρετέα μοι ἔδοξε εἶναι ἡ μετὰ τὸν Μὲν σύνδεσμον παρ' ἅπασι φερομένη πρόθεσις, Ἐν. — Στ. 25, Μεταβαλλομένης.] Γραπτέον κατ' ἀόριστον, Μεταβαλομένης. — Ἐκείνης.] ΔΓ, Αὐτῆς.

ΣΕΛΙΔ. 114, στ. 2, Τούτου] Ὑπονοητέον, οὐ προσθετέον, Τοῦ Βρούτου — Στ. 8, Κατεφώρασε.] ΔΓ, Ἐφώρασε. — Στ. 10, Ὥσπερ ἐπ' ἔσχατον νόσημα τῶν ἐμφυλίων πολέμων εἰς τοῦτον κ. τ. λ. ] Ταύτην τὴν γραφὴν ἐξέφρασε καὶ ὁ Α, Pour ce que toutes les reliques des guerres civiles s' estoient retirées à l'entour de lui, ne plus ne moins qu'une dernière maladie, καὶ ὁ Ἰταλὸς μεταφραστής, Concorse essendo ad unirsi à lui, come ad un mal maggiore ed estremo, tutte l'altre guerre civili. Τὴν αὐτὴν καὶ ὁ Λατῖνος μεταφραστής, πλὴν τοῦ Πολέμων, ἀνθ' οὗ Πολεμίων εἴρηκε παραφράζων μᾶλλον ἢ μεταφράζων. Ἔν τισι δὲ τῶν ἀντιγράφων οὐθ' ἡ, Ἐπὶ, πρόθεσις φέρεται, καὶ ἀντὶ τοῦ Πολέμων, γράφεται Πολε-

μίων· ἣν γραφὴν προείλοντο οἱ ΠΡ, προσμεταποιήσαντες καὶ τὴν, Εἰς, εἰς τὴν, Ὡς, πρόθεσιν, κατὰ τοῦτον τὸν νοῦν, Σερτώριος ἐπηωρεῖτο Ῥωμαίοις, ὥσπερ ἔσχατον νόσημα, ἐπιῤῥωνύμενος ὑπὸ τῶν λοιπῶν ἐμφυλίων πολεμίων, οἱ πανταχόθεν εἰς ἐκεῖνον κατεπεφεύγεισαν.—Στ. 13, Πίω. ] Ἐξ ΕΔ (συναδούσης τῷ Α) οἱ ΠΡ, ΑΤ, Ἀππίῳ.—Στ. 18. Νομίμων.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Νόμιμον. ΔΓ, Μονίμων.—Στ. 20, Στρατιάν.] ΔΓ, Τὴν στρατείαν.—Στ. 25, Ἀνθύπατον.] Ἀνθ' ὑπάτου, τινὲς τῶν μεταφραςῶν ἡρμήνευσαν, αἰνιττόμενοι δηλονότι ἐκεῖνο Κικέρωνος (Ὑπὲρ τοῦ Μανιλ, νόμ. § 21) τὸ χωρίον, ἐν ᾧ αὐτὸ τοῦθ' ἱςορῶν ὁ Ῥωμαϊκὸς ῥήτωρ φησί, Cum esset nonnemo in senatu, qui diceret, Non oportere mitti hominem privatum pro consule; L. Philippus dixisse dicitur, Non se illum sua sententia pro consule, sed pro consulibus mittere.

ΣΕΛΙΔ. 115, στ. 11, Ἅμα τῇ δόξῃ.] ΔΓ, Ἅμα δόξῃ.—Στ. 22, Τῇ πράξει.] ΔΓ, τῇ δόξῃ.—Στ. 23, Περὶ δὲ Σούκρωνι ποταμῷ.] Ἴδε ἀνωτέρω (Σερτώρ. § 19, σελ, 19). — Στ. 29. Ἱππότῃ.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ἱππότης. — Στ. 30, Συμπεσόντων δ' εἰς τὸ αὐτό·] Ἐκ ΔΓ, ΑΤ, Συμπεσόντων δ' αὐτῶν εἰς τὸ αὐτό.— Καὶ γενομένων ἐν λαβαῖς.] Αὐτόχρημα ὥσπερ ἂν φαίη καὶ Γάλλος ἀνὴρ τῇ οἰκείᾳ φωνῇ, lorsqu'ils en vinrent aux prises ὁ δ' ἀρχαϊκώτερον ἐξέφρασε, comme ils vindrent à s'entrecharger. Ἐν δὲ τῇ παρ' ἡμῖν συνηθείᾳ σπάνιος μὲν ἡ κυρία τῆς Λαβῆς ἐκδοχή, πολλὴ δὲ ἡ μεταφορική, μήπω καταχωρισθεῖσα ἐν τοῖς Λεξικοῖς, χρῆσις, οἷον ἐν τῷ Δίδω λαβὴν (Γαλλ. donner prise), τουτέστιν, αἰτίαν ἢ ἀφορμήν, ὡς ἑρμηνεύει Ἡσύχιος. Ἐπὶ ταύτης δὲ τῆς σημασίας εὕρηται καὶ παρὰ τῷ Κωμικῷ (Ἀριστοφ. Νεφελ 551),

Οὗτοι δ', ὡς ἅπαξ ΠΑΡΕΔΩΚΑΝ ΛΑΒΗΝ Ὑπέρβολος,
Τοῦτον δείλαιον κολετρῶσ' ἀεὶ καὶ τὴν μητέρα.

ΣΕΛΙΔ. 116, Στ. 16. Τιμῇ.] ΔΓ, Τῇ τιμῇ.—Στ. 20, Ἐστρατοπεδεύοντο·] ΔΓ, Ἐστρατεύοντο. — Στ. 23, Περικόπτων.] Ἴδε τὰ ἀλλαχοῦ (Πλουτάρχ. Μέρ. Β, σελ 372) σημειωθέντα.

ΣΕΛΙΔ. 117, στ. 6, Ὁ κορυφαιότατος] Τῶν δολοφονησάντων. Ἴδε ἀνωτέρω (Σερτώρ. § 25-27, σελ. 25-27 ). — Στ. 29, Κατήπειξε.] ΔΓ, Ἤπειξε.

ΣΕΛΙΔ. 118, στ. 4, Ὡς Κράσσος.] ΔΓ, Ὅτι Κράσσος. — Στ. 5, Τοὺς μο-

νομάχους.] Τοὺς κατὰ Σπαρτάκου δηλονότι (ἴδ. Κρασσ. § 8-12). Συχνὴ δὲ ἐν τῇ Ῥωμαϊκῇ ἱστορίᾳ μνεία τῶν μονομάχων. Ἔτρεφον γὰρ αὐτοὺς πολλοὶ τῶν ἐν ἀξιώματι καὶ δυνάμει, εἰρήνης μὲν οὔσης, πρὸς ἀλλήλους διαξιφιζομένους ἐπὶ θέᾳ Ῥωμαίων· ἐν δὲ ταῖς στάσεσι, καὶ τοῖς ἔξω πολέμοις, καὶ καταλέγοντες αὐτοὺς ἐν τοῖς ὑπὲρ αὐτῶν μαχεσομένοις (Ἴδ. Κατ. Νεωτερ. § 27, Βρουτ. § 12, Ὄθ. § 10 καὶ 12).—Στ. 18, Ἀνιστάναι.] Ἐκ ΔΓ, ΑΤ, Ἀνιστᾷν.—Στ. 21, Τὴν ἀρχὴν... ἐκείνην.] Τὴν τῶν δημάρχων δηλονότι.—Στ. 27, Τῶν τότε πολιτευομένων.] Τῶν πώποτε πολιτευομένων. Καὶ ἴσως ἦν ἡ γνησία γραφή, ὡς ἔδοξε καὶ τοῖς ΠΡ, Τῶν πώποτε πολιτευσαμένων.

ΣΕΛΙΔ. 119, στ. 4, Οὐκ ἐλάττον' αὐτοῦ συνάρχοντος.] Ἐξ ΕΔ, ΑΤ, Οὐκ ἔλαττον αὐτοῦ συνάρχοντος, ὃ οἱ ΠΡ διορθοῦντες ἔτρεψαν εἰς τὸ, Οὐκ ἐλάττονα τοῦ συνάρχοντος. Ὁ νοῦς, Ἐπαγγελλόμενος χάριν ἕξειν οὐκ ἐλάττονα αὐτοῦ τοῦ Κράσσου, εἰ συνάρχοι Πομπηΐῳ Κράσσος.—Στ. 10, Στρατείαν.] ΔΓ, Στρατηγίαν.—Στ. 11, Στρατεύσωνται.] ΔΓ, Στρατεύσωσι.—Στ. 20, Ἄγων.] ΔΓ, Ἔχων.—Στ. 23, Πᾶσι,] Ἐξ ΕΔ, ΑΤ, Πᾶσα.

ΣΕΛΙΔ. 120, στ. 2, Γαΐος.] Ὀνάτιον τοῦτον ἀλλαχοῦ (Κρασσ. § 12, Μέρ. Γ, σελ. 310) ὠνόμασε Πλούταρχος.—Στ. 5, Φανῆναι.] Ἐξ ΕΔ, (συναδούσης τῷ Α), ΑΤ, Φάναι.—Στ. 9, Οὐδὲν οἶμαι ποιεῖν ἀγεννὲς, εἶπεν.] ΔΓ, Οὐδὲν, εἶπεν, οἶμαι ποιεῖν ἀγενές.—Στ. 15, Ἀπέλειπε.] ΔΓ, Ἀπέλιπε. —Προσῄει.] ΔΓ, Προσῄει.—Στ. 17, Ἥδιστος ὁμοῦ πολλοῖς καὶ ἀθρόοις ἐφαίνετο.] Ἄσμενος σὺν πολλοῖς καὶ ἀθρόοις ἐφαίνετο, ἔχαιρε τῷ μετὰ πολλῶν ἀκολουθούντων φαίνεσθαι ἢ, ὥσπερ ἐν ἄλλοις (κατωτέρ. § 65, σελ. 163), Καθ' ἡδονὴν ἦν αὐτῷ τὸ μετὰ πολλῶν καὶ ἀθρόων φαίνεσθαι.—Στ. 20, Ὁ γὰρ ἐν ἱματίῳ βίος.] Ἀπὸ τοῦ παρὰ Ῥωμαίοις ἔθους ἡ φράσις· καὶ δύναται ταὐτὸν τῷ, Ὁ ἐν τηβέννῳ βίος, τουτέστιν ὁ ἐν πόλει εἰρηνικὸς βίος, πρὸς ἀντιδιαστολὴν τοῦ ἐν σάγῳ βίου, τουτέστι τοῦ ἐν στρατοπέδῳ πολεμικοῦ βίου. Τόγα (toga) γὰρ παρ' ἐκείνοις ἡ τήβεννος, καὶ Τογάτος (togatus) ὁ τηβεννοφόρος· καὶ Σάγος (Sagum, Sagus, καὶ Saga) στρατιωτικὸν ἱμάτιον, καὶ Σαγάτος (Sagatus) ὁ στρατιώτης. Συνῆκε τοῦτο καὶ ὁ Ἰταλὸς μεταφραστής, ἄριστα ἑρμηνεύσας τὸν ἐν ἱματίῳ βίον διὰ τοῦ la vita togata, ὅπερ οἱ Ἕλληνες συγγραφεῖς διὰ τοῦ, Εἰρηνικὸς μεθερμηνεύειν εἰώθασι, ὥσπερ ἐσημειωσάμην ἐν ταῖς εἰς τὸν Στράβωνα Γαλατικαῖς σημειώσεσι (Τομ.

Α, σελ. 491 τῆς Γαλλικ. μεταφρ.).—Στ. 22, Ἀσυμμέτροις.] ΔΓ, Ἀσύμμετρος.—Αὐτοὶ μὲν γάρ.] Οἱ ἐν ὅπλοις, οἱ σαγοφόροι.—Στ. 23, Ἐνταῦθα.] Ἐν τῇ πόλει, καὶ τῆς πόλεως ἐν τῇ ἀγορᾷ. — Ἐκεῖ ] Ἐν τῷ στρατοπέδῳ. — Τοῖς δ' ἐκεῖ φερομένοις ἔλαττον.] Τοῖς ἀστικοῖς, ἢ τηβεννοφόροις, ὧν οὐδεὶς σχεδὸν λόγος παρὰ τοῖς στρατευομένοις.—Στ. 27, Τῷ δ' ἀπολεγομένῳ καὶ ὑποχωροῦντι.] Τῷ δὲ παραιτουμένῳ τὰ πρωτεῖα καὶ τοῖς ἀστοῖς αὐτῶν ὑποχωροῦντι. Συνῆψεν ἐνταῦθα τὸ Ὑποχωρεῖν τῷ Ἀπολέγεσθαι, ὥσπερ ἀλλαχοῦ (Λυκουρ. § κδ', Πλουταρχ. Μέρ. Α, σελ. 97) τὸ Παραχωρεῖν. — Τὴν ἐκεῖ τιμήν.] Τὴν ἐν τῷ στρατοπέδῳ, ἣν διὰ τῶν ὅπλων ἐκτήσατο τιμήν.

ΣΕΛΙΔ. 121, στ. 1, Παράδοξον.] Παράλογον δεῖν, γράφειν (ἴσως οὐκ ἀλόγως) τινὲς ὑπειλήφασι. — Στ. 2, Χρήσασα ταῖς βασιλικαῖς ὑπηρεσίαις ἑαυτήν.] Τοῖς αὐτῶν πλοίοις ὑπηρετήσαντες τῷ βασιλεῖ Μιθριδάτῃ. —Στ. 5, Ἐφείλκετο.] Ἐκ ΔΓ, ΑΤ, Ἀφείλκετο.—Στ. 8, Γένεσι.] ΔΓ, Γενέσει.—Στ. 9, Ἐνέβαινον.] Ἐκ ΔΓ, ΑΤ, Ἀνέβαινον. —Στ. 16, Στυλίσι.] ΔΓ, (ἀδιανόητος) Πιέλουσι. Ὁ μὲν Α διὰ τοῦ pouppes, ὅ ἐστι Πρύμναις, ἡρμήνευσε τὸ Στυλίσι, ὁ δ' Ἰταλὸς μεταφραστὴς διὰ τοῦ alberi, τουτέστιν, Ἱστοῖς. Καθ' Ἡσύχιον δὲ, «Στυλὶς, μέρος τι τῆς ἡμιολίας νεώς», μὴ φροντίσαντα τοῦ ἀκριβέστερον ἑρμηνεῦσαι. Ἡμιόλιαι δὲ ἐκαλοῦντο τὰ ληστρικὰ ἢ πειρατικὰ πλοῖα ὡς ἐξηγησάμην ἐν ταῖς εἰς τοὺς Θεοφράστου χαρακτῆρας Γαλατικαῖς σημειώσεσι (σελ. 303). Ἔοικε Στυλίδας λέγειν ἐνθάδε, ἃς ὁ Πολυδεύκης διὰ τοῦ η Στηλίδας ὀνομάζει, οὕτωσὶ ἑρμηνεύων, « Τὰ δὲ ἄκρα τῆς πρύμνης, ἄφλαστα καλεῖται· ὧν ἐντὸς ὀρθὸν ξύλον πέπηγεν, » ὃ καλοῦσι Στηλίδα· οὗ τὸ ἐκ μέσου κρεμάμενον ῥάκος, ταινία ὀνομά- » ζεται ». Εἴη οὖν ἂν ὀρθὸν ξύλον τοῦτο, τὸ τοῖς Γάλλοις καλούμενον arbre ἢ mât d' un pavillon, ἡ δὲ Ταινία, αὐτὸ τὸ pavillon, τὸ καὶ étendard λεγόμενον. — Πλάταις.] Κώπαις. — Στ. 25 Τὸν Ἰσθμοῖ.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Τὸ Ἰσθμοῖ,—Στ. 28, Λακινίῳ.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Λευκανίᾳ. Ἔστι δὲ ἄκρα τῆς Ἰταλικῆς παραλίας τῆς πρὸς τὸν Ἀδρίαν τὸ Λακίνιον, Gapo delle collonne, τανῦν ὑπὸ τῶν Ἰταλῶν καλούμενον, ἀπὸ τῶν ἔτι σωζομένων ἐν στήλαις καὶ κίοσιν ἀμυδρῶν λειψάνων τοῦ ναοῦ τῆς Ἥρας τῆς ἐπικληθείσης Λακινίας.

ΣΕΛΙΔ. 122, στ. 1, Πλεῖστα δὲ Ῥωμαίοις ἐνυβρίσαντες, ἔτι καὶ κατὰ τὰς ὁδοὺς αὐτῶν, ἀναβαίνοντες ἀπὸ θαλάσσης, ἐληΐζοντο κ. τ. λ.] Ἐξ ΕΔ ἡ προσθήκη τῆς Κατὰ προθέσεως. Οἱ δὲ ΠΡ παρῄνουν γράφειν,

Πλεῖστα δὲ Ῥωμαίοις ΕΝ ΤΗ͂ ΘΑΛΆΣΣΗ ἐνυβρίσαντες, ἔτι καὶ τὰς ὁδοὺς κ. τ. λ. ἤ, Πλεῖστα δὲ Ῥωμαίοις ἐνυβρίσαντες, ἔτι καὶ τὰς ὁδοὺς αὐτῶν, ἀναβαίνοντες ἀπὸ θαλάσσης, ἘΛΌΧΙΖΟΝ, ὥσπερ ἐξέφρασε καὶ ὁ Α, Mais oultre plusieurs insolences et injures qu' ilz feirent aux Romains sur la mer, ilz sortoient encore en terre, et alloient espier les chemins, etc.. Οὐδὲν πλέον, οἶμαι, ἧς προσέθηκα προθέσεως καινοτομητέον τὴν γραφήν· ἧς ὁ νοῦς, Πλεῖστα Ῥωμαίοις ἐνυβρίσαντες (ἐν τῇ θαλάσσῃ δηλαδή, ὃ καὶ μὴ προστιθέμενον ἐξ ἀνάγκης προσυπακούεται), καὶ κατὰ τοὺς ὁδοὺς αὐτῶν, ἐκβαίνοντες τῆς θαλάσσης, ἐληΐζοντο τοὺς ἐντυγχάνοντας, καὶ τὰς ἐγγὺς τῶν ὁδῶν κειμένας ἐπαύλεις ἐπόρθουν.—Στ. 3, Σεξτίλιον καὶ Βελλῖνον.] ΔΓ, Σεξτίλλιον καὶ Βελλῆνον.—Στ. 12. Καλτίοις) ΔΓ, Καλλικίοις: Καλικίοις: Καλκίοις. Ἐπιθι τὰ ἀλλαχοῦ (Πλουτάρχ. Μέρ. Β, Σελ. 401-402) σεσημειωμένα περὶ τῆς λέξεως.—Στ. 16, Ἀπιέναι]. ΠΡΔ, ΑΤ, Ἀπεῖναι.—Στ. 18, Τὴν καθ' ἡμᾶς θάλασσαν.] ΠΡΔ, ΑΤ. Τὴν κατὰ θάλασσαν λέγεται δὲ ἀντιδιεσταλμένως πρὸς τὸν Ὠκεανόν, Ἡ καθ' ἡμᾶς θάλασσα, ἣν ἄλλως Μεσόγειον καλεῖν νενόμισται.—Στ. 19, Ἐμπορεία] Παρὰ τὸ Ἐμπορεύομαι. ΔΓ, Ἐμπορία· παρὰ τὸ Ἔμπορος.—Στ. 20, Ῥωμαίους ἐπέστρεψε . . . ἐκπέμψαι] Τὴν μέσην λέξιν οὔτ' εἰς τὸ Ἐπέτρεψε, ὡς ἔγραψαν οἱ ΠΡ, οὔτ' εἰς τὸ, Ἐπέτριψε, ὡς ἕτερός τις παρῄνει, τρεπτέον. Ἔστι γὰρ ὥσπερ ἂν εἰ ἔλεγε, Ἀπὸ τῶν ἄλλων λογισμῶν εἰς τὸ ἐκπέμψαι ἐπέστρεψε. Εἰς φροντίδα τοῦ ἐκπέμψαι ἐνέβαλε, κατὰ τὸ ἀλλαχοῦ (Πλουτάρχ. Μέρ. Α, σελ. 234 μετὰ τῆς 480) εἰρημένον, « Ἐπέστρεψαν αὐτὸν ἀντεπιχειρεῖν τοῖς Ἕλλησι ».—Στ. 27, Τοῦτο δ' οὐ πάνυ . . . ἐξέφυγεν.] Τὸ ἑξῆς, Οὐ πάνυ δὲ πολλὰ χωρία τῆς ὑπὸ Ῥωμαίων οἰκουμένης ἐξέφυγε τοῦτο τὸ μέτρον, τουτέστιν, Οὐκ ἐκτὸς ἐγένετο τοῦ μέτρου τούτου τῶν τετρακοσίων σταδίων, ἃ λεύγαις Γαλατικαῖς ἑπτακαίδεκα σχεδὸν ἐξισοῦται.—Στ. 29, Περιελαμβάνοντο.] Εἰς τὸ ῥηθὲν μέτρον τὸ ἀπὸ θαλάσσης ἐνέπιπτον, ὡς ἐν τοῖς ἑξῆς (§ κθ', σελ. 126) ἐκφράσει.

ΣΕΛΙΔ. 123, στ. 2, Ταμιείων.] Ἐξ ΗΔ, ΑΤ, Ταμείων· παρὰ γὰρ τὸ Ταμιεύω.—Στ. 4, Στρατιᾶς.] ΠΡΔ, ΑΤ, Στρατείας.—Στ. 10, Ἑαυτῷ καὶ κτώμενος.] Ἄμεινον ἂν οὕτω συνετέτακτο, Καὶ ἑαυτῷ κτώμενος, ὡς ἔδοξε καί τινι τῶν ΠΡ, ἤ, Καὶ κτώμενος ἑαυτῷ.—Στ. 11, Καὶ τῶν μέν.] ΠΡΔ, ΑΤ, Καὶ τῶν τε. — Στ. 17, Τὸν τοιοῦτον.] Λείπει τὸ ἄρ-

θρον ἔν τισι τῶν Ἀντιγράφων. — Στ. 19, Σὲ αὐτόν.] Ἐξ ΗΔ, ΑΤ, Σεαυτὸν. — Στ. 20, Ῥωσκίου.] Ἴσως ὁ συστρατευσάμενος Κράσσῳ, οὗ ἀλλαχοῦ (Κράσσ. § 32, Μερ, Γ, σελ. 335) ἐμνημόνευσε Πλούταρχος. Ῥωσκίου γὰρ κἀκεῖ, ἐκ ΔΓ, καὶ οὐ Ῥουστίου, γραπτέον, ὅ με τότε παρέδραμε σημειώσασθαι. — Στ. 23, Ἀνακραγεῖν.] ΔΓ, Καὶ κραγεῖν (ἐξ ἀμείνονος δηλονότι τῆς, Κεκραγεῖν, — Στ. 24, Τυφωθῆναι.] ΠΡΔ, ΑΤ, Τυφλωθῆναι. Ἔστι δὲ τὸ Τυφοῦμαι, τὸ ἐν τῇ συνηθείᾳ Σκοτίζομαι, ἢ Ζαλίζομαι. « Τετύφωται, .. ἐμβεβρόντηται » φησὶν Ἡσύχιος, ὃν καὶ ἀλλαχοῦ (Πλουτάρχ. Μέρ, Α, σελ. 446) ἐπηγαγόμεθα μάρτυρα τὰς διαφόρους τοῦ Τυφοῦσθαι ἐκτιθέμενοι σημασίας. Ἄριστα ἐνθάδε ὁ Α ἡρμήνευσε τὸ Τυφωθῆναι διὰ τοῦ s' en esblouit. Ὅμοιον δὲ τὸ περὶ τοῦ κόρακος ἱστορούμενον ὅπερ ἀλλαχοῦ (Πλούταρχ. Μέρ. Β, Φλαμιν. § 10, σελ. 343) διηγήσατο, καὶ οὗ καὶ Οὐαλέριος Μάξιμος Δ, 8, § 5) ἐμνημόνευσε. — Στ. 25, Κενὸν πολὺ] Ἐκ ΔΓ, (μαρτυρουμένης ἄλλως καὶ ὑπὸ τοῦ ἐν παραλλήλῳ χωρίῳ, Μέρ· Β, σελ. 343 Κενεμβατοῦσιν), ΑΤ, Κλόνον πολύν.

ΣΕΛΙΔ. 124, στ. 1, Τὸν νόμον.] Ἐκ ΔΓ, προσέθηκαν τὸ ἄρθρον οἱ ΠΡ. — Στ. 9, Αἱ δὲ τιμαὶ τῶε ὠνίων εὐθὺς πεσοῦσαι.] Σημειοῦ τὸ ἔτι σωζόμενον ἐν τῇ συνηθείᾳ. Ἔπεσε γὰρ, καὶ Ἐξέπεσεν ἡ τιμὴ τινὸς πράγματος, φαμὲν, ὅταν εὐωνότερον τοῦ προτέρου γένηται· — Στ. 21, Ἡμέραις.] ΠΡΔ, ΑΤ, Ἡμέρας. — Στ. 22, Αὐτῷ.] Ἐκ ΔΓ, ΑΤ, Αὐτῷ.

ΣΕΛΙΔ. 125 στ. 17, Ἐκόλαζεν.) Ἐξ ΕΔ, ΑΤ, ἐνόμιζεν. — Στ. 24, Πέμψαντες ἱκετηρίας.) Χρηστότερον ἂν γράφοις ἑνικῶς, Ἱκετηρίαν, ὡς γράφεται καὶ ἐν τοῖς ἑξῆς (§ κθ', σέλ. 126,) — Στ. 25, Ἐντειχισάμενοι] Ὑπονοῶ γεγράφθαι τὸ πάλαι ἁπλῶς, Τειχισάμενοι-

ΣΕΛΙΔ. 126, στ. 2, Πολεμικοὺς καὶ πολλούς.] Ἐκ ΔΓ, ΑΤ, Πολεμικοὺς πολλούς· ἀνθ' οὗ οἱ ΠΡ γεγράφασιν ἐξ ΕΔ, Πολεμικοὺς τοὺς πολλούς. — Στ. 5, Βίων.] Ἐκ ΔΓ, ΑΤ, Βίου- Στ. 6, Καὶ θηρία.] Γραπτέον οἶμαι, Ὅπου καὶ θηρία, ἢ, Ἐπεὶ καὶ θηρία. Οὕτω γὰρ ἡρμήνευσαν καὶ οἱ μεταφρασταὶ, ὁ μὲν Ἰταλὸς mentre anche le fiere stesse, ὁ δὲ Γάλλος, attendu que les bestes mesmes. — Στ. 10, Ὑπέρημοι.] Ὀλίγους ἀριθμῷ ἔχουσαι τοὺς κατοικοῦντας. ὡς ἐξηγήσατο καὶ Πόρτος. — Στ. 11, Χώραν προσλαβοῦσαι.] Πρὸς ᾗ ἐκέκτηντο γῆν ἑτέραν λαβοῦσαι, τὴν θρέψουσαν τοὺς ἐπήλυδας. — Στ. 13, Ἔδωκε-] Ἐκ ΔΓ, ΑΤ, σολοίκου, Δέδωκε,

ΣΕΛΙΔ. 127, στ. 7, Μή τις κῦδος κ. τ. λ.] Ἐκ τῆς Χ ῥαψῳδίας τῆς Ἰλιάδος στιχ. 207. — Στ. 15, Μανίλιος.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Μάλλιος.— Στ. 20, Ἐφ' ἑνί.] ΔΓ, Ὑφ' ἑνί.—Στ. 21, Ἐφικνεῖσθαι.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ἀφικνεῖσθαι· — Στ. 27, Διάδοχον·] Ἐξ ΕΔ (οὐκ ἀναγκαίας, οἶμαι), ΑΤ, Διαδοχήν·

ΣΕΛΙΔ. 128, στ. 4, Καὶ τοῦ δημάρχου, μηδένα δὲ πείθων.] Ἐκ ΔΓ, ΑΤ, Καὶ τοῦ δήμου μηδένα πείθων. —Στ. 6, Ὅποι.] ΠΡΔ, ΑΤ, Ὅπου. —Στ. 7, Ὁ νόμος πάσαις, ὡς λέγεται, ταῖς φυλαῖς.] ΔΓ, Ὁ νόμος, ὡς λέγουσι, πάσαις ταῖς φυλαῖς.] —Στ. 16, Μετὰ τῆς γυναικός.] Ἐκ ΔΓ, προσέθηκα τὸ ἄρθρον. —Στ. 20, Ἀμέλει.] Τοῦτο τῶν γραμματικῶν οἱ μὲν ὡς ἐπίῤῥημα, οἱ δὲ, ὡς σύνδεσμον, ἡρμήνευσαν, καὶ οἱ μὲν δηλοῦντά τι, οἱ δὲ καὶ παρέλκοντα ἔσθ' ὅτε, καὶ, ὡς εἰώθασιν ἀποφαίνεσθαι ἐφ' ὧν ἀγνοοῦσι, παραπληρωματικόν. Αὐτίκα, παρὰ μὲν Ἡσυχίῳ, « Ἀμέλει, διὸ, ἁπλῶς, » οὕτως (γρ. Ἐξ ΕΔ, Ὄντως), οὖν, τοιγαροῦν », παρὰ δὲ τῷ Ἐτυμολόγῳ (σελ. 81) « Ἀμέλει, τοιγαροῦν, δηλαδὴ πάντως· ἐπίῤῥημα γάρ ἐστι συγκατάθε- » σιν δηλοῦν », ταὐτὰ σχεδὸν καὶ τοῦ Εὐσταθίου (Ὀδυσσ Α, σελ. 1407) ἀποφαινομένου, « Καὶ αὐτὸ [τὸ Ἀμέλει] γὰρ ὡς τὰ πολλὰ, καθάπερ ἐν » Ῥητορικῷ εὕρηται Λεξικῷ, ἀντὶ τοῦ Πάντως λαμβάνεται, συγκατάθεσιν » δηλοῦν» παρὰ δὲ τῷ Ἀττικιστῇ Μοίριδι, « Ἀμέλει σημαίνει τρία· Διὰ » τοῦτο, καὶ τὸ, Πάνυ, καὶ ἔστι καὶ περιττὸν ἐν ταῖς γραφαῖς, κόσμου χάριν » παραλαμβανόμενον». Καὶ ταῦτα μὲν οἱ πάλαι γραμματικοὶ, ὁμοῦ τι πάντες ἀγνοήσαντες τὴν γένεσιν τοῦ μορίου, ἣν ἐκ τῶν νεωτέρων ὁ ἡμέτερος Δευάριος πρῶτος ἀνεκάλυψε, διδάξας ἐκ τοῦ Ἀριστοφάνους, ὅτι τὸ Ἀμέλει οὐδὲν ἕτερόν ἐστιν ἢ προστακτικὴ ἔγκλισις τοῦ Ἀμελέω ῥήματος, τῇ συνεχεῖ χρήσει εἰς ἐπίῤῥημα καταστρέψασα. Ὥρα δὲ καὶ ἐκ τῆς παραθέσεως τῆς νεωτέρας τῶν Ἑλλήνων γλώσσης (ἣν πολλὰ πολλάκις συμβάλλειν εἴρηκα εἰς κατανόησιν τῆς ἀρχαίας) πιστώσασθαι τὸ λεγόμενον. Ἐν γὰρ τῇ παρ' ἡμῖν συνηθείᾳ, ἡνίκα τι πράξειν ἀπειλοῦντες, ἢ καὶ ἄλλως ἐπαγγελόμενοι, παῦσαι διστάζοντα περὶ τούτου τὸν προσδιαλεγόμενον βουλόμεθα, Μή σε κόπτῃ, φαμὲν, ἢ Μή σε μέλῃ, ὅπερ ἐστὶν αὐτὸ τὸ, Ἀμέλει. Καὶ ἔστι τοῦτο πολὺ παρὰ τῷ Ἀριστοφάνει. Αὐτίκα ἐν Λυσιστράτῃ (στίχ. 171-172), πρὸς τὴν Λαμπιτὼ ἀποροῦσαν,

Πᾶ καί τις ἂν πείσειεν αὖ μὴ πλαδδιῆν;

τουτέστι, Τίνι τρόπῳ πείσειεν ἄν τις αὐτοὺς μὴ παραφρονεῖν, ἢ μὴ ληρεῖν, ἀποκρίνεται ἡ Λυσιστράτη,

Ἡμεῖς ἀμέλει σοι τά γε παρ' ἡμῖν πείσομεν,

ὅπερ οὐκ ἂν ἄλλως ἐκφράσαις διὰ τῆς παρ' ἡμῖν φωνῆς, ἢ, Μή σε μέλει ἡμεῖς θέλομεν τοὺς καταπείσειν. Ἐν δὲ Βατράχοις, (Στιχ. 532) τῷ Διονύσῳ, τὴν σκευὴν ἀφαιρουμένῳ, ἐπαπειλῶν ὁ Ξανθίας, φησίν,

Ἀμέλει, καλῶς· ἔχ' αὔτ'. Ἴσως γάρ τοι ποτὲ
'Εμοῦ δεηθείης ἄν, εἰ θεὸς θέλοι·

τουτέστι, Καλά, μή σε μέλει· ἔχετα. Ἴσως, ἂν ὁ θεὸς θέλῃ, μὲ χρειασθῇς πάλιν καμμίαν φοράν. 'Εν τούτοις οὖν, καὶ πλείστοις ἄλλοις τοιούτοις, ὁ προστακτικὸς ἐνεστώς, Ἀμέλει, οὐδὲν μᾶλλον ἐστὶν ἐπίρρημα τοῦ παρ' ἡμῖν διὰ τριῶν ἐκφερομένου λέξεων. Μή σε μέλῃ, ἢ Μή σε κόπτῃ, ἢ τοῦ προστακτικοῦ ἑλληνικοῦ ἀορίστου, Ἀμέλησον, ᾧ Λουκιανὸς (Νεκρ. Διάλογ. έ, Τόμ. 2, σελ. 142) ἐχρήσατο, « Ἀμέλησον, ὦ Πλούτων, μετελεύσομαι γάρ σοι ἤδη αὐτοὺς καθ' ἕνα ἑξῆς ». Ἀλλ', ὥσπερ ἔφην, διὰ τὴν συνεχῆ παρὰ τοῖς παλαιοῖς χρῆσιν ἐπὶ βεβαιώσεως τοῦ προστακτικοῦ, Ἀμέλει, καὶ ὡς ἐπιρρήματι βεβαιωτικῷ συνωνύμῳ τῷ Πάντως, ἢ Ὄντως, ἐχρήσαντο οἱ νεώτεροι, ἀμελήσαντες, οἱ δὲ καὶ ἀγνοήσαντες ὅλως, τὴν γνησίαν τῆς λέξεως δύναμιν.— Στ. 28, Συνῆλθον περὶ τὴν Γαλατίαν.] Ὁ δὲ Στράβων (ΙΒ, σελ. 567) καὶ τὸν τόπον ὠνόμασεν, οὗ συνῆλθον, « Τρίτον δὲ [φρούριον] Δανάλα, ὅπου τὸν σύλλογον ἐποιήσαντο » Πομπήϊός τε καὶ Λεύκολλος· ὁ μὲν ἥκων ἐπὶ τὴν τοῦ πολέμου διαδοχὴν » ὁ δέ, παραδιδοὺς τὴν ἐξουσίαν καὶ ἀπαίρων ἐπὶ τὸν θρίαμβον ». —Στ. 29, » Δάφναις ἀνεστεμμένας ἔχοντες ὁμοῦ καὶ τὰς ῥάβδους.] Ἐξ ΕΔ οἱ ΠΡ, Τὸ, Δάφναις ἀνεστεμμένας, ΑΤ, Δάφνας ἀνεσταλμέναις. Συνᾴδει δὲ καὶ ὁ A entortillées de rameaux de laurier. Διὰ δὲ τὸ ἑξῆς, Ὁμοῦ, ὑπέλαβόν τινες μή τις ἑτέρα λέξις ἐξεῤῥύη τοῦ χωρίου, οἷον, Ὁμοῦ ταῖς κεφαλαῖς, ἢ Ὁμοῦ τοῖς πελέκεσι καὶ τὰς ῥάβδους. Ἴσως ἐγέγραπτο, Δάφναις ἀνεστεμμένας τὰς αἰχμὰς ἔχοντες ὁμοῦ καὶ τὰς ῥάβδους. Ἐρεῖ γὰρ ἐν τοῖς ἑξῆς (§ 41, σελ. 139), « Γραμματηφόροι . . . κομίζοντες εὐαγγέλια. Δῆλοι δ' » εὐθὺς εἰσὶ ταῖς αἰχμαῖς τῶν δοράτων· δάφνας γὰρ ἀναστέφονται ».

ΣΕΛΙΔ. 129, στ. 2, Κατεψυγμένην.] Κατεξηραμμένην. « Ψύξουσι, ξηρανοῦσι » φησὶν Ἡσύχιος· ἐφ' ἧς σημασίας ἐχρήσαντο οἱ Ἑβδομήκοντα (Ἱερεμ. ή, 2) « Ψύξουσιν αὐτὰ πρὸς τὸν ἥλιον ». Οὐ μετακινητέον οὖν τὴν γραφὴν, ὥς τινι τῶν ΠΡ ἔδοξεν, εἰς τὸ, Καταπεφρυγμένην.—Στ. 6, Τὰ τοῦ Λευκούλλου νικητήρια καὶ τὴν δόξαν οἰσόμενον.] Οὐδὲ τὸ Οἰσόμενον εἰς τὸ Ἀνοισόμενον τρεπτέον, ὡς παρῄνει τις τῶν ΠΡ. Ἔστι γὰρ ἀντὶ τοῦ συνθέτου Ἀποισόμενον, (ταὐτὸ δυναμένου τῷ Ἁρπασόμενον, ἢ Ἀφαιρησόμενον). ὡς δηλοῖ καὶ ὁ Α οὑτωσὶ παραφράσας, pour oster et emporter· οὗ χρῆσις παρὰ μὲν τοῖς παλαιοῖς, ἐν τῷ, Φέρειν καὶ ἄγειν τὰ τῶν πολεμίων, παρὰ δὲ τοῖς νεωτέροις, ἐν τῷ, « Ἄνεμος οἴσει ἡμᾶς » τῶν Ἑβδομήκοντα (Ἡσαΐ. ξδ', 6), ἀντὶ τοῦ, Ἀποίσει. Τοῦτο παραλαβοῦσα ἡ συνήθεια εἰς κατάραν μετεποίησε λέγουσα. Νὰ σ' ἐπάρῃ ὁ ἄνεμος!—Στ. 9, Οὐ μὴν ἀλλὰ τήν.] ΔΓ, Οὐ μὴν ἀλλὰ καὶ τήν.—Στ. 21, Διασύρων τὰ ἔργα.] Ἴδε τὰ ἀλλαχοῦ (Ἰσοκράτ. Β. σελ. 287) σεσημειωμένα περὶ τῆς φράσεως ταύτης.—Στ. 28, Οὕτω γὰρ αὐτὸν ἐπιγράψαι Σερτωρίῳ κ. τ. λ.] Ἐπιγράφειν ἑαυτὸν πράξει τινὶ, ἐστὶ, τὸ, Ἄλλου πράξαντος, ἑαυτῷ περιποιεῖσθαι τὴν πρᾶξιν, Ἑαυτὸν ἀνθ' ἑτέρου εἰσποιεῖν εἰς τὴν πρᾶξιν.—Στ. 29, Τὰ μὲν Κράσσου . . . κατωρθωκότος.] Τὰ Σπαρτάκεια, τουτέστι τὸν Σπάρτακον, ὃν Κράσσος κατεπολέμησε (Πλουτάρχ. Κράσσ. § 8-11, Μέρ. Γ, σελ. 305-308).— Τὰ δὲ Μετέλλου.] Τὸν Σερτώριον, ᾧ Μέτελλος ἐπολέμει τὸ πρῶτον (Ἴδ. ἀνωτέρ. § 17, σελ. 114).—Στ. 30, Τὰ δὲ Κάτλου.] Τὸν Λέπιδον. Τούτῳ μέντοι Κάτλος οὐκ ἐπολέμησε· πλὴν εἰ μὴ τὴν ἐξ Ἰταλίας εἰς Σαρδόνα φυγὴν (ἀνωτέρ. § 16, σελ. 113), οὗ καὶ νοσήσας ἐτελεύτησε Λέπιδος, τῷ Κάτλῳ ἐνθάδε ἀναγράφει.

ΣΕΛΙΔ. 130, στ. 1, Ὑποβάλλεται τὴν δόξαν.] Ἑαυτῷ εἰσποιεῖται, ἑτέρου κατωρθωκότος, τὴν δόξαν· ἀπὸ μεταφορᾶς τῶν μετὰ δόλου ὑποβαλλομένων βρεφυλλίων ταῖς ἀτόκοις τῶν γυναικῶν, τῶν καὶ διὰ τοῦτο Ὑποβολιμαίων καλουμένων.—Στ. 11, Συγκλινίαις.] Τὰς πρὸς ἄλληλα τῶν ὀρῶν κλίσεις, καὶ τοὺς ἐκ τούτων ἀποτελουμένους αὐλῶνας καὶ φάραγγας. Ὁ Α παρέφρασε par des vallons et cavains, τουτέστι τοῖς αὐλῶσι καὶ ταῖς κοιλότησι. Ἐχρήσατο Πλούταρχος τῇ λέξει καὶ ἀλλαχοῦ (Μέρ. Γ, σελ. 36, Πύῤῥ. § 28).—Στ. 15, Περιστρατοπεδεύσας.] Οὐκ ἀπιθάνως παρῄνεσέ τις γράφειν Παραστρατοπεδεύσας (τουτέστι, πλησίον στρατοπεδεύσας).—Στ. 26, Ἰδεῖν.] ΔΓ, Ὁρᾶν.—Στ. 27, Ἐπιέναι.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ἐπεῖναι.

ΣΕΛΙΔ. 131, Στ. 3, Παρακαλοῦντες.] Ἐκ ΔΓ, ΑΤ, Παρακολουθοῦντες.— Στ. 7, Πεπιεσμένου δὲ περὶ τὰς δύσεις τοῦ φωτός.] Ὑπενόει τις τῶν ΠΡ μήποτε ἀντὶ τοῦ Πεπιεσμένου ἐγέγραπτο, Πελαγιασμένου. Μὴ μετακίνει τὴν γραφήν· μετενήνεκται γὰρ ἡ λέξις ἀπὸ τῶν πιεζομένων καὶ θλιβομένων πρὸς ἀγγείου τινὸς βάθος, ἢ πυθμένα, ᾧ παρεικάζει τὸν ὁρίζοντα, πρὸς ὃν δυομένη οἷον συνωθεῖται ἡ σελήνη.—Στ. 11, Ἐφίκοντο.] Ἐφικνοῦντο, κατὰ παράτασιν ἄμεινον ἂν ἔγραψε.—Στ. 15, Διέκοψε.] Διαστήσας καὶ χωρίσας τοὺς Ῥωμαίους διέφυγε, διὰ μέσων τῶν Ῥωμαίων ἐξῆλθε. Ταὐτὸ σημαίνει καὶ τὸ συνώνυμον Διατύπτω « Διατύψαι, διὰ στενοῦ διελθεῖν » φησὶν Ἡσύχιος· ὥσπερ καὶ τὸ Προτύπτω συνωνυμεῖ τῷ Προκόπτω· τὸ γὰρ παρ' Ὁμήρῳ (Ἰλιάδ. Ν, 136) Προῦτυψαν, ὁ αὐτὸς Ἡσύχιος, διὰ τοῦ « Προένευσαν, προῆλθον, προεχώρησαν » ἐξηγεῖται. Καὶ σημείωσαι ὅτι ἐκ τούτων ὁρμηθεῖσα ἡ συνήθεια τῷ Ξεκόπτω (ὅ ἐστιν Ἐκκόπτω) ἐπὶ τοῦ Ἐκχωρῶ, ἐξέρχομαι, ἢ ἐκφεύγω κέχρηται.—Στ. 21, Τὸ σῶμα τοῦ Βασιλέως.] ΔΓ (ἀνεστραμμένως) Τοῦ βασιλέως τὸ σῶμα.—Στ. 22, Ἰνώρα.] Γραπτέον Σίνορα ἢ Σίνωρα. Ἔστι γὰρ τὸ παρὰ Στράβωνι (ΙΒ, σελ. 555) καλούμενον Σινορία, φρούριον ἐπὶ τοῖς ὁρίοις τῆς μεγάλης Ἀρμενίας, ὃ Θεοφάνης Συνωρίαν παρωνόμασεν. Ἀππιανὸς (Περὶ τοῦ Μιθριδατ. πολέμ. § 101) Σινόρηγα καλεῖ τὸ χωρίον, ὁ δ' Ἀμμιανὸς Μαρκελλῖνος (ις', ζ', § 10) Sinhorinm, ἤ, ὡς ἐν ἑτέροις ἀντιγράφοις, Synorium.—Στ. 25, Φορεῖν.] Μεθ' ἑαυτοῦ φέρειν, ἔχειν· ὡς καὶ παρ' Ὁμήρῳ τὸ, Τεύχεα φορέειν (Ἰλιάδ. Κ, 441). Ἐπὶ δὲ κυριωτέρας σημασίας, τοῦ Ἐνδύεσθαι, ἐστὶ τὸ, Πέπλον φορέειν (Ὀδυσσ. Ο, 127). ἐφ' ἧς ἔσωσε τὸ ῥῆμα καὶ ἡ παρ' ἡμῖν συνήθεια, ἔχουσα και τα ἐξ αὐτοῦ ῥηματικὰ, τό τε Φόρεμα (Γαλατ. un habit), ὃ Φόρημα διὰ τοῦ η ἔλεγον οἱ ἀρχαῖοι, καὶ τὴν ἀγνοουμένην ἐκείνοις Φορεσίαν (un habit complet).

ΣΕΛΙΔ. 132, Στ. 3, Ἀράξην,.] Ἐκ ΔΓ, ΑΤ, Ἄραξιν. Ἀράξην δ' αὐτὸν ὠνόμασε Πλούταρχος καὶ ἀλλαχοῦ (Λουκουλλ. §, 26, Μερ. Γ, σελ. 235) ὥσπερ ὀνομάζει καὶ Στράβων—Στ. 14, Καὶ ταῦτα οὖν Τιγράνης.] Ἐκ ΔΓ, ΑΤ, Καὶ ταῦτα μὲν οὖν Τιγράνης.—Στ. 15. Τὸ ξίφος αὐτοῖς ἀπολυσάμενος.] Τῶν ΠΡΔ τὸ Ἀπολυσάμενος (ἴσως οὐκ ἀναγκαῖα), ΑΤ, Ἀποδυσάμενος.—Στ. 16, Κίταριν.] Διὰ τοῦ ἐκφέρει τ Πλούταρχος τὴν Κίταριν, τουτέστι τὸν βασιλικὸν πῖλον, ὡς ἐξηγεῖται Ἡσύχιος· ἡ δὲ παρὰ

Πολυδεύκει διὰ διπλοῦ τ γραφὴ, ἣν καὶ Πόρτος ἐσημειώσατο ὧδε, γραφικὸν ἴσως ἐστὶν ἁμάρτημα, ὥσπερ καὶ ἡ διὰ τοῦ θ Κίθαρις, ἣν παρὰ τῶν ΠΡ παραλαβὼν ἐφύλαξα ἀλλαχοῦ (Πλουτάρχ. Μέρ. Δ, σελ. 232). Ἕτεροι δ' οὐκ ὀλίγοι Κ ί δ α ρ ι ν διὰ τοῦ δ γράφουσι.—Στ. 20, Ἱδρυσάμενος.] Ἐξ ΕΔ, ΑΤ, Ἱδρύσασθαι.—Στ. 21, Ἀφῃρῆσθαι.] ΠΡΔ, ΑΤ, Ἀφῄρησθε.—Στ. 22, Σωφηνήν.] Ἐξ ΗΔ, (συνᾳδούσης Πλουτάρχῳ, Λουκουλ. § 24 Μέρ. Γ, σελ. 233, καὶ Στράβωνι σελ. 527-530), ΑΤ, Σ ο φ ή ν η ν.—Στ. 24, Σωφηνῆς.] Ἐξ ΗΔ, ΑΤ, Σ ο φ ή ν η ς.—Βασιλεύσειν.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Βασιλεύειν.

ΣΕΛΙΔ. 133, στ. 13, Στρατιάν.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Στρατείαν. —Στ. 14 Κρονικῆς ἑορτῆς.] Ἣν καὶ ἁπλῶς Κ ρ ό ν ι α Ἕλληνες, Ῥωμαῖοι δὲ Saturnalia καλοῦσι. — Τετρακισμυρίων.] ΔΓ, Τετρακισχιλίων. — Στ. 16, Κύρνον. Κ ύ ρ ο ν ἕτεροι τοῦτον ὀνομάζουσι τὸν ποταμὸν, ὡς ἐσημειώσαντο οἱ ΠΡ.—Στ. 17, Ἀράξην ... Ἀράξην.] Ἐκ ΔΓ, οἱ ΠΡ, ΑΤ, Ἄ ρ α ξ ι ν ... Ἄ ρ α ξ ι ν. —Στ, 23 Ἀφεὶς τὴν ἀδικίαν.] Σημειοῦ τὴν φράσιν τοῦ παρακμάζοντος ἑλληνισμοῦ κατὰ τὸ, Ἄ φ ε ς ἡ μ ῖ ν τ ὰ ὀ φ ε ι λ ή μ α τ α ἡ μ ῶ ν (Ματθ. ς', 12) Οἱ γὰρ ἀρχαῖοι ἥδιον χρῶνται τῇ συντάξει, Ἀ φ ι έ ν α ι τ ὸ ν ἀ δ ι κ ο ῦ ν τ α, τὸ μὲν πρόσωπον κατ' αἰτιατικὴν, τὸ δὲ πρᾶγμα (ἡνίκα πλήρης ἐστὶν ἡ φράσις) κατὰ γενικὴν ἐκφέροντες, ὥσπερ καὶ αὐτὸς Πλούταρχος ἀνωτέρω (Ἀγησιλ. §13, σελ. 68) εἴρηκε « Νικίαν, εἰ μὲν μὴ ἀδικεῖ, ἄφες κ. τ. λ. »

ΣΕΛΙΔ. 134, στ. 16, Ἔβαλεν.] Ἐκ ΔΓ, ΑΤ, Ἔβαλλεν. —Στ. 24, Γέλας καὶ Λῆγες.] Γ ή λ α ς ὀνομάζει Στράβων (ΙΑ, σελ. 503) τοὺς πρώτους, διὰ τοῦ η, τοὺς ἑτέρους δὲ Λ ή γ α ς παροξυτόνως, ὡς εἶναι παρὰ τὴν Λ ή γ η ς (πληθυντ. Λῆγαι) εὐθεῖαν.

ΣΕΛΙΔ. 135, στ. 1, Τῷ μὲν Ἐλυμαίων καὶ τῷ Μήδων βασιλεῖ, πέμψασι κ. τ. λ.] Ἐξ ΗΔ ἡ τοῦ δευτέρου ἄρθρου προσθήκη, διὰ τὸ Π έ μ ψ α σ ι· ἕτερος γὰρ ὁ Μήδων τοῦ Ἐλυμαίων βασιλέως. — Στ. 5, Ἀρβηλίτιδος.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ἀρβινηλίτιδος. —Στ. 7, Ἀνέπεμψεν.] Ἐξ ΕΔ (συνᾳδούσης τοῖς μεταφρασταῖς) ΑΤ, Ἀ ν έ π ε μ π ε ν. —Στ. 11, Παρὰ πότον.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Περὶ πότον. —Στ. 14, Ἐκπωμάτων μὲν ἀργυρῶν καὶ χρυσῶν τραπέζας μεστάς.] Ἐξ ΗΔ ἡ προσθήκη τῆς τελευταίας λέξεως, ἧς τὸ χρειῶδες καὶ οἱ ΠΡ συνῆκαν. Ὡσαύτως δὲ καὶ ἐν τοῖς ἑξῆς (σελ. 171, § ϛβ') ἐρεῖ Πλούταρχος « Τραπέζαις ἐκπωμάτων μεσταῖς, ». —Στ. 18, Ὥσπερ οἱ τῶν φίλων τοῦ βασιλέως.] Προσυπακουστέον τὸ Ἔ χ ο υ σ ι, ἤ τι ἕτερον τοιοῦτο, πρὸς τὸ πλῆρες τῆς φράσεως· Ἴσως μέντοι ἐγέγραπτο, Ὥ σ π ε ρ ε ἰ τ ῶ ν κ. τ. λ.

τουτέστιν, ὥσπερ εἰ ἐτύγχανεν ὢν τῶν φίλων εἷς τῶν τοῦ βασιλέως. —Στ. 25, Ἐμὰ ταῦτα πάντα ἐστί.] Ἐπὶ τούτῳ καὶ τῶν τούτῳ παραπλησίων οἰκείως ἂν λέγοιτο, ὃ περὶ τοῦ Ταντάλου Πίνδαρος (Ὀλυμπ. Α, 87) εἴρηκεν,

——— Ἀλλὰ γὰρ κατα-
πέψαι μέγαν ὄλβον οὐκ ἐδυ-
νάσθη. ———

—Στ. 27, Βάλλει.] Ἐγράφετο κακῶς, Βάλλῃ.—Ταύτης μὲν ἦν καὶ γενεᾶς καὶ αἵματος.] Τὸ Ὁμηρικὸν αἰνίττεται (Ἰλιάδ. Ζ, 211),

ταύτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι.

—Στ. 29, Χωρίον.] Οὐκ εἰς τὸ Φρούριον μεταποιητέον τὴν λέξιν, ὥσπερ ἔδοξέ τισι τῶν ΠΡ· Τὸ γὰρ Χωρίον, αὐτὸ τοῦτο πολλάκις τὸ Φρούριον σημαίνει, τὸ τοῖς Ῥωμαίοις ὀνομαζόμενον Castellum, ἢ Castrum (Στεφ. Θησαυρ. Ἑλλ. Γλ. Δ, σελ. 668)· ὅθεν ἡ παρ' ἡμῖν συνήθεια παρέλαβε τὸ Κάστρον, τάξασα τὸ Χωρίον ἐπὶ τῶν κατ' ἀγροὺς πολιχνίων, ὥσπερ καὶ τὴν Χώραν ἐπὶ τῶν πόλεων. Καὶ παρὰ μὲν τὸ Χωρίον, ὁ Χωριανός, ἢ Χωρικός, τουτέστιν ὁ ἐν ἀγροῖς κατοικῶν, ὅν Χωρίτην ἐκάλουν οἱ πάλαι, καὶ ὁ Χωριάτης, αὐτόν τε τοῦτον τὸν Χωρίτην σημαίνων, καὶ τὸν ἄγροικον τοὺς τρόπους καὶ χυδαῖον, οἷοι εἰσὶν ὡς ἐπὶ τὸ πολὺ οἱ τοὺς ἀγροὺς οἰκοῦντες· παρὰ δὲ τὸ Χώρα, τὸ Χωρατεύω, καθὰ καὶ παρὰ τὸ συνώνυμον Ἄστυ ἐσχημάτισται παρὰ τοῖς ἀρχαίοις τὸ συνώνυμον τοῦ Χωρατεύω Ἀστεΐζομαι, ὡς καὶ ἀλλαχοῦ (Πρόδρ. Ἑλλ· Βιβλ. σελ. ρκϐ') σεσημείωται.

ΣΕΛΙΔ. 136, στ. 6, Ἐν δὲ τῷ Καινῷ φρουρίῳ.] Καινὸν χωρίον, ὀνομάζει τοῦτο Στράβων (ΙΒ, σελ. 556)· ὅθεν δῆλον συνωνύμως (ὥσπερ ἀνωτέρω σεσημείωται) ἐκλαμβάνεσθαι πολλάκις τῷ Χωρίῳ τὸ Φρούριον· Ἦν δὲ τοῦτο, ὥς φησι Στράβων, « Ἐρυμνὴ καὶ ἀπότομος πέτρα, διέχουσα » τῶν Καβείρων ἔλαττον ἢ διακοσίους σταδίους· εἶχε δ' ἐπὶ τῇ κορυφῇ πη» γὴν ἀναβάλλουσαν πολὺ ὕδωρ, περί τε τῇ ῥίζῃ ποταμὸν, καὶ φάραγγα » βαθεῖαν. Τὸ δ' ὕψος ἐξαίσιον τῆς πέτρας ἦν τοῦ αὐχένος, ὥστ' ἀπολιόρκη» τον εἶναι. Ἐτετείχιστο δὲ θαυμαστῶς, πλὴν ὅσον οἱ Ῥωμαῖοι κατέσπασαν ». —Στ. 12, Καὶ κρίσεις.] Ἐξ ΗΔ (συναδούσης τῷ Α) προσετέθη ὁ σύνδεσμος. —Στ. 20, Ἀμισόν.] Ἐξ ΗΔ. ΑΤ, Ἄμισον. Ἀμισὸν γὰρ ἐρεῖ καὶ κατωτέρω (§ μϐ', σελ. 140) ὥσπερ εἴρηκε καὶ ἀλλαχοῦ (Λουκουλλ. § ιθ').

—Στ. 23, Ἃ, συνηρημένου.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ἃς συνηρημένου.— Καὶ πέρας ἔχοντος.] Διαγραπτέον τὰς τρεῖς ταύτας λέξεις. οὐδὲν γὰρ πλέον λέγουσι τοῦ, Συνηρημένου. —Στ. 25, Συνειλοχότος] Ἐξ ΗΔ, ΑΤ, Συνειληχότος.— Στ. 26, Ταὐτά.] Ἐξ ΕΔ (οὐκ ἀναγκαίας, οἶμαι) οἱ ΠΡ, ΑΤ, Ταῦτα. —Στ. 28, Δυναστῶν.] ΔΓ, Δυνατῶν-

ΣΕΛΙΔ. 137, στ. 11, Τούτῳ.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Τοῦτο.— Στ. 12, Ἐπέστησε φυλακὰς τῶν νεῶν ἐπὶ τοὺς πλέοντας εἰς Βόσπορον ἐμπόρους.] Φυλακὰς (παρὰ τὸ Φυλακὴ) γέγραφα ἐκ ΔΓ, ΑΤ, Φύλακας (παρὰ τὸ Φύλαξ). Οἱ μεταφρασταὶ οὕτως ἡρμήνευσαν τὸ χωρίον, ὥσπερ ἂν εἰ ἐγέγραπτο, Ἐπέστησε ναῦς φυλασσούσας κ. τ. λ. ἀληθῶς μὲν τῷ πράγματι (ἐπεὶ καὶ ναῦς ἐχρῆν ἐπιστῆσαι τὰς φυλαξούσας τοὺς εἰσπλέοντας εἰς τὸν Βόσπορον), οὐ μὴν ἁρμοζόντως τῇ ἐνάρθρῳ συναρτήσει τοῦ λόγου, ἢ ταὐτὸν δύναται καθάπερ ἂν εἰ ἔλεγε, Ἐπέστησε φυλακὰς ἐπὶ τὰς ναῦς τῶν πλεόντων εἰς Βόσπορον ἐμπόρων. —Στ, 14, Ἀναλαβὼν δὲ τῆς στρατιᾶς πληθὺν συχνὴν προῆγε κ. τ. λ. ] Τοῦτο ὁ μὲν Α ἐξέφρασεν, Puis avec la meilleure Partie de son armée se meit en chemin, ὁ δ' Ἰταλὸς μεταφραστὴς ἀκριβέστερον, Tolta seco pertanto gran quantità di milizia, s'incamminò, ἢ παραλιπὼν ὃ καὶ ἡμεῖς διαγεγράφαμεν ἄρθρον, ἢ γραφῇ ἐντυχὼν ἀνάρθῳ. Τὸ Πληθὺν συχνὴν ταὐτὸ δύναται τῷ Πληθὺν πολλὴν, ὡς καὶ Ξενοφῶν (Κύρ, Ἀναβάσ. Δ, 2) εἴρηκεν, « Ἴεντο δὴ οἱ πολέμιοι πολλῷ πλήθει καὶ » θορύβῳ » καὶ ἡ παρ' ἡμῖν συνήθεια, Πολὺ πλῆθος, φιλεῖ λέγειν, οὐ πλεονάζοντος ἐν τούτοις οὔτε τοῦ Πολὺς, οὔτε τοῦ Συχνός- —Στ. 24, Αὐταῖς ] ΔΓ, Ταύταις. —Στ. 30, Τῶν περὶ αὐτὸν ἁμαρτήματα φίλων.] Ὑπερβατῶς ἐκπέφρασται, ἀντὶ τοῦ, Τῶν περὶ αὐτὸν φίλων ἁμαρτήματα-

ΣΕΛΙΔ. 138, στ. 6, Ἄγαν δὲ τῇ τύχῃ χρώμενος.] Ἐκ ΔΓ προσέθηκα τὸ ἄρθρον. Ἔστι δὲ τὸ Ἄγαν χρώμενος, καταχρώμενος, ἢ κακῶς χρώμενος τῇ τύχῃ· οἷα φιλοῦσι ποιεῖν οἱ νεοκτήμονες, καὶ μὴ ἐκ προγόνων εἰθισμένοι τῇ τῶν ἀγαθῶν ἀπολαύσει. Σόλοικοι γὰρ οἱ τοιοῦτοι τὰ περὶ τὸν βίον ἐπιεικῶς καὶ γελοῖοι, ἐν μὲν χρημάτων περιουσίᾳ, ὥς τι πλέον τῶν ἄλλων δυνάμενοι, καὶ αὐτῶν τῶν οἰκείων, μήτε γε τῶν ἀλλοτρίων, καταφρονοῦντες· ἐν δὲ λόγων κτήσει τε καὶ ἐπιστημῶν, ὥς τι πλέον τῶν ἄλλων εἰδότες, ἀλόγως καὶ ἀνεπιστημόνως τοῖς περὶ τὸν βίον καθήκουσιν ἐνασχημονοῦντες. —Σ. 13, Ἐφή-

βους.] ΔΓ (ἀμείνων) Τοὺς Ἐφήβους. —Στ. 14, Ἐδυσχέραινεν.] Ἄμεινον ἂν γράφοις κατ' ἀόριστον, Ἐδυσχέρανεν, ὡς ἐξέφρασε καὶ ὁ Α, il se courroucea. —Στ. 15, Γίνεσθαι.] Ἐκ ΔΓ, ΑΤ, Γ ενέσθαι.—Στ. 17 Ὁ πάντα διακοσμῶν ἐκεῖνα κ. τ. λ.] Ἦν οὗτος ὁ γυμνασίαρχος. Γυμνάσεσθαι γὰρ ἔμελλον οἱ ἔφηβοι καὶ οἱ παῖδες εἰς τιμὴν τοῦ Δημητρίου, καθὰ δηλοῦται ἐκ τοῦ Αὐτοκράτορος Ἰουλιανοῦ ἐν τῷ ἐπιγραφομένῳ Μισοπώγωνι· οὗ τὰς λέξεις παρέβαλε τῷ Πλουταρχείῳ τούτῳ χωρίῳ ὁ Φάβρος (Ἀγωνιστικ. Βιβλ. Α, κφ, 21, σελ. 142-143).—Στ. 26, Σοβαρῶς ἔχων δ' ὤτων κατὰ τῆς κεφαλῆς τὸ ἱμάτιον.] Τοῦθ' ὁ μὲν Α, ἡρμήνευσεν, Avoit présumptueusement sa robbe sur la teste baissée jusques aux oreilles, ὁ δ' Ἰταλὸς μεταφραστὴς, Tenendo arrogantemente sul capo la veste a traverso delle orecchie. Καὶ τὸ μὲν Σοβαρῶς (ΔΓ Σοβαρὸς) ἄμεινον ἂν πρὸς τὸ προηγούμενον, Κατέκειτο, συντάττοιτο· τὸ δὲ, Δι' ὤτων (ἀνθ' οὗ τις τῶν ΠΡ, Δίωτον, γραπτέον εἶναι ὑπενόει) τοιοῦτον ἂν εἴη, ὥσπερ ἂν εἰ ἔλεγεν, Ἐκ τοῦ ὄπισθεν μέρους, ἐν ᾧ τὰ ὦτα, ἐπισπασάμενος τοῦ ἱματίου τὸ ἄκρον εἰς τὴν κεφαλήν. —Στ. 28, Ἡβητηρίων.] « Ἡβητήρια (φησὶν Ἡσύχιος) » Ἑστιατόρια, καταλύσεις ». Εἰσὶ δὲ κυρίως αἱ ἐν ἀγροῖς ἡδονῆς ἕνεκα κατεσκευασμέναι οἰκήσεις, ἐν αἷς συνήγοντο συμποσιάσοντες· παρὰ τὴν Ἥβην καὶ τοὺς Ἡβῶντας, διὰ τὸ τοὺς τηλικούτους μάλιστα χαίρειν τοῖς τοιούτοις (Ἀθην. σελ. 426). Ἡρόδοτος δὲ (Β, § 133) Ἐνηβητήρια ταῦτα ὠνόμασεν· ὅπου οἱ ὑπομνηματισταὶ ἐσημειώσαντο loca voluptaria ταῦτα τοῖς Ῥωμαίοις καλεῖσθαι, παρὰ δὲ τῷ Γρηγορίῳ Νύσσης, Τόπους ἐμπαθεῖς.

ΣΕΛΙΔ. 139, στ. 2, Ἐφόλκιον.] « Ἐφόλκια (φησὶν Ἡσύχιος), μικρὰ » καράβια, παρὰ τὸ ἕλκεσθαι ὑπὸ τῶν κωπηλατῶν, ἢ τῶν μεγάλων » πλοίων ». Καὶ σημείωσαι τὴν λέξιν Καράβιον, ᾗ καὶ νῦν ἔτι χρώμεθα, ἐπὶ τοῦ πλοίου, οὕτως ὀνομασθέντος διά τινα πρὸς τὸν Κάραβον καὶ τὴν Καραβίδα ἐμφέρειαν, ὧν ἡ μὲν ἔτι καὶ νῦν Καραβὶς παρ' ἡμῖν λέγεται, ὁ δὲ κάραβος, ὁ αὐτὸς, ἢ γοῦν παραπλήσιός, ἐστι τῷ παρ' ἡμῖν, ὥσπερ καὶ παρὰ τοῖς ἀρχαίοις, καλουμένῳ Ἀστακῷ· « Κάραβος » (φησὶν ὁ Ἐτυμολόγος), τὸ θαλάσσιον ζῶον παρὰ τὸ τῇ κάρᾳ βαίνειν, τῆς » κεφαλῆς προεχούσης. Ἐξ αὐτοῦ καὶ τὸ ἐπὶ τοῦ πλοίου λεγόμενον· σημαίνει καὶ (ἴσ. γὰρ καὶ) τὴν ναῦν ὡσαύτως· κάρα γὰρ ἡ τρόπις ». Καὶ εἰ ἀληθὲς, ὃ μόνος λέγει ὁ Ἐτυμολόγος, τὸ Κάραν ὀνομάζεσθαι τὴν Τρόπιν, παρὰ ταύτην ἂν εἴη, καὶ ἡ παρὰ μὲν Λατίνοις Carina,

παρὰ δὲ τοῖς Ἰταλοῖς Carena. —Στ. 3, Ἐκείνης.] Ἧς πρότερον ᾤκει.—Στ. 15, Παιόνων.] Παννονίων γράφειν δεῖν ἐσημειώσαντό τινες, οὐκ ἐπιστήσαντες τῇ καταχρηστικῇ τοῦ ὀνόματος ἐκδοχῇ. Καίπερ γὰρ ἑτέρων ὄντων παρὰ τοὺς Παννονίους τῶν Παιόνων, τινὲς τῶν Ἑλλήνων ἀγνοήσαντες Παίονας ὠνόμασαν τοὺς Παννονίους, ὡς ἐσημειώσατο Δίων ὁ Κάσσιος (μθ', 36, σελ. 595). Τούτων δὲ τῶν ἀγνοησάντων ἦν καὶ Πλούταρχος, καὶ Ἡρωδιανὸς, καὶ ἄλλοι οὐκ ὀλίγοι. —Στ. 16, Ῥᾷον.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ῥᾴδιον.—Στ. 18, Ἐπιτείνων τὴν δίωξιν.] Ἐξ ΗΔ, ΑΤ, Ἐπὶ τὴν δίωξιν, ὃ οἱ ΠΡ, εἰς τὸ, Ἐπὶ τῇ διώξει, ἢ τὸ. Ἐπείγων τὴν δίωξιν τρεπτέον εἶναι ὑπετόπασαν. Ἔστι δὲ τὸ Ἐπιτείνειν τὴν δίωξιν παραπλήσιον τῷ Ἐπιτείνειν τὴν κίνησιν, ᾧ ἀνωτέρω (Εὐμεν. § ιά, σελ. 41) ἐχρήσατο Πλούταρχος. —Στ. 24, Δῆλοι.] Οἱ κομίζοντες εὐαγγέλια .—Στ. 30, Κατ' ἀλλήλων·] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Καταλλήλων.

ΣΕΛΙΔ. 140, στ. 2, Εἰς ὕψος.] Ἐξ ΕΔ οἱ ΠΡ, προσέθηκαν τὴν πρόθεσιν —Προβάς.] ΔΓ, Προσβάς.—Στ. 4, Ἑαυτὸν.] ΔΓ, Αὑτόν. —Στ. 5, Καὶ ἑαυτῷ καὶ Ῥωμαίοις γέγραφε ποιούμενος.] Καὶ ὅτι ἐπέστειλε Φαρνάκης τῷ Πομπηΐῳ λέγων τὸν πατρῷον κλῆρον ἑαυτῷ καὶ Ῥωμαίοις πεποιῆσθαι, ὑφ' ἑαυτὸν, ὡς βασιλέα, καὶ ὑπὸ Ῥωμαίους, ὡς προστάτας, ὑποτεταχέναι τὴν ὑπὸ τῷ πατρὶ χώραν ἅπασαν. Οὕτω πως ἐξηγοῦνται τὴν οὐ πάνυ τι σαφῆ φράσιν ταύτην.—Στ. 7, Τῇ χαρᾷ χρώμενον.] Οὐκ ἀπήλλακται τὸ χωρίον ὑποψίας. Καὶ τῶν μὲν ΠΡ, τινὲς εἴκαζον μήποτε γραπτέον, Τῇ χαρᾷ διαχεόμενον, ᾧπερ ἀμωσγέπως συνᾴδει ὁ Ἰταλὸς μεταφραστὴς empiutosi di allegrezza. Ἡμῖν δὲ δοκεῖ γεγράφθαι πάλαι, Πολλῇ χαρᾷ χρώμενον, ὡς ἡρμήνευσε καὶ ὁ Α, en demena grande joye. Μαρτυρήσειε δ' ἂν τῇ τοιαύτῃ γραφῇ καὶ τὸ παρὰ τῷ Σοφικλεῖ (Τράχιν. 193),

Οὐκ ΕΥΜΑΡΕΊᾼ χρώμενος ΠΟΛΛῌ, γύναι.

—Στ. 16, Θεράποντας.] ΠΡΔ (συνᾴδουσα τῷ Α, ses serviteurs) ΑΤ, Θεραπεύοντας· Ἄμεινον δ' ἂν ἦν τοῦτο τρέπειν εἰς τὸ, Θεραπεύσαντας, τουτέστι τοὺς ἐπιμεληθέντας τῆς τοῦ νεκροῦ ταριχείας. —Στ. 18, Ἀφοσιωσάμενος τὸ νεμεσητόν.] Ἀποτρεψάμενος τοῦ νεκροῦ τὴν θέαν, ἵνα μὴ δόξῃ κειμένῳ τῷ ἐχθρῷ ἐπιχαίρειν, καὶ ἐπισπάσηται διὰ τοῦτο τὴν παρὰ τῶν θεῶν νέμεσιν καὶ ὀργήν. —Στ- 20, Καίτοι.] Ἐναντιωματικῶς πρὸς τὸ Ἐθαύμαζεν, ὥσπερ ἂν εἰ ἔλεγεν, Ἐθαύμασεν ἃ Μιθριδάτης περιεβέβλητο, καίπερ μὴ ἰδὼν τὸν ξιφιστῆρα (κεκλεμμένος γὰρ ἦν), ὃς μακρῷ μείζω θαυμασμὰ

ἄν αὐτῷ ἐνεποίησε. Τίνα δὲ λέγει ξιφιστῆρα, σεσημείωται ἀλλαχοῦ (Ἡλιοδώρ. Β, σελ. 317).—Στ. 22, Κίταριν.] Κίδαριν διὰ τοῦ δ ἡ τοῦ Βρυχνοῦ ἔκδοσις. Ἴδε τὰ ἀνωτέρω (σελ. 374) σημειωθέντα περὶ τῆς λέξεως.—Στ. 25, Φαρνάκης.] ΔΓ, Ὁ Φαρνάκης.

ΣΕΛΙΔ. 141, στ. 5, Περὶ τῆς καθόλου ζητήσεως.] Καθόλου, ἔγραψα ὑφ' ἕν, ἐκ ΔΓ, ΑΤ, Καθ' ὅλου. Τίνα δὲ λέγει Καθόλου ζήτησιν, οὐκ εὐχερὲς συνιδεῖν. Ὁ μὲν γὰρ Ἰταλὸς μεταφραστὴς ἡρμήνευσεν, Intorno al parere dell' invenzione in generale ὁ δὲ Α, Touchant la question générale et universelle. Ὁ δὲ τὸν Α ἐκδοὺς πρὸ τοῦ Κλαυερίου ἐπεχείρησεν ἐξηγήσασθαι ἐξ ὧν ὁ Κικέρων ἐν τῷ περὶ Εὑρέσεως (De Invent. I, 6), εἴρηκε περὶ τοῦ Ἑρμαγόρου τούτου. Ἀλλὰ τὰ μὲν τοῦ Κικέρωνος οὐ πάνυ τι συντελεῖ εἰς τὴν ἐξήγησιν τοῦ Πλουταρχείου χωρίου· ὥπερ ἄμεινον ἂν παραβάλλοις τὰ τῷ Κυϊντιλιανῷ (Quinctil. Instit., Orator. III, 5, § 5, καὶ 6, § 2) εἰρημένα. Φησὶ δ' οὗτος τὸν Ἑρμαγόραν διττὸν εἶδος ἀποφῆναι τῶν ζητήσεων. τὰς μὲν γὰρ εἶναι ὡρισμένας, τὰς δ' ἀορίστους· καὶ ταῖς μὲν ὡρισμέναις πράγματα, πρόσωπα, χρόνους κ. τ. λ. ἐμπεριέχεσθαι, ἃς καὶ Ὑποθέσεις ἐκάλουν. τὰς ἀορίστους δὲ ἁπλῶς ζητεῖσθαι, μηδενὸς ὑποκειμένου πράγματος ἢ προσώπου. Ταύτας δὲ οἱ μὲν Θέσεις ἐκάλουν, οἱ δὲ Ζητήσεις καθολικάς, οἱ δὲ Ζητήσεις φιλοσοφικάς, οἱ δὲ Κεφάλαια γενικώτατα. Καὶ τούτων μὲν παράδειγμα τὸ, Εἰ γαμητέον· τῶν δ' ὡρισμένων, Εἰ Κάτωνι γαμητέον.—Στ. 8, Εἰς ἐπισκευὴν πεντήκοντα τάλαντα.] Ἀντὶ τοῦ Πεντήκοντα, ἴσως γραπτέον Πεντακόσια, ὡς ὑπέλαβέ τις τῶν ΠΡ. Ἐπισκευὴν δὲ νοητέον τὴν ἀνέγερσιν τῶν ὑπὸ τοῦ Σύλλα, μικρὸν πρὸ τοῦ Πομπηΐου, κακωθέντων οἰκοδομημάτων τῆς πόλεως· πολλὰ γὰρ τοιαῦτα τῶν ὑπ' ἐκείνου κατασκαφέντων, ἢ ἐμπρησθέντων (Πλουτάρχ. Σύλλ. § 14) εἰκὸς ἔτι λελεῖφθαι.

ΣΕΛΙΔ. 142, στ. 8, Ἔπεμψεν ἀξιῶν εἰς τὴν βουλήν.] Καθ' ὑπερβατὸν, ἀντὶ τοῦ, Ἔπεμψεν εἰς τὴν βουλὴν, ἀξιῶν.—Στ. 13, Ἀμωσγέπως.] ΠΡΔ (συνᾴδουσα τῷ Α, comment que ce fust), ΑΤ. Ἄλλως γέπως —Στ. 15, Ἐβούλετο] Ἐκ ΔΓ, ΑΤ, Ἐβουλεύετο.—Στ. 18, Καὶ ἡ γυνή.] Ἐκ ΔΓ, προσέθηκα τὸ ἄρθρον.—Ἀποτρέψεται. — Ἐκ ΔΓ, ΑΤ, Ἀποτρίψεται. —Στ. 29, Τῷ μεγέθει.] Λείπουσιν αἱ λέξεις αὗται ἔν τινι τῶν Ἀντιγράφων.

ΣΕΛΙΔ. 143, στ. 1, Τῆς θέας ἐξέπεσε.] Τοῦ καιροῦ τοῦ θριάμβου καθυστέρησεν, οὐκ ἔφθασε πομπευθῆναι.—Στ. 9, Κατοικίαι δὲ πόλεων.] Ἃς ὀλι-

γανθρωπούσας, ἢ καὶ τὸ παράπαν ἐρήμους οὔσας, συνῴκισε Πομπήϊος· ὥσπερ ἐξεδέξαντο οἱ μεταφρασταί.—Στ. 12, Προσεκτήσατο.] ΔΓ, Ἐπεκτήσατο.— Στ. 14, Ἐν νομίσματι καὶ κατασκευαῖς ἀργύρου καὶ χρυσοῦ.] Ἐξ ΗΔ τὸ Ἀργύρου, ΑΤ, Ἀργυρίου. ἣν ἐξ ἄλλων τε πολλῶν ἐστι πιστώσασθαι, καὶ ἐκ τοῦ Στράβωνος (ΙΕ, σελ. 735), «Τὸ δὲ (γρ. Τὸν δὲ) πλεῖστον καὶ ΧΡΥ- » ΣΟΝ καὶ ἌΡΓΥΡΟΝ ἐν ΚΑΤΑΣΚΕΥΑΪ́Σ εἶναι, ΝΟΜΊΣΜΑΤΙ δὲ οὐ πολλῷ ». —Στ. 23, Ταῖς μάχαις.] ΔΓ, Καὶ ταῖς μάχαις. —Στ. 26, Τρίς.] ΠΡΔ ΑΤ, Τρεῖς. Τὸ ἐπίρρημα δὲ ἐξέφρασε καὶ ὁ Α (trois fois), καὶ ὁ λόγος αἱρεῖ. —Στ. 30, Ὑπήχθαι.] Ἐξ ΕΔ, ΑΤ, Ἐπῆχθαι· τοῦτο μὲν γὰρ παρὰ τὸ, Ἐπάγομαι· ἐκεῖνο δὲ παρὰ τὸ Ὑπάγομαι, ὅ ἐστιν, Ὑπ' ἐμαυτῷ ποιοῦμαι, ἢ Ἐμαυτῷ ὑποτάσσω.

ΣΕΛΙΔ. 144, στ. 3, Τοῖς τεσσαράκοντα προσῆγεν.] Τοῖς πεντήκοντα γραπτέον εἶναι οἱ ΠΡ οὐκ ἀλόγως ὑπειλήφασιν· ἕκτον γὰρ καὶ τεσσαρακοστὸν ἡλικίας ἔτος εἰκὸς ἦν ἄγειν τηνικαῦτα τὸν Πομπήϊον. Ἕτεροι δὲ γράφειν δεῖν ᾠήθησαν, Τοῖς πέντε καὶ τετταράκοντα.—Στ. 9, Ἑαυτοῦ.] Ἐκ ΔΓ, ΑΤ, Αὑτοῦ.—Στ. 12, Οὕτως.] Ἐκ ΔΓ, ΑΤ, Οὕτω. Ἐσημειωσάμεθα δὲ καὶ ἀνωτέρω (σελ. 364), ὡς οὐκ εὐλόγως ἀποκόπτεται τὸ σ τοῦ Οὕτως, ἄλλως τε καὶ μηδενὸς ἀποκόπτοντος ἐν τῷ συνωνύμῳ Ὡσαύτως. —Στ. 15, Λεύκουλλον.] Ἐξ ΕΔ, ΑΤ, Λεύκουλλος· πρὸς γὰρ τὸ, Ἐδέξατο.—Στ. 17, Κολούουσα.] Ἐξ ΕΔ, ΑΤ, Κελεύουσα. Ὁ νοῦς, Ἐπανελθόντα τὸν Λεύκουλλον ἐξ Ἀσίας ἐδέξατο λαμπρῶς ἡ σύγκλητος, καὶ μᾶλλον ἔτι, ἡνίκα παρεγένετο Πομπήϊος, διήγειρεν αὐτὸν ἐπὶ τὸ πολιτεύεσθαι, βουλομένη κολούειν, τουτέστι ταπεινοῦν, τὴν Πομπηΐου δόξαν.—Στ. 20, Ἐπὶ δὲ Πομπήϊον εὐθὺς αΐξας.] « Αΐξας (φησὶν Ἡσύχιος), ὁρμήσας » Παρὰ τὸ Ἄσσω ἢ Ἄττω, καὶ ἐν διαλύσει Ἀΐσσω ἢ Ἀΐττω. Δύναται δὲ τοῦτο κυρίως· τὸ ἐν τῇ συνηθείᾳ οὐκ ἀκόμψως ἀπὸ τῶν δαψιλῶς καὶ μεθ' ὁρμῆς ἐκχεομένων ὑδάτων μετενηνεγμένον μέσον ῥῆμα, Χύνομαι, οἷον ἐν τῷ, Ἐχύθη κατεπάνω μου, ὅ ἐστιν, Ἦϊξεν ἐπ' ἐμέ. Ἐπὶ δὲ τῆς αὐτῆς σημασίας χρώμεθα καὶ τῷ ἀμεταβάτῳ, Χυμίζω.

ΣΕΛΙΔ. 145, στ. 3, Αὔλειον] ΔΓ, Αὔλιον. Προσυπάκουε τὸ Θύραν. —Στ. 12, Μετὰ δεινότητος.] Μετὰ πανουργίας.—Στ. 13, Τὰς ἀποκλίσεις.] Τὰς εἰς θάτερον ὁπότερον τῶν μερῶν κλίσεις, ἀπὸ μεταφορᾶς τῶν ἐγκλινομένων τοίχων τοῦ πλοίου ἐν κυμαινομένῃ θαλάσσῃ. Τοίχους γὰρ, ὥσπερ οἰκίας, οὕτω καὶ πλοίου ἔλεγον, τὰ ἑκατέρωθεν σανιδώματα, καὶ μετέφερον

κομψῶς ἐπὶ τὰς πολιτικὰς στάσεις, πλοίῳ χειμαζομένῳ παρεικάζοντες τὴν στασιάζουσαν πόλιν, καθὰ δηλοῖ καὶ Ἀριστοφάνης (Βατραχ. 535-537), πρὸς ἀνδρὸς εἶναι λέγων εἰρωνικῶς.

——— νοῦν ἔχοντος καὶ φρένας,
Καὶ πολλὰ ΠΕΡΙΠΕΠΛΕΥΚΟΤΟΣ,
Μετακυλινδεῖν αὑτὸν αἰεὶ
Πρὸς τὸν εὖ πράττοντα μᾶλλον ΤΟΙ̃ΧΟΝ,

ὃς καὶ περὶ τῆς Ἀθηναίων πόλεως, μωραινούσης οὐχ' ἧττον τῆς Ῥωμαϊκῆς πολιτείας, φησὶ (Βατράχ. 704),

Τὴν πόλιν καὶ ταῦτ' ἔχοντες ΚΥΜΆΤΩΝ 'ΕΝ ἈΓΚΆΛΑΙΣ.

—Στ. 19, Οὐ γὰρ τὴν στάσιν κ. τ. λ.] Τὰ αὐτὰ ἐρεῖ καὶ ἐν τοῖς ἑξῆς (Καισαρ. § 13, σελ. 276).—Στ. 20, Πρῶτον κακόν.] ΔΓ (ἀνεστραμμένως) Κακὸν πρῶτον.—Στ. 22, Ὄχλον.) Προσέθηκα τὴν λέξιν 'Εξ ΕΔ.—Στ. 23, Νεμὰς ἀγρῶν.] Ἃς ἐν τῷ Καίσαρος βίῳ (§ 14, σελ. 276), Κληρουχίας καὶ διανομὰς χώρας, εἴρηκε.—'Εκβαίνων τὸ τῆς ἀρχῆς ἀξίωμα.] Ἔπιθι τὰ ἀλλαχοῦ (Ἡλιοδώρ. Β, σελ. 40), σημειωθέντα περὶ τῆς συντάξεως ταύτης. —Στ. 25, Βίβλου.] ΔΓ (κακὴ) Βύβλου. Ἔστι γὰρ παρὰ τὸ Ῥωμαϊκὸν κύριον ὄνομα Bibulus (ὃ ταὐτὸν δύναται τῷ τῶν Ἑλλήνων προσηγορικῷ, Πότης) Βίβουλος, καὶ κατὰ συγκοπήν, Βίβλος ὡς καὶ παρὰ τὸ Catulus ὁ Κάτλος καὶ παρὰ τὸ Tusculum τὸ Τοῦσκλον.—Στ. 28, Συμφήσαντος.] ΔΓ, Συμφωνήσαντος.

ΣΕΛΙΔ. 146, στ. 4, 'Εκφυγεῖν αὐτὸν ἐπὶ καιροῦ τὸ ῥῆμα.] Ὥσπερ καὶ ἐν τῇ συνηθείᾳ φαμὲν, μετὰ μὲν γενικῆς, Μοῦ ἐξέφυγεν ὁ λόγος, πρὸς τὴν 'Εξ πρόθεσιν· μετ' αἰτιατικῆς δὲ, Μ' ἐξέφυγεν ὁ λόγος, κατὰ τὸ ('Ιλιάδ. Δ, 350),

—Ποῖόν ΣΕ ἔπος ΦΎΓΕΝ ἕρκος ὀδόντων;

—Στ. 6, Χρήσασθαι.] Ἴσ. γρ. Χρῆσθαι.—Στ. 17, Κοπρίων κόφινον κατὰ κεφαλῆς τοῦ Βίβλου κατεσκέδασε.] 'Εξ ΕΔ, ΑΤ, Κοπρίων κόφινον ἐκ κεφαλῆς κ. τ. λ.—Στ. 20, Εἰς πᾶν ἤδη ... *καὶ* κατ' ἀντίπραξιν οὐδὲν πολυπραγμονῶν κ. τ. λ.] 'Εξ ΗΔ, ΑΤ, Εἰς πᾶσαν ἤδη ... καὶ κατ' ἀντείσπραξιν οὐδὲν πολυπραγμονῶν. Τὸ μὲν πᾶσαν ἔτρεψα εἰς τὸ, Πᾶν, τὸ δὲ, Ἀντείσπραξιν (παραινεσάντων τοῦτο καὶ τῶν

ΠΡ) εἰς τὸ, Ἀντίπραξιν· περιήρηκα δὲ καὶ τὸν πρὸ τῆς προθέσεως σύνδεσμον. Ὁ νοῦς, Εἰς πᾶν ἔργον, ἢ πρᾶγμα, ἤδη χειροήθης αὐτοῖς ἐγεγόνει, οὐδὲν πολυπραγμονῶν, ὥστε ἀντιπράττειν καὶ ἐναντιοῦσθαι αὐτοῖς. Συνᾴδει δὲ τῇ διορθώσει καὶ ὁ A, se laissa mener par eulx à tout ce qu' ilz voulurent, et ne s' enquit plus de rien à l' encontre, καὶ ὁ 'Ιταλὸς μεταφραστὴς, divenne verso loro mansueto e obbediente in ogni cosa, non prendendo à contrastar nulla ad essi—Στ. 30, 'Εξέπεμψε.] Γράφε κατὰ παράτασιν, 'Ε ξ έ π ε μ π ε, ὥσπερ ἐξέφρασαν καὶ ὁ A καὶ ὁ 'Ιταλὸς μεταφραστής.

ΣΕΛΙΔ, 147, στ. 4, Γέροντι τῷ τρυφᾶν ἀωρότερον, κ. τ. λ.] Ἔπιθι τὰ ἀλλαχοῦ (Πλουτάρ. Μέρ. Γ, Λουκουλλ· § 38, σελ. 251) παραπλησίως εἰρημένα· —Στ, 11, Ἀπέστειλε.] ΔΓ, Ἀπέπεμψε·—Στ. 12, Αὐτῷ.] 'Εξ ΕΔ οἱ ΠΡ, ΑΤ, Α ὐ τ ο ῦ· φέρεται γὰρ πρὸς τὸν Κλώδιον.—Στ. 19. Προὔβαλλε.] ΔΓ (κακὴ) Προὔβαλε, — Στ. 20, Τίς ἀνὴρ ἄνδρα ζητεῖ.] Κίναιδον ἀποφῆναι τὸν Πομπήϊον ἐσπούδαζεν ὁ Κλώδιος· — Τίς ἑνὶ δακτύλῳ κνᾶται τὴν κεφαλήν.] Τῶν κιναίδων ἦν γνώρισμα καὶ τοῦτο, ὡς φησι καὶ 'Ιουβενάλιος (Σατυρ, 9, Στ. 133,) Περίεργοι γὰρ ὄντες περὶ τὴν τῶν τριχῶν τῆς κεφαλῆς εὐθέτησιν, ὥσπερ καὶ περὶ τὸν ἄλλον τοῦ σώματος καλλωπισμὸν, ηὐλαβοῦντο τὸ ὅλῃ τῇ χειρὶ κνᾶσθαι, ἵνα μὴ τὴν κόμην συγχέοιεν. Περὶ τῶν τοιούτων φησὶ καὶ Λουκιανὸς (Ῥητόρ. διδάσκ. § 11) «Πάγκαλον ἄνδρα, διασεσαλευμένον τὸ βάδισμα, ἐπικεκλασμένον τὸν αὐχένα, γυναικεῖον τὸ βλέμμα, μελιχρὸν τὸ φώνημα, μύρων ἀποπνέοντα, ΤΩ ΔΑΚΤΥΛΩ ἌΚΡΩ ΤΗΝ ΚΕΦΑΛΗΝ ΚΝΩΜΕΝΟΝ »— Στ. 23, Ἀπεκρίνοντο·] 'Εξ ΗΔ (συνᾳδούσης τοῖς μεταφρασταῖς), ΑΤ, Ἀπεκρίναντο.

ΣΕΛΙΔ. 148, στ. 20, Ἀναλαμβάνοντος.] 'Εξ ΕΔ, ΑΤ, Ἀ ν α λ α β ό ν τ ο ς.—Στ. 24, Στρατιᾶς.] 'Εξ ΗΔ (συνᾳδούσης τοῖς μεταφρασαῖ;), ΑΤ, Σ τ ρ α τ ε ί α ς.

ΣΕΛΙΔ 149, στ, 2, Χρηματισμούς.] Ὑπενόει τις τῶν ΠΡ οὐκ ἀπιθάνως γραπτέον εἶναι, Χ ρ η μ α τ ι σ μ ο ῦ· πρὸς τὸ Ὑ π ό θ ε σ ι ν.—Στ. 4, Μοχθηρία πεποίηκε πιθανὸν, ὡς ἄπιστον ἡ Πομπηΐου φύσις.] ΔΓ, Μοχθηρία πιθανὸν, ὡς ἄπιστον ἡ Πομπηΐου ποιεῖ φύσις. — Στ. 14, Τοῖς ἐκτὸς ἀνθρώποις·] Τῆς ἐκτὸς τῆς Ῥώμης.—Στ. 16, Ἀποῤῥοήν.] 'Εκ ΔΓ, ΑΤ, 'Επιῤῥοήν.—Στ. 19, Συνηρτῆσθαι Βέλγαις.] Πολεμεῖν Βέλγαις· καὶ σημειοῦ τὸ καινὸν τῆς μήπω καταχωρισθείσης ἐν τοῖς Λεξικοῖς μεταφορᾶς ταύτης, καθ' ὁμοιότητά τινα τοῦ Σ υ μ π λ έ κ ε σ θ α ι ἢ Σ υ ν ά π τ ε ι ν τ ο ῖ ς π ο λ ε μ ί ο ι ς. Τὰ γὰρ συνημμένα καὶ

συμπεπλεγμένα, λέγοιντ' ἂν πιθανῶς καὶ συνηρτημένα. — Στ. 21, Καταπολιτευόμενος τὸν Πομπήϊον,] ΔΓ, Καταπολιτευόμενος Πομπήϊον. — Στ. 24, Γυμνάζων διεπόνει.] ΔΓ, Γυμνάζων διετέλει.—Στ. 26, Τὸν ἐκ πολεμίων τοσοῦτον.] ΔΓ, Τὸν ἐκ πολεμίων τοσούτων· οὐ κακῶς, οἶμαι, ἐὰν, καὶ τὸ προηγούμενον τρέπων, γράφῃς, Τὸν ἐκ πολεμίων τοσούτων. —Στ. 29, Ὑπερβαλόντος] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ὑπερβάλλοντος·

ΣΕΛΙΔ. 150, στ. 1, Ἀμιλλωμένων καὶ φερομένων.] Ἀμιλλητικῶς πορευομένων πρὸς τὸν Καίσαρα. — Στ. 6, Μετιέναι . . ἐκείνους.] Τὸ μὲν ἐξ ΕΔ, τὸ δ' ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Μετεῖναι. . ἐκείνοις. — Στ, 10, Καίσαρι δὲ καί.] Περιττὸς ἔδοξέ μοι ὁ τελευταῖος τῶν συνδέσμων, ὃν παρέλιπον καὶ οἱ μεταφράσαντες.—Βεβαιοῦν.] ΔΓ, Βεβαιῶσαι—Στ· 13, Ἀποκρίνασθαι] Ἐκ ΔΓ, ΑΤ, Ἀποκρίνεσθαι. — Στ. 20, Πεινατικός.] Παρὰ μόνῳ ἴσως Πλουτάρχῳ ἡ λέξις· καὶ ἔοικε τὸ τῶν Ῥωμαίων Famelicus (ὃ τὰ ἀρχαῖα Λεξικὰ διὰ τοῦ Λιμόξηρος ἡρμήνευσαν) διὰ ταύτης ἐκφράσαι βουληθῆναι. Ἔστι δὲ ὁ συνεχεῖ πείνῃ πιεζόμενος, ὁ διὰ πενίαν λιμοκτονούμενος.— Στ. 27, Ἐνόπλους.] Ἐκ ΔΓ, ΑΤ, Ἐν ὅπλοις· —Στ. 28, Μὲν τὸν] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Μενίτιον.

ΣΕΛΙΔ. 151, στ. 4, Ἀντίαν.] ΔΓ (ἢ διόρθωσις) Οὐατίαν. — Στ. 17, Θαυμαστωθείς.] Θαυμασθείς, ἢ, Θαυμαστὸς κριθείς, παρὰ τὸ Θαυμαστόω τοῦ παρακμάζοντος ἑλληνισμοῦ ῥῆμα, ᾧ καὶ ἀλλαχοῦ (Περικλ. § 28, Μέρ. Α, σελ· 308) ἐχρήσατο Πλούταρχος. Πολλὴ δὲ ἡ λέξις καὶ παρὰ τοῖς Ἑβδομήκοντα, οἷον, « Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ (Ψαλ. » ρλή, 6) ».— Στ. 25, Ἄκρατον] Ἐκ ΔΓ, ΑΤ, Ἄκριτον. — Στ. 27, Φλῶραν.]Ἔπιθι τὰ ἀνωτέρω, (§ 2, σελ. 100). —Στ. 28, Εἰς χεῖρας τινῶν ἐλθόντων.] Ὥσπερ καὶ ἐν τῇ συνηθείᾳ, Ἦλθανεἰς τὰ χέρια, ἐπὶ τῶν μαχομένων, ἢ ἄλλως παλαιόντων. — Στ. 29, Ἤλλαξε τὰ ἱμάτια] Καὶ τοῦτο, πολὺ παρά τε τοῖς Ἑβδομήκοντα καὶ τοῖς Βυζαντινοῖς συγγραφεῦσιν ὂν, ἔσωσεν ἡ συνήθεια, Ἤλλαξε τὰ φορέματα, λέγουσα· ὅθεν καὶ Μίαν ἀλλαξίαν ἢ ἀλλαγὴν φορεμάτων φαμὲν, τὸ σύνολον τῶν ἀποχρόντων εἰς σκέπην τοῦ σώματος ἐσθημάτων, τῷ τῇ τῶν Γάλλων φωνῇ un habit comblet καλούμενον, ἐκ τῶν Ἑβδομήκοντα λαβόντες ἴσως τὰς ἀφορμάς· Τὸ γὰρ παρ' ἐκείνοις (Κριτ. ιδ', 13), « Τριάκοντα ἈΛΛΑΣ- » ΣΟΜΈΝΑΣ στολὰς ἱματίων » οὐδὲν ἕτερον σημαίνει ἢ τὸ παρ' ἡμῖν, Τριάκοντα Ἀλλαξίας, ἢ Ἀλλαγὰς φορεμάτων. Τοιοῦτόν ἐστι

καὶ τὸ (Γενέσ. μέ, 22) « Πέντε ἐξαλλασσούσας στολάς »· ὅπου ὁ Σύρος, Πέντε ζυγὰς ςολῶν, ἔφρασεν, ὥσπερ καὶ ἡ συνήθεια, καὶ τοῦτο σώσασα, Ζυγὴν φορεμάτων, λέγει, παρὰ τὸ ἀρχαῖον δηλονότι ἔθος, ἡνίκα ἡ τελεία τοῦ σώματος ἔσθησις ἐκ δύο συνέκειτο σκεπασμάτων, τοῦ ἱματίου καὶ τοῦ χιτῶνος.

ΣΕΛΙΔ. 152, στ. 4, Καίσαρα τοῦ Πομπηΐου.] ΔΓ, Καίσαρα Πομπηΐου. —Στ. 8, Δὲ Πομπηΐου.] ΔΓ, Δὲ τοῦ Πομπηΐου. — Στ. 9, Κατήνεγκεν]. ΔΓ, Ἀνήνεγκεν. — Στ. 12, Ἐκύμαινεν ἡ πόλις καὶ πάντα τὰ πράγματα σάλον εἶχε.] Ἀπὸ μεταφορᾶς τῆς θαλάσσης (ἴδ. ἀνωτέρ. σελ. 382), ἧ μεταφορᾷ καὶ Σοφοκλῆς ἐχρήσατο ἐπὶ ταραττομένης πόλεως, φήσας (Οἰδ. Τύρ. 22-24)·

Πόλις γὰρ, ὥσπερ καὐτὸς εἰσορᾷς, ἄγαν
Ἤδη ΣΑΛΕΥΕΙ, κἀνακουφίσαι κάρα
ΒΥΘΩΝ ἔτ' οὐχ οἵα τε φοινίου ΣΑΛΟΥ.

—Στ. 16, Καὶ τοῦτο κώλυμα ὄν.] Ὁ τοῦ Κράσσου θάνατος.— Στ. 22, Τὼ χεῖρέ τε ὑποκονίεται.] Τὰς χεῖράς τε κόνει πάσσει παλαιστοῦ δίκην. Ἡ δὲ ῥῆσις ἐξ ἀδήλου κωμικοῦ. — Στ. 24, Ὅπου τοσοῦτον. . . εὐρυχωρίας δυοῖν ἀνδροῖν οὐκ ἐπέσχεν.] Οὐκ ἔῤῥωται τὸ χωρίον. Διὸ οἱ μὲν τὴν λέξιν Φιλοτιμίαν, φιλονεικίαν, ἢ Ἔριν (πρὸς ἣν συνετάττετο τὸ Ἐπέσχεν) ἐξεῤῥυηκέναι τοῦ χωρίου ὑπετόπασαν· Ὁ δὲ Α καὶ ὁ Ἰταλὸς μεταφράστης ἀπὸ κοινοῦ λαβεῖν ἔγνωσαν τὸ προηγούμενον ἐπιθυμίαν, ὁ μὲν ἑρμηνεύσας convoitise, ὁ δὲ desiderio· ἄλλοι δὲ γράφειν παρῄνεσαν, Ὅπου τοσοῦτον... εὐρυχωρίᾳ δυοῖν ἀνδροῖν οὐκ ἐπήρκει. Ἴσως τρεπτέον τὸ Ἐπέσχεν εἰς τὸ Ἐπήρκεσεν, ἢ γοῦν εἰς τὸ συνώνυμον, Ἀπέχρησεν.

ΣΕΛΙΔ. 153, στ. 1, Εἶπέ ποτε.] Ἐξ ΕΔ, ΑΤ, Εἶπε τότε.— Στ. 5, Ταῖς πολιτικαῖς ἀρχαῖς.] Ταῖς κατ' αὐτὴν τὴν πόλιν, ἀντιδιεσταλμένως πρὸς τὰς στρατηγικάς. —Στ. 18, Μεσσάλας.] ΔΓ, Μεσάλας. Ἔπιθι τὰ ἀλλαχοῦ (Πλουτάρχ. Μέρ. Α, σελ. 434) περὶ τῆς γραφῆς ταύτης σημειωθέντα.— Στ. 29, Εἰσενηνεγμένη.] Ἐξ ΗΔ, ΑΤ, Εἰσενηνεγμένην.

ΣΕΛΙΔ. 154, στ. 5. Μεσοβασιλέως.] Ἔπιθι τὰ περὶ τῆς Μεσοβασιλείας ἀλλαχοῦ τῷ Πλουτάρχῳ (Μέρ. Α, σελ. 109. Νουμ. § 2), εἰρημένα, καὶ Διονύσιον Ἀλικαρνασσέα (Ῥωμαϊκ. ἀρχαιολογ. Β, 58, καὶ ΙΑ, 62). — Στ. 28, Ἔπειτα δέ.] Ἐξ ΗΔ (συνᾳδούσης τοῖς μεταφρασταῖς], ΑΤ, Ἐπεὶ δέ.

ΣΕΛΙΔ. 155, στ. 1, Προκαθημένου.] ΔΓ, Προσκαθημένου. — Στ. 3, Καὶ τριακοσίους.] Ἐξ ΗΔ ἡ περιαίρεσις τοῦ ἄρθρου.— Στ. 17. Τὰ δ' ἄλλα καλῶς ἅπαντα κατέστησεν εἰς τάξιν.] Παραπλήσιον τῷ ἐν τῇ συνηθείᾳ, Τὰ ἔβαλεν εἰς τάξιν.—Στ. 18, Προσείλετο.] Ἐκ ΔΓ, ΑΤ, Προείλετο.— Στ. 24, Ἡγεμονίας.] ΔΓ. Ἐλευθερίας. Καὶ δοκεῖ μὲν ἀμείνων εἶναι τῆς φερομένης, οὐ μὴν ἐστίν· ὡς ὀρθῶς καὶ οἱ ΠΡ ἐσημειώσαντο. Τὸ γὰρ, Ὑπὲρ τῆς ἡγεμονίας, ταυτὸν ὧδε δύναται τῷ, Ὑπὲρ τῆς ἀρχῆς αὐτῆς τῆς Ῥώμης, Ὑπὲρ τοῦ ἡγεμονεύειν τὴν Ῥώμην.—Στ. 25, Ἐν ᾧ.] ΔΓ, Ἐφ' ᾧ.

ΣΕΛΙΔ. 156, στ. 8, Καλῶς δωρησάμενος.] Σημείωσαι τὸ, Καλῶς, ἐπὶ τῆς σημασίας τοῦ ἀφθόνως, ἢ πλουσίως, ὥσπερ ἂν φαῖμεν καὶ ἐν ᾗ χρώμεθα φωνῇ, Τοὺς ἐφιλοδώρησε καλὰ, τὸ μὲν ἐπίῤῥημα εἰς τὴν οὐδετεροπληθυντικὴν ὀνοματικὴν κατάληξιν μεταποιοῦντες, ὡς καὶ τὰ πλεῖστα τῶν εἰς ως ἐπιῤῥημάτων, ἀντὶ δὲ τοῦ ἀρχαίου ἀποθετικοῦ ἁπλοῦ ῥήματος συνθέτῳ ἐνεργητικῷ, τῷ τῶν Βυζαντινῶν συγγραφέων, Φιλοδωρῶ, χρώμενοι, ὃ οὔπω κατεχωρίσθη ἐν τοῖς κοινοῖς Λεξικοῖς, καίπερ ὂν συγγενὲς τοῖς κατακεχωρισμένοις Φιλόδωρος, καὶ Φιλοδωρία, ὀνόμασιν. Οὐδ' αὐτὴ δὲ ἡ προειρημένη σημασία τοῦ ἐπιῤῥηματικοῦ, Καλὰ, σεσημείωται τοῖς Λεξικογράφοις, καίπερ οὖσα τῶν τετριμμένων· φαμὲν γὰρ, Ἔφαγα καλὰ, Τὸ ἔδεσα καλὰ, Σφίγξε τὸ καλὰ, ὁτὲ μὲν ἀντὶ τοῦ, Ἀφθόνως ἢ Λίαν, ὁτὲ δὲ καὶ ἀντὶ τοῦ Ἱκανῶς, χρώμενοι τῇ λέξει. Σημαίνει παρὰ ταῦτα τὸ Καλὰ καὶ τὸ παρὰ τοῖς ἀρχαίοις Ἐν δέοντι (ἐλλειπτικῶς τοῦ Καιρῷ) ἢ Εἰς δέον, ἢ Εἰς καλὸν (Γαλατιστὶ à propos), οἷον Καλὰ μὲ τὸ εἶπες, ἢ Καλὰ μὲ τὸ ἐνθύμισες, ὧν τῷ μὲν πρώτῳ παράλληλον τὸ τοῦ Σοφοκλέους (Οἰδ. Τύρ. 79),

Ἀλλ' εἰς καλὸν σύ τ' εἶπας, οἵδε τ' ἀρτίως·

θατέρῳ δὲ τὸ παρὰ Πλάτωνι (Ἱππ. Μείζ. σελ. 286) « Καὶ γάρ με εἰς καλὸν » ὑπέμνησας », ὁ Λόγγος (Ποιμενικ. Δ, σελ. 122), εἰ χρὴ καὶ Λόγγου μετὰ Πλάτωνα μνημονεῦσαι, ἐγγύτερον τῇ ἡμετέρᾳ φωνῇ ἐξέφρασε, « Καλῶς με ταῦτα, πάτερ, ἀνέμνησας ». Σημαίνει πρὸς τούτοις τὸ ἡμέτερον Καλὰ, τὸ παρὰ τοῖς ἀρχαίοις Εἶεν (Γαλ. soit). Ἡ δὲ χρῆσις αὐτοῦ παρ' ἡμῖν, ὥσπερ καὶ παρ' ἐκείνοις ἡ τοῦ Εἶεν, ἐν τοῖς διαλογικοῖς μάλιστα, οἷον πρὸς τὸν λέγοντά τι, συναινοῦντες μὲν τῷ λελεγμένῳ, ἕτερον δέ τι παρ' ἐκεῖνο μαθεῖν προθυμούμενοι, φαμὲν, Καλά! ἀλλὰ διὰ τί δὲν ἔκαμες καθὼς σὲ

τ ῖ π α; Τοῦ δὲ τοιούτου χρῆσις καὶ ὅταν ὀργιζόμενοί τῳ, κακῶς ἡμᾶς ποιήσαντι ἀντι ποιήσειν ἀπειλοῦμεν, ἢ γοῦν μηκέτι εὖ ποιήσειν δεόμενον ἀποφαινόμεθα. Καὶ παράδειγμα τούτου ὁ παρὰ τῷ Κωμικῷ (Ἀριςοφ. Βατρ. 532-533) Ξανθίας πρὸς τὸν τὴν σκευὴν ἀφαιρούμενον δεσπότην Διόνυσον ἀπειλητικῶς λέγων,

Ἀμέλει, ΚΑΛΩΣ· ἔχ' αὔτ. Ἴσως γάρτοι ποτὲ
Ἐμοῦ δεηθείης ἄν, εἰ θεὸς θέλοι,

τουτέστι, Μὴ σὲ μέλει, ΚΑΛΑ· ἔχε τὸ, καθὰ δεδήλωται ἐν τοῖς πρόσθεν (σελ. 372). Σημαίνει παρ' ἡμῖν τὸ Καλὰ πρὸς τούτοις καὶ τὸ Δίκαια, οἷον πρὸς τὸν φοβεῖσθαί τι λέγοντα, δικαίως ἂν αὐτὸν ἐμπεσεῖν εἰς ὃ φοβεῖται νομίζοντες φαμὲν, Καλὰ θέλεις πάθει (Γαλλ. vous aurez ce que vous méritez). Τοιοῦτόν ἐστι παρὰ τῷ Κωμικῷ (Θεσμοφορ. 86) ὁ Μνησίλοχος πρὸς Εὐριπίδην, περὶ τῆς παρὰ τῶν γυναικῶν ὅσον οὔπω μελλούσης ἐκδικήσεως περίφοβον ὄντα, καὶ δεινολογούμενον, φησί.

Νὴ τὸν Ποσειδῶ καὶ Δία, δίκαι' ἂν πάθοις.

Τούτου ἕτερόν ἐστι τὸ οὐ πρὸς τὸν παθεῖν μέλλοντα; ἀλλὰ πρὸς τὸν ἤδη πεπονθότα, ἀκαταλλήλως τῇ συντάξει, ἐπιφωνούμενον, Καλὰ νὰ πάθῃς (Γαλλ. Vous avez ce que vous avez mérité).— Στ. 15, Τοὺς δ'... οὐδεὶς ἐχώρει τόπος.] Ὥσπερ καὶ ἐν τῇ συνηθείᾳ, Δὲν τοὺς ἐχώρει κανένας τόπος. Εἴρηκε δὲ καὶ Θουκυδίδης (Β, 17), « Οὐ γὰρ ἐχώρησε ξυνελθόντας αὐτοὺς ἡ πόλις ». Χρώμεθα τῷ Χωρῶ καὶ ἐπὶ σκευῶν ἢ ἀγγείων, σημῆναι βουλόμενοι τὸ ποσὸν ὧν οἷά τε δέξασθαι πραγμάτων, οἷον, Τὸ ςαμνίον χωρεῖ ἑπτὰ βωκάλια, τῆς ἀρχαίας ὂν χρήσεως καὶ τοῦτο.

________________________ Ῥυτὸν
Δίκρουνον, ἡλίκον τι τρεῖς χωρεῖν χόας.

φησὶν ὁ κωμικὸς Δαμόξενος (παρ' Ἀθην. ΙΑ, σελ. 469). Φαμὲν δὲ καὶ παροιμιωδῶς ἐπὶ τοῦ δι' ἡδονὴν, ἢ οἴησιν, ἀμέτρως ἐπαιρομένου καὶ γαυριῶντος, Δὲν τὸν χωροῦν τὰ φορέματά του. — Στ. 27, Ῥᾷον.] ΠΡΔ, ΑΤ, Ῥᾴδιον.—Στ. 29, Ἐξεφλαύρισε.] Γραπτέον, οἶμαι, κατὰ παράτασιν, Ἐξεφλαύριζε. Ἔστι δὲ, φλαύρας καὶ μικρὰς ἔλεγεν εἶναι.

ΣΕΛΙΔ. 157, στ. 10, Διακεχυμένος.] Ἡσύχιος, « Διαχέομαι, ἥδομαι,

χαίρω ». — Ἐκέλευσεν.] Κατ' ἀόριστον καὶ οἱ μεταφρασταί· ἴσως μέντοι ἐν παρατάσει ἐγέγραπτο, Ἐκέλευεν.

ΣΕΛΙΔ. 157, Στ. 18, Μεταβαλόμενος.] Ἐξ ΗΔ, ΑΤ, Μεταβαλλόμενος. Ἔστι γὰρ Μεταβαλὼν (οὐ Μεταβάλλων) ἑαυτόν.—Ἀμηχάνῳ πλήθει δανείων ἐλευθερωθείς.] Ἐλατίνισεν ὧδε ὁ Πλούταρχος, δέον φάναι Ἀμηχάνου πλήθους δανείων ἐλευθερωθείς. Τὸ δὲ, Δανείων, ὀφλημάτων, χρεῶν, ὥσπερ ἐξηγεῖται Ἡσύχιος. Ἔστι καὶ ἐν τῇ παρ' ἡμῖν συνηθείᾳ καὶ τὸ Δάνειον, καὶ τὸ Δανικὸν, καθὰ δηλεῖ καὶ τὸ παροιμιαζόμενον « Δανικὰ καὶ ἀγύριστα ».

ΣΕΛΙΔ. 158, στ. 10, Λαμπρὸς... ἐξήλατο.] Ἔπιθι τὰ ἀλλαχοῦ (Πλουτάρχ. Μέρ. Β, σελ. 461) περὶ τῆς φράσεως ταύτης σεσημειωμένα. —Στ. 11, Ἀνθῶν.] ΔΓ, Ἀνθέων· ἵνα μὴ συνεμπέσῃ δηλονότι τῷ, Ἀνθ' ὧν. — Δεξαμένων.] Καλῶς ἔχει ἡ γραφὴ, οὐδὲ μεταποιητέα οὔτ' εἰς τὸ, Δεξάμενον, ὥς τινες, οὔτ' εἰς τὸ, Δεξιούμενον, ὡς ἕτεροι παρήνεσαν. —Στ. 17, Μετεβάλοντο.] ΔΓ, (ἣν μηδὲν δέον προείλοντο οἱ ΠΡ), Μετεβάλλοντο.—Στ. 24, Γλίσχρως.] Βραδέως καὶ πεφεισμένως.

ΣΕΛΙΔ. 159, στ. 2, Στρατείαν.] Οὕτω παρ' ἅπασι κακῶς· γράφε, Στρατιάν.— Στ. 5, Θάτερον.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Θατέραν. Ἐκεῖνο μὲν γὰρ οὐδετέρως πρὸς τὸ, Τάγμα· τὸ δὲ, Θατέραν πρὸς τῷ μὴ ἔχειν ᾧ συναφθῇ, ἐστὶ καὶ βάρβαρον (Ἰδ. Πίνακα Ἡλιοδώρου, ἡμετέρ. ἐκδ. λέξ. Θάτερος).—Στ. 8, Ἀπηγγέλλετο.] ΔΓ (ἴσως γνησία) Ἀπαγγέλλεται.—Στ. 17, Αὐτὸς ἄρα πρὸς ἑαυτὸν συλλογιζόμενος κ.τ.λ.] Οὐδεὶς τῶν μεταφραστῶν ἐξέφρασε τὸ Ἄρα, ὥσπερ ἂν εἰ πλεοναστικὸν, ἢ καθά φασιν οἱ Γραμματικοὶ, παραπληρωματικὸν ἦν μόριον. Ἀλλ' ὅμως σημαίνει τὸ ἐν τῇ συνηθείᾳ, Ὡς φαίνεται. Ἀλλαχοῦ δὲ ἰσοδυναμεῖ καὶ τῷ, Ἴσως, ἐν μέσῳ τιθέμενον (ὥσπερ ἐνθάδε) τῆς φράσεως.—Στ. 19, Μύσας τῷ λογισμῷ.] Τὴν παρακεκινδυνευμένην ταύτην μεταφορὰν ὁ μὲν Ἰταλὸς μεταφραστὴς διὰ τοῦ chiusi avendo gli occhi alle riflessioni della raggione ἡρμήνευσεν, ὁ δ' Α συντομώτερον καὶ κομψότερον, fermant la houche à la raison. Τὸ γὰρ Μύειν, καὶ ἐπὶ στόματος καὶ ἐπὶ ὀμμάτων λέγεται—Στ. 25, Συνέτρεχε.] ΔΓ, Συνέτρεχον.—Στ. 26, Στρατιᾶς.] Ἐξ ΗΔ, ΑΤ, Στρατείας.—Στ. 28, Νομίζει δὲ καὶ τούς.] Ἐκ ΔΓ προσέθηκα τὸν δεύτερον τῶν συνδέσμων.

ΣΕΛΙΔ. 160, στ. 1, Ἀποστέλλειν.] ΔΓ, Πέμπειν.—Στ. 4, Ἀνακαλούμενον.]

ΠΡΔ, ΑΤ, Ἀνακαλούμενος. Πρὸς γὰρ τὸν Πομπήϊον· ἔστι δὲ ἐκ τῆς γῆς καλοῦντα, καὶ ἀναδύεσθαι κελεύοντα.—Στ. 11, Οὗτος μὲν οὖν.] Ὁ Κάτων.—Στ. 13, Εἰς ἃς ἐκληρώθη.] Ἐξ ΗΔ ἡ τῆς προθέσεως προσθήκη.—Στ. 18, Τοῖς ἄρχουσιν.] Ἐξ ΕΔ (συνᾳδούσης τῷ Α) προστέθειται τὸ ἄρθρον.—Στ. 19, Οὐδ' εἴασέ τις χρῆσθαι.] Ἴσως γραπτέον, Οὐδ' εἶα τις χρῆσθαι, κατὰ παράτασιν, ἢ Οὐδ' εἰασέ τις χρήσασθαι, ὥσπερ ἐρεῖ περὶ αὐτοῦ τούτου κατωτέρω (Καίσαρ. § 33, σελ. 296).—Στ. 21, Ἐνεπίμπλη.] ΔΓ, Ἀνεπίμπλει (γραπτέον Ἀνεπίμπλη).—Στ. 29, Παρ' αὐτὰ τὰ δεινά.] Ἐκ ΔΓ οἱ ΠΡ προσέθηκαν τὸ ἄρθρον.—Ζηλωτὸς ὁ ἀνήρ.] ΔΤ, Ζηλωτὸς ἀνήρ.

ΣΕΛΙΔ. 161, στ. 6, Τῶν δὲ δημάρχων.] Διωρθώκασιν οἱ ΠΡ τὸ τυπογραφικὸν τῆς Στεφανείου ἐκδόσεως ἁμάρτημα, Τῶν δὲ δημάρχων, ὃ μὴ συνιδὼν ὁ Πόρτος, τρέπειν παρῄνει εἰς τό, Τῷ δὲ δημάρχῳ.—Στ. 7, Ταμιείου.] Ἐξ ΗΔ, ΑΤ, Ταμείου. Οὕτω γὰρ τετρασυλλάβως καὶ κατωτέρω (Καίσαρ. § 35, σελ. 298), ταὐτὰ ταῦθ' ἱστορῶν.—Στ. 8, Ὡς τὸ φῆσαι.] ΔΓ, Οὐ τὸ φῆσαι. Προέχει ἡ ἐκδεδομένη γραφή, Ὡς τὸ φῆσαι, ὡς μᾶλλον συνᾴδουσα τοῖς κατωτέρω (Καίσαρ. § 35, σελ. 298) ῥηθησομένοις περὶ αὐτοῦ τούτου. — Στ. 9, Ἢ τὸ πρᾶξαι.] Ἐξ ΕΔ προσέθηκα τὸ ἄρθρον. —Στ. 13, Σπείρας τριάκοντα.] Τάγμα στρατιωτικὸν ἡ Σπεῖρα, cohors Ῥωμαίοις καλουμένη, δέκατον οὖσα μέρος τῆς λεγομένης Λεγεῶνος (Ῥωμ. Legio), καὶ εἰ μὲν ἡ Λεγεὼν ἐξ ἑξακισχιλίων ἦν (ὥσπερ ἦν ὅτε καὶ ἦν) στρατιωτῶν, εἶχεν ἑκάστη τῶν σπειρῶν ἑξακοσίους, ὡς συγκεφαλαιοῦσθαι τὰς ἐπὶ τοῦ παρόντος χωρίου τριάκοντα σπείρας εἰς ὀκτωκαίδεκα χιλιάδας στρατευομένων· εἰ δ' ἐξ ἐλαττόνων, ἐλάττους.—Στ. 18, Ἀνέσκαψε τὴν πόλιν.] ΔΓ, Τὴν πόλιν ἀνέσκαψε.—Στ. 19, Διετάφρευσε.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Διετάφρευε.— Στενωπούς.] Ἐξηγησάμεθα τὴν λέξιν ἀλλαχοῦ (Πλουτάρχ. Μέρ Α, σελ. 424.— Στ. 26, Περιπετὴς γενέσθαι.] Ποιητικώτερον ἐξέφρασεν, ἀντὶ τοῦ ἁπλουστέρου Περιπεσεῖν· (Σοφοκλ. Ἀντιγ. 1223)·

Τὸν δ' ἀμφὶ μέσσῃ περιπετῆ προσκείμενον.

Μεταφορικῶς δὲ καὶ Περιπτυχὴς (ἀπὸ τοῦ Περιπτύσσεσθαι) ὁ περιπίπτων τινὶ εἴρηται (Σοφοκλ. Αἴαντ. 898),

Αἴας ὅδ' ἡμῖν ἀρτίως νεοσφαγὴς
Κεῖται, κρυφαίῳ φασγάνῳ περιπτυχής.

ΣΕΛΙΔ. 162, στ. 4, Αἰτιᾶται δὲ καὶ Κικέρων.] ΠΡΔ ἡ προσθήκη τοῦ πρώτου συνδέσμου.—Τὴν Θεμιστοκλέους.] Τοῦ ἐκλιπεῖν Ἀθηναίους τὴν πόλιν, καὶ τὸν κίνδυνον ἐν ταῖς ναυσὶν ὑποστῆναι ποιήσαντος. Τοῦτον γὰρ μιμεῖσθαι Πομπήϊος ἔλεγεν, ὡς δῆλον ἐκ τῶν κατωτέρω (σελ. 183). Λέγει δὲ ταῦτα ὁ Κικέρων ἐν ταῖς πρὸς τὸν Ἀττικὸν ἐπιστολαῖς (Βιβλ. Ζ, ἐπιστ. 11), Nihil absurdius. Urbem tu relinquas? ergo idem, si Galli venirent. Non est, inquit, in parietibus respublica, at in aris et focis; fecit idem Themistocles... At idem Pericles non fecit, etc.—Στ. 5, Τὴν Περικλέους.] Τοῦ ἐντὸς τειχῶν τοὺς Ἀθηναίους κατασχόντος ἐν τῷ Πελοποννησιακῷ πολέμῳ. — Στ. 6, Τούτοις ὁμοίων ὄντων.] Τοῖς ἐπὶ τοῦ Περικλέους.—Οὐκ ἐκείνοις.] Τοῖς ἐπὶ τοῦ Θεμιστοκλέους. — Ἐδήλωσε δὲ Καῖσαρ.] Γραπτέον μετὰ διπλοῦ τοῦ συνδέσμου, Ἐδήλωσε δὲ καὶ Καῖσαρ, ὥσπερ ἐξέφρασεν ὁ Α.—Στ 10, Ὁ μὲν ἡμέραις.] ΔΓ (ἡ διόρθωσις), Ὁ μὲν ἐν ἡμέραις.—Στ. 25, Θέοντι τῷ ἵππῳ.] ΔΓ, Θέοντος τοῦ ἵππου. Ἀλλὰ καλῶς ἔχει καὶ ἡ δοτική, ἡ λατινίσαντος τοῦ Πλουτάρχου (ἴδ. ἀνωτέρ. σελ. 388), ὡς καὶ πρὸ ἡμῶν σεσημείωται, ἢ καὶ ἐλλειπτικῶς τῆς, Ἐπὶ, προθέσεως ἐξενεγκόντος.—Στ. 30, Λαβιηνός.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Λαβιῶν.

ΣΕΛΙΔ. 163, στ. 11, Καὶ δύναμιν.] ΔΓ, Καὶ παρὰ δύναμιν.—Στ. 24, Βρεντέσιον.] ΔΓ, Βρεντήσιον. Οὕτως καὶ ὁ Βυζάντιος Στέφανος διὰ τοῦ η. Ὁ δὲ Στράβων ἀμφοτέρως καὶ Βρεντέσιον καὶ Βρεντήσιον. Ἔστι δὲ τὸ τοῖς Ῥωμαίοις καλούμενον Brundusium καὶ Brundisium, τοῖς δὲ νῦν Ἰταλοῖς Brindisi.—Στ. 26, Ὤρικον.] Οὕτω καὶ ἐν τῷ Καίσαρος βίῳ (§ 37, σελ. 299), προπαροξυτόνως, καθὰ φέρεται καὶ παρὰ τῷ Ἀππιανῷ (Ῥωμ. ἐμφυλ. Β, 54), ὃς καὶ θηλυκῶς τῆς Ἠπειρωτικῆς ταύτης πόλεως τοὔνομα γράφει (Ἡ Ὤρικος). Ὁ μέντοι Στέφανος ὁ Βυζάντιος ἀρσενικῶς καὶ ὀξυτόνως, ἐκ τοῦ Πολυβίου παρειληφώς, Τὸν Ὠρικὸν, καλεῖ. Εἰσὶ δ' οἳ (Δίων Κάσσ. μά, 45) καὶ ῥωμαΐζοντες, Τὸ Ὠρικὸν (Oricum), οὐδετέρως ὠνόμασαν. — Ἰούβιον.] Οὐϊβούλλιος (Vibullius) οὗτος ὀνομάζεται παρὰ τῷ Καίσαρι (Ἐμφυλ. πολέμ. Α, 13, 25, καὶ 34) ᾧ κατηκολούθησε καὶ ὁ Ἰταλὸς μεταφραστὴς Vibullio γράψας. Οὐ τοῦτον μέντοι πρὸς Πομπήϊον ἀπεσταλκέναι φησὶν ὁ Καῖσαρ περὶ διαλύσεως, ἀλλὰ Γναῖον Μάγιον (Ἐμφυλ. Α, 24).—Στ. 29, Ἡμέρᾳ ῥητῇ.] Ἐξ ΕΔ, ΑΤ, Ἡμέρᾳ τρίτῃ.

ΣΕΛΙΔ. 164, στ. 3, Ἔχοντας.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ἔχοντα.—Στ. 5, Στρατιάν.] ΔΓ (κακῶ) Στρατείαν.—Στ. 6, Δυσχωρίαις.] Γραπτέον, οἶμαι, Δυσχω-

ρείαις. Συγχέουσι γὰρ οὐκ ὀλιγάκις οἱ ἀντιγραφεῖς τὰς δύο ταύτας λέξεις (ἴδ. Ἰσοκράτ. Μέρ Β, σελ. 98).—Στ. 20, Νικᾶν μετ' ἀλλήλων.] Πρὸς τὸ Πλάνας καὶ Μεταβάσεις, ὥσπερ ἂν εἰ ἔλεγε, Νικᾶν ἀθρόους καὶ ἐν ταυτῷ μένοντας, οὐκ ἄλλους ἄλλοσε πλανωμένους καὶ χωριζομένους ἀπ' ἀλλήλων.—Στ. 24, Παρῆγε.] Ἠπάτα, κεναῖς ἐλπίσιν ἐπαιδαγώγει, ἢ, ὥσπερ ἂν φαίη Γάλλος ἀνὴρ, amusoit. Τοῦτο γὰρ πολλάκις σημαίνει καὶ παρ' ἐκείνοις τὸ amuser. Ἡσύχιος· «Παρήγαγεν ... ἠπάτησεν».

ΣΕΛΙΔ. 165, στ. 15, Κήδεσθαι.] Λάμβανε ἀπὸ κοινοῦ τὸ, Ἡγεῖτο.—Τὸν ἀπωτάτω πολεμοῦντα.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Τῶν ἀπωτάτω πολεμούντων.—Στ. 20, Καὶ γὰρ ἄλλως.] Καὶ δι' ἄλλα γὰρ, τουτέστι, Καὶ δι' ἄλλας αἰτίας.— Στ. 23, Πρὸς μηδέν.] Ἐξ ΕΔ προσέθηκαν τὴν πρόθεσιν οἱ ΠΡ. — Στ. 24, Πορευόμενον.] Τὸν Πομπήϊον.—Στ. 30, Τοῖς ἀξιοῦσι τῆς οἰκουμένης ἄρχειν.] Τῷ Ῥωμαίων δήμῳ.

ΣΕΛΙΔ. 166, στ. 2, Αἰνόβαρβος.] Ῥωμαϊστὶ, Ænobarbus, ὃ σημαίνει εἰς τὴν Ἑλληνίδα μεταφερόμενον φωνὴν Χαλκοπώγων. Ἡ δὲ ἐπίκλησις, διὰ τὸ χαλκῷ προσεμφερὲς τῶν γενείων χρῶμα. — Στ. 5, Τῆτες.] Τούτῳ τῷ ἔτει· ὁ Δωριεὺς Σῆτες λέγουσιν (ὡς καὶ τὸ Τήμερον, Σήμερον), ἡμεῖς δὲ νῦν, Ἐφέτος παρὰ τὸ Ἐπ' ἔτος, ὡς καὶ Μεθαύριον, τὸ Μετ' αὔριον. — Στ. 8, Πῶς πρὸς τὸν ἔμπορον τῶν ἐπαρχιῶν οὐ μάχονται.] Σαφέστερά σοι ἔσται τὰ λεγόμενα, παραβάλλοντι τοῖς εἰρημένοις ἐν τῷ κατωτέρω παραλλήλῳ χωρίῳ (Καίσαρ. § 41, σελ. 303). —Στ. 11, Ἐξεβιάσαντο καὶ συνεπεσπάσαντο.] Ἐκ ΔΓ προσέθηκα τὰς τελευταίας δύο λέξεις· ὧν τῇ γνησιότητι μαρτυρεῖ πως καὶ τὸ κατωτέρω (§ 71, σελ. 170) Ἐξώρμησε καὶ συνεπεσπάσατο.— Στ. 16, Ἐπῄνει αὐτὸς δὲ τῷ νοσοῦντι τῆς στρατιᾶς ἐνέδωκε.] Ἐξ ΗΔ (συνᾳδούσης τοῖς μεταφρασταῖς) ΑΤ, Ἐπῄνεσεν, αὐτὸς δὲ τῷ νοσοῦντι τῆς στρατηγίας ἐνέδωκε. — Στ. 19, Σπινθῆρι δὲ καὶ Δομιτίῳ καὶ Σκιπίωνι περὶ τῆς Καίσαρος ἀρχιερωσύνης ἔριδες ἦσαν καὶ φιλονεικίαι, καὶ δεξιώσεις.] Ἔριδες μὲν καὶ φιλονεικίαι πρὸς ἀλλήλους, δεξιώσεις δὲ πρὸς τοὺς ὧν ἔχρῃζον τῆς ψήφου. Ἔστι γὰρ τὸ, Δεξίωσις ἐνταῦθα συνώνυμον τῷ, Παραγγελία, κατὰ ζῆλον τοῦ Ῥωμαϊκοῦ Prensatio· ἐδέοντο γὰρ οἱ παραγγέλλοντες ἀσπαζόμενοι τῶν δημοτικῶν οἷς ἐνετύγχανον καὶ τῆς δεξιᾶς λαμβανόμενοι. Καὶ ὁ μὲν Σπινθὴρ παρήγγελλεν ἐπὶ τὴν Καίσαρος ἀρχιερωσύνην, ἑαυτῷ προσήκειν λέγων ὡς πρεσβυτέρῳ, ὁ δὲ Δομίτιος, ὡς ἐν ἀξιώσει μείζονι ὢν, ὁ δὲ Σκιπίων, ὡς συγγενὴς ὑπάρχων τοῦ Πομπηΐου,

καθὰ μαθεῖν ἐστι παρ' αὐτοῦ τοῦ Καίσαρος (Ἐμφυλ. Γ, 83.) — Στ. 22, Ναβαταίων.] Ἔθνος τῶν Εὐδαιμόνων Ἀράβων, ὥς φησιν ὁ Βυζάντιος Στέφανος (λέξ· Ναβαταῖοι). — Στ. 23, Ἡ χιλίας.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἢ χιλίας.

ΣΕΛΙΔ. 167, στ. 5, Ἱερόν.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ἱερά. — Στ. 12, Ἐπὶ τὸ Πομπηΐου.] ΠΡΔ ἡ τοῦ ἄρθρου προσθήκη. — Καὶ τοῦτ' ἰδεῖν φησι Καῖσαρ αὐτὸς, ἐπιὼν τὰς φυλακάς.] Οὐκ ἀλόγως ὑπετόπασέ τις τῶν ΠΡ γεγράφθαι πάλαι, Καὶ τοῦτ' ἰδεῖν φασι Καίσαρα αὐτὸν, ἐπιόντα τὰς φυλακάς· διὰ τὸ μηδαμοῦ τῶν Ὑπομνημάτων τοιοῦτόν τι ἱστορηκέναι τὸν Καίσαρα. Ἐνδέχεται μέντοι μὴ τοῖς ἀντιγραφεῦσιν, ἀλλ' αὐτῷ Πλουτάρχῳ ἡμαρτῆσθαι τὸ λεγόμενον. — Στ. 14, Πρὸς Σκοτοῦσαν.] Ἐξ ΗΔ καθὰ καὶ ἀλλαχοῦ (Πλουτάρχ. Μέρ. Β, Πίνακ. λέξ. Σκοτοῦσσα) γεγράφαμεν, καὶ καθὰ φέρεται καὶ ἐν τῷ Καίσαρ. βίῳ (§ 43, σελ. 304). Ἐγράφετο, Πρὸ Σκότους, ὃ διορθώσαντές τινες ἔτρεψαν εἰς τὸ, Πρὸς Σκοτοῦσαν· ὧν παρειληφότες οἱ ΠΡ, γεγράφασι παροξυτόνως Πρὸς Σκότουσαν. — Στ. 27, Καθίστατο.] ΔΓ, Καθίσαντο. — Στ. 30, Καλβίνῳ Λευκίῳ.] Κατωτέρω δὲ (Καίσαρ. § 44, σελ. 305) Καλβῖνον Δομίτιον τοῦτον ὀνομάζει Πλούταρχος. Αὐτὸς δὲ Καῖσαρ ἐν τοῖς Ὑπομνήμασιν (Ἐμφυλ. Πολέμ. Γ, 89) Γναῖον Δομίτιον καλεῖ, τὸν αὐτὸν ἴσως ὄντα τῷ ἐν τοῖς αὐτοῖς Ὑπομνήμασι (Γ, 34) Γναίῳ Δομιτίῳ Καλβίνῳ κεκλημένῳ. — Λεύκιος Δομίτιος.] Δομίτιον ἁπλῶς ὀνομάζει τοῦτον κατωτέρω (Καίσαρ. § 44, σελ. 305).

ΣΕΛΙΔ. 168, στ. 7, Ἀπὸ τῶν ἐπιταγμάτων.] Ἀπὸ τῆς ἐσχάτης τάξεως ὡς δηλοῦται ἐκ τοῦ κατωτέρω παραλλήλου χωρίου (Καίσαρ. § μδ', σελ. 305). — Στ. 22, Ὁ δὲ Καῖσαρ αἰτιᾶται τὸ στρατήγημα τοῦτο κ. τ. λ.] Ἐν τοῖς Ὑπομνήμασιν (Ἐμφυλ. πολέμ. Γ, 92) οὑτωσὶ λέγων, Quod nobis quidem nulla ratione factum à Pompejo videtur: propterea quod est quaedam animi incitatio atque alacritas naturaliter innata omnibus, quae studio pugnae incenditur; hanc non reprimere, sed augere imperatores debent. Neque frustra antiquitus institutum est, ut signa untique concinerent, clamoremque universi tollerent: quibus rebus et hostes terreri, et suos incitari existimaverunt — Στ. 28, Πρὸς δισμυρίοις.] Ἐξ ΗΔ. ΑΤ, Πρὸς δισμυρίους. — Στ. 30, Δεδομένου.] Ἐξ ΗΔ, (συναδούσης τοῖς μεταφρασταῖς), ΑΤ, Διδομένου.

ΣΕΛΙΔ. 169, στ. 2, Τὸ καθ' αὐτόν.] ΠΡΔ ἡ τοῦ ἄρθρου προσθήκη. — Στ. 5, Ὅπου φέρουσα τὴν ἡγεμονίαν ἐξέθηκεν.] Παρῄνει τις τῶν ΠΡ τρέ-

πειν τὸ, Ἐξέθηκεν, εἰς τὸ, Ἐξώθηκεν, πιθανῶς μὲν, οὐκ ἀληθῶς δέ. Ἔστι γὰρ ἐνθάδε τὸ Ἐξέθηκεν ταὐτὸν, τῷ παρὰ τοῖς Γάλλοις exposer, ὃ σημαίνει τὸ ἐμβάλλειν εἰς κίνδυνον. — Στ. 11, Ἦν δ' ἔτι τροπαίων κ. τ. λ.] Ἐξ ΕΔ (συναδούσης τῷ Α) οἱ ΠΡ, ΑΤ, Ἦν δέ τι. Τὸ δ' ἑξῆς, Ἦν δ' ἔτι, διψῶντας τροπαίων καὶ θριάμβων, καὶ τῷ τούτων ἔρωτι βουλομένους χαρίζεσθαι, ἐμπίπλασθαι Παρθικῶν πολέμων, ἢ Γερμανικῶν. — Στ. 14, Καὶ πρόφασις οὐκ ἄδοξος κ. τ. λ.] Καὶ ἐπὶ τοὺς βαρβάρους στρατευόμενοι, εἶχον ἂν πρόφασιν ἔνδοξον ταύτην, ὅτι ἡμερῶσαι αὐτοὺς ἐβούλοντο. — Στ. 20, Μαχούμενοι συνῄεσαν.] Ἐξ ΗΔ, ΑΤ, Μαχόμενοι συνῆσαν. — Στ. 28, Κρασσιανός.] Κρασσίνιον κατωτέρω (Καίσαρ. § μδ', σελ. 305) τοῦτον ὀνομάζει Πλούταρχος, οὐδέτερον ὀρθῶς· αὐτὸς γὰρ Καῖσαρ (Ἐμφ. πολέμ. Γ, 91) Κράστινον τὸν ἄνδρα καλεῖ. Καὶ ἴσως ἔγραψε Πλούταρχος, Κραστίνιος, μόνῳ τῷ δευτέρῳ πλεονάσας.

ΣΕΛΙΔ. 170, στ. 2, Νικήσεις λαμπρῶς, ὦ Καῖσαρ κ. τ. λ.] Νικήσομεν, ἀντὶ τοῦ Νικήσεις, ἐρεῖ κατωτέρω (Καίσαρ. § μδ'. σελ. 305) Πλούταρχος. Ἀππιανὸς δὲ (Ῥωμ. ἐμφυλ. Β, 82) οὕτω τὸ ὅλον ἐξήνεγκεν, «Νικήσομεν, ὦ Καῖσαρ· κἀμὲ ἢ ζῶντα, ἢ νεκρὸν ἀποδέξῃ». Αὐτὸς δὲ Καῖσαρ ἐν τοῖς Ὑπομνήμασιν (Ἐμφυλ. πολέμ. Γ, 91), ταῦτα παράγει τὸν Κράστινον λέγοντα, Faciam hodie, imperator, ut aut vivo mihi, aut mortuo, gratias agas. — Στ. 8. Ἀ ασχεῖν.] Ἐξ ΗΔ συναδούσης τοῖς ἐν τοῖς ἑξῆς (Καίσαρ. § μδ', σελ. 306), ΑΤ, Ἐνσχεῖν. Ἔστι δὲ τὸ Ἀνασχεῖν, Ἀναφανῆναι, προκύψαι, εἰς τὸ ἔξω προελθεῖν. — Στ. 12, Οὐλαμούς.] Οὐλαμοὺς ἐνθάδε λέγει, οὓς Ἴλας ἐν τοῖς ἑξῆς (Καίσαρ. § μέ, σελ. 306) ὀνομάζει. Καὶ τὸν μὲν Οὐλαμὸν, «τάξιν στρατιωτικὴν», τὴν Ἴλην δὲ, «ὄχλου συστροφὴν ἐν τάξει ἱππικῇ» ἐξηγεῖται Ἡσύχιος. — Στ. 14, Ἐμβαλοῦντες.] Ἐξ ΕΔ, ΑΤ, Ἐμβαλόντες — Τὸ σημεῖον.] Οἱ ΠΡ προσέθηκαν τὸ ἄρθρον. — Στ. 17, Ὑπαντιάζουσι τοὺς πολεμίους.] Γραπτέον, οἶμαι, Ὑπαντιάζουσι τοῖς πολεμίοις. Τοῦτο γὰρ μόνον παρατίθεται Πλουτάρχου τὸ χωρίον ὁ Στέφανος (Θησαυρ. Ἑλλ. Γλ. Α, σελ. 363) μαρτύριον τῆς πρὸς αἰτιατικὴν τοῦ Ὑπαντιάζω συντάξεως· πλὴν εἰ μή τις διὰ τὸ παρ' Ἡροδότῳ ἁπλοῦν Ἀντιάζω, αἰτιατικῇ συνημμένον, καὶ τοῦτο καλῶς ἔχειν ἡγοῖτο. — Παριστάμενοι καθ' ἵππον.] Ἐξ ΗΔ, ΑΤ, Παριστάμενοι καθ' ἵππων· ἀνθ' οὗ οἱ ΠΡ ἔγραψαν διορθοῦντες οὐκ ἐπιτυχῶς, Παριστάμενοι καθ' ἱππέων. Δύναται δὲ τὸ ἡμέτερον,

Παριστάμενοι ἄλλος κατ' ἄλλον ἵππον, προσπελάζοντες ἄλλος ἄλλῳ ἵππῳ, τὰ πρόσωπα τῶν ἐπικαθημένων ἔτυπτον· ὅπερ Ἀππιανὸς (Ῥωμ. ἐμφυλ. Β, 78) οὕτως ἐξέφρασεν, « Οἱ μὲν, ἐξαναστάντες, εἰς τοὺς ἵππους ἐχώρουν, » ὀρθοῖς ἄνω τοῖς δόρασιν ἐς τὰ πρόσωπα τύπτοντες τοὺς ἐπικαθημένους ». Ἀπορίας δ' ἄξιον, ὅτι τὸ Πλουτάρχῳ, καὶ Ἀππιανῷ, καὶ Πολυαίνῳ (Στρατηγημ. Η, κγ', 25, σελ. 270) ἱστορούμενον στρατήγημα τοῦτο, παρεσιώπησεν ὁ Καῖσαρ αὐτὸς ἐν τοῖς Ὑπομνήμασιν. — Στ. 20, Μὴ προσδοκήσαντες.] Ἐκ ΔΓ, ΑΤ, Μηδὲ προσδοκήσαντες. —Στ. 25, Περιδρομήν.] ΔΓ, Ἐπιδρομήν.

ΣΕΛΙΔ. 171, στ. 5, Ζεὺς δὲ πατὴρ κ. τ. λ.] Ἐκ τῆς Λ ῥαψῳδίας τῆς Ἰλιάδος (στίχ. 544-546).— Στ. 7, Ἀφ' ὁμίλου.] ΔΓ, Ἐφ' ὁμίλου, συνᾴδουσα τοῖς ἐκδεδομένοις Ὁμήρου ποιήμασιν. Ἀλλ' ἔστι τὸ, Ἀφ' ὁμίλου, ἢ μνημονικὸν Πλουτάρχου ἁμάρτημα, ἢ παρῴδησις τοῦ παρὰ τῷ Ποιητῇ, ἵνα συναπτόμενον πρὸς τὸ, Τρέσσε, ταὐτὸν λέγῃ τῷ Ἔφυγεν ἀπὸ τοῦ ὁμίλου. — Στ. 14, Φησὶ πεσεῖν.] ΔΓ, Πεσεῖν φησι. — Ἀσίνιος.] Ἐξ ΗΔ, ΑΤ, Ἀσίννιος· διὰ δύο γὰρ παρὰ Ῥωμαίοις ν ἐκφέρεται τοὔνομα Asinius, παρὰ τὸ Asinus τὸ δηλοῦν τὸν Ὄνον. — Στ. 17, Πᾶσα γὰρ σκηνὴ μυρσίναις κατέστεπτο.] Τοῦ Λέντλου καὶ τινων ἑτέρων τὰς σκηνὰς κισσῷ κατεστέφθαι φησὶν ὁ Καῖσαρ ἐν τοῖς Ὑπομνήμασιν (Ἐμφυλ. πολέμ. Γ. 96) L. etiam Lentuli et nonnullorum tabernacula protecta edera. — Στ. 30, Ἡ πρὸ μικροῦ τοσούτοις ὅπλοις καὶ ἵπποις καὶ στόλοις δορυφορούμενος.] Ἐνέλειψε τῷ ὑπαρκτικῷ, Ἦν, δέον εἰπεῖν, « Ἡ πρὸ μικροῦ . . . δορυφορούμενος ἦν ». Καὶ ἔστιν οὐ τῶν ἀντιγραφέων, ἀλλὰ Πλουτάρχου τὸ ἁμάρτημα.

ΣΕΛΙΔ 172, στ. 3, Ἐπὶ στόμα ] ΔΓ, Ἐπὶ τὸ στόμα. — Στ. 4, Ἔπινε τοῦ ποταμοῦ.] Καινοτέρως πεφρασμένον ἀντὶ τοῦ, Ἔπινε τοῦ ὕδατος. Λείπει δ' ἐν ἑκατέρᾳ τῇ φράσει ἡ πρόθεσις, Ἐκ. — Στ. 5, Ἐπὶ τὴν θάλατταν.] ΔΓ, Ἐπὶ θάλατταν. — Στ. 9, Ἀπιέναι.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ἀπεῖναι. — Στ. 10, Εὐμεγέθη φορτηγόν.] Ἐλλειπτικῶς τοῦ, Ναῦν. — Στ. 12, Ἐκαλεῖτο.] ΔΓ, Ἐπεκαλεῖτο. — Στ. 16, Περὶ τῶν πραγμάτων.] Διέγραψα τὸ ἄρθρον, δόξαν τοῦτο καὶ τοῖς ΠΡ. — Στ. 20, Ὁ Πετίκιος.] Ἐκ ΔΓ, ἀποκατέστησα τὸ ἄρθρον. — Στ. 26, Λέντουλοι.] Συγκόπτειν ἐν ἄλλοις φιλεῖ Πλούταρχος τὸ Λέντουλος (Lentulus) ὄνομα εἰς τὸ Λέντλος, ὥσπερ καὶ τὸ Κάτουλος (Catulus) εἰς τὸ Κάτλος. — Στ. 28, Προσαναλαμβάνουσιν.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἀναλαμβάνουσιν. — Στ. 29, Παρεσκεύασεν . . . ἐκ τῶν παρόντων. — Παραπλησία φράσις τῇ, « Διηκόνουν αὐτῷ

ἀπὸ τῶν ὑπαρχόντων αὐταῖς (Λουκ. ή, 3)»· καὶ δύναται ταὐτὸν, ἡνίκα περὶ τροφῆς παρασκευῆς ἐστιν ὁ λόγος, τῇ μήπω καταχωρισθείσῃ ἐν τοῖς Λεξικοῖς τῆς καθ' ἡμᾶς γλώσσης, Ἀπὸ τὰ εὑρισκόμενα, ἢ εὑρισκούμενα, καὶ ἑνικῶς, Ἀπὸ τὸ εὑρισκόμενον, ἢ εὑρισκούμενον (Γαλατιστὶ la fortune du pot). Καὶ ἔστι τοῦ παρακμάζοντος ἑλληνισμοῦ, καθὰ δηλοῖ καὶ τὸ παρὰ τοῖς Ἑβδόμηκοντα (Βασιλ. Α, κά, 3) «Καὶ νῦν εἰ εἰσὶν ὑπὸ τὴν χεῖρά σου πέντε ἄρτοι, δὸς εἰς χεῖράς μου »ΤΟ ΕΥΡΕΘΕΝ». — Στ. 30, Ὑπολύειν.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἀπολούειν. Ἐλλείπει δὲ τῷ, Ὑποδήματα, ἡ φράσις· παρ' ἣν καὶ τὸ ἐν τῇ συνηθείᾳ Ἐξυπολύομαι (χυδ. Ἀξυπολειοῦμαι, Ξυπολειοῦμαι, Ξεπολειοῦμαι) καὶ ὁ Ἐξυπολυμένος, ἢ Ἐξυπόλυτος.

ΣΕΛΙΔ. 173, στ. 1, Ὑπέλυσε.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ὑπέλουσε. — Στ. 4, Θεασάμενον ἄν τινα.] ΠΡΔ ἡ προσθήκη τοῦ δυνητικοῦ. — Στ. 6, Φεῦ τοῖσι γενναίοισιν κ. τ. λ.] Ἐχρήσατο καὶ ἀλλαχοῦ (Πῶς ἄν τις αἰσθ. ἑαυτ. προκ. ἐπ' ἀρετ. § 15) Πλούταρχος τῷ ἰαμβείῳ τούτῳ· ὅ τινες Εὐριπίδου οἴονται εἶναι. — Στ. 8, Ἐπερκιοῦτο, βουλόμενος.] Ἐξ ΗΔ, ΑΤ, βαρβάρου, Ἐπέρα, οὕτω βουλόμενος. — Τὴν Κορνηλίαν.] Ἐκ ΔΓ προσέθηκα τὸ ἄρθρον. — Στ. 9, Προσέσχε τῇ νήσῳ.] Τὸ ἐν τῇ συνηθείᾳ, Ἐπίασεν εἰς τὸ νησίον· περὶ οὗ ἔπιθι τὰ ἀλλαχοῦ (Πλουτάρχ. Β, σελ. 443), σεσημειωμένα. — Στ. 16, Εἰ βούλεταί πως.] Ταὐτὸν τῷ Εἴπως βούλεται· καὶ ὑπολατινίζει τὸ τροπικὸν ἐπίρρημα ἐνθάδε ἐν τῷ, Εἴπως. Οὕτω γὰρ κἀκεῖνοι τῷ παρὰ τὸ modus (ὅ ἐστι Τρόπος) ἐπιρρήματι modo, χρῶνται ἐν τῷ Si modo, ὅπερ ἰσοδυναμεῖ τῷ Εἴγε, ἢ τῷ τῶν Ἰταλῶν Se pure. — Στ. 18, Ἄναυδος.] Ἄφωνος, παρὰ τὸ Αὐδή. Λέγοιτο δ' ἂν καὶ, Ἔξαυδος ὁ αὐτὸς, κατὰ τὸ Ἄφρων καὶ Ἔκφρων. Καὶ ἴσως παρὰ τοῦτο ἔπλασεν ἡ χυδαΐζουσα συνήθεια τὸν Τσευδὸν (τουτέστι τὸν Τραυλὸν ἢ ψελλὸν), ἀφαιρέσει τοῦ ἀρχικοῦ στοιχείου, καὶ τροπῇ τοῦ ξ εἰς τὸ τσ, καθὰ καὶ παρὰ τὸν, Ἔξωφλοιὸν, τὸ Τσώφλοιον (Ἡλιοδώρ. Β, σελ. 21). Ἐνδέχεται μέντοι καὶ παρὰ τὸ ἀρχαῖον Σχαύδης ἐσχηματίσθαι τὴν λέξιν, εἴ γε ἔρρωται ὅ φησιν Ἡσύχιος, «Σχαῦδαι, ἰσχνόφωνοι» ἀπὸ τοῦ, Σχέω, ἢ Ἴσχω δηλονότι, οἱονεὶ Ἰσχαῦδαι, τουτέστιν οἱ ἰσχόμενοι τὴν φωνήν. — Στ. 28, Τὸν παρθένιον ἄνδρα.] Ὥσπερ ἂν εἰ ἔλεγε, Τὸν πρῶτον ἄνδρα, ᾧ πρῶτον, ἔτι παρθένος οὖσα, ἐγημάμην. ΔΓ, Τὸν παρθενικὸν ἄνδρα.

ΣΕΛΙΔ. 174, στ. 7, Ἐκ τῆς πόλεως.] ΠΡΔ ἡ προσθήκη τοῦ ἄρθρου. —

Στ. 11, Πρὸς Κράτιππον.] Ὁ Περιπατητικὸς Κράτιππος ἦν οὗτος, συνήθης Κικέρωνι τῷ Ῥωμαϊκῷ ῥήτορι, οὗ καὶ τὸν υἱὸν Ἀθήνησιν ἐδίδαξεν, ὡς δῆλον ἐξ αὐτοῦ Κικέρωνος (Περὶ Μαντικῆς Α, 3) λέγοντος, Cratippusque familiaris noster, quem ego parem summis Peripateticis judico (ἴδ. Κικέρ. καὶ τὸ Περὶ Καθηκόντ. Α, ι, καὶ τὰς πρὸς διαφόρ. Ἐπιστολ. ΙΒ, ἐπιστολ. 16). — Στ. 16, Ἐπεὶ τὸ μὲν ἐρέσθαι κ. τ. λ.) Οὐκ ἔῤῥωται τὸ χωρίον· διὸ καὶ ἄλλοι ἄλλως διορθοῦν ἐπεχείρησαν καὶ ἐξηγήσασθαι. Ὁ Λατῖνος μεταφραστὴς, ὁ Ἰταλὸς καὶ ὁ Γάλλος οὕτως ἐξεδέξαντο τῶν λεγομένων τὸν νοῦν, Τῷ μὲν Πομπηΐῳ ἦν ἐρέσθαι τὸν Κράτιππον ὑπὲρ τῆς προνοίας, μεμψιμοιροῦντι δηλονότι ἐφ' οἷς συνεβεβήκει παθεῖν αὐτῷ, καὶ τὴν πρόνοιαν ἐκφλαυρίζοντι, ἢ καὶ τὸ παράπαν ἀρνουμένῳ· τῷ δὲ Κρατίππῳ ἦν ἀποφαίνεσθαι καὶ λέγειν, ὅτι τοῖς πράγμασιν ἤδη μοναρχίας ἔδει διὰ τὴν κακοπολιτείαν, καὶ πρὸς τούτοις ἐρέσθαι, Πῶς, ὦ Πομπήϊε κ. τ. λ. Ἕτεροι δὲ τοὐναντίον, Τῷ μὲν Κρατίππῳ ἦν ἐρέσθαι ὑπὲρ τῆς προνοίας· τὸν δὲ Πομπήϊον ἀποφαίνεσθαι ὅτι τοῖς πράγμασιν ἤδη κ. τ. λ. πρὸς ἃ πάλιν τὸν Κράτιππον ἀντιλέγοντα ἐρέσθαι, Πῶς, ὦ Πομπήϊε. Καὶ οἱ μὲν ἀντὶ τοῦ, Τὸ μὲν ἐρέσθαι τὸν Πομπήϊον ἦν, γράφειν τε καὶ στίζειν παραινοῦσι, Τὸν μὲν ἐρέσθαι, τὸν Πομπήϊον, ἦν· οἱ δὲ τοὐναντίον ἀντὶ τοῦ, Τὸν δ' ἀποφαίνεσθαι, γράφειν, Τὸ δ' ἀποφαίνεσθαι. — Στ. 20, Ἀλλὰ ταῦτα μὲν ἐατέον ὥσπερ ἔχει τὰ τῶν θεῶν.] Ὅλην ταύτην τὴν φράσιν ὁ Α τοῖς ὑπὸ τοῦ Κρατίππου λεγομένοις συνῆψεν, ὁ δ' Ἰταλὸς ἄμεινον, ἐμοὶ δοκεῖν, διέκρινεν, ὡς οὐ Κρατίππου, ἀλλ' αὐτοῦ Πλουτάρχου γνώμην οὖσαν. — Στ. 24, Ἀττάλειαν.] ΔΓ, Ἀτταλίαν. Ἀμείνων δὲ ἡ διὰ διφθόγγου γραφή. Ἔστι πόλις Παμφυλίας ἐπώνυμος τοῦ κτίσαντος Ἀττάλου τοῦ Φιλαδέλφου, τῷ αὐτῷ μέχρι καὶ δεῦρο καλουμένη ὀνόματι. — Στ. 30, Τῷ πεζῷ.] Ἐκ ΔΓ προσέθηκα τὸ ἄρθρον.

ΣΕΛΙΔ. 175, στ. 1, Μηδὲ περιορμίσαι τὸ ναυτικόν.] ΔΓ, Μηδὲ περιορμῆσαι τὸ ναυτικόν. Εἰσὶν οἱ γράφειν παρῄνεσαν, Μηδὲ παρορμίσαι τὸ ναυτικὸν, τουτέστι, Μηδὲ πλησίον αὐτοῦ ὁρμίσαι τὴν ναυτικὴν δύναμιν· ἐκ τοῦ Α ἴσως ὁρμηθέντες, ὃς ἐξέφρασε, n'avoit on pas souffert... qu'il se teinst tousjours auprès de son armée de mer. — Στ. 3, Οὐδέν.] Ἐκ ΔΓ, ΑΤ, Οὐδέ. — Στ. 6, Κινεῖν.] ΔΓ (ἴσ. ἀγαθή), Κρίνειν. — Στ. 7, Περιέπεμπε.] Ἐκ ΔΓ, ΑΤ, Παρέπεμπε. — Στ. 11, Φυλάξιμος.] ΔΓ, Φύξιμος· καὶ ἔστιν ἀμείνων τῆς ἐκδεδομένης. Δύναται γὰρ τὸ Φύξιμος, τὸ εἰς ἣν καταφυγεῖν ἀσφαλὲς ἦν Πομπηΐῳ. —

Στ. 20, Τὰ δεύτερα λέγοντα.] Τὸ, Λέγοντα οὔτ' εἰς τὸ, Λαχόντα, οὔτ' εἰς τὸ, Νέμοντα, τρεπτέον ἐστὶν, ὥσπερ ἔδοξέ τισι. Ἔστι γὰρ τὸ, Δεύτερα λέγειν τινὶ, ταὐτὸν καὶ τὸ, Δεύτερον ἀπό τινος εἶναι, ἐκείνῳ τῶν πρωτείων παραχωροῦντα. Μετενήνεκται δ' ἡ φράσις ἀπὸ τῆς Σκηνῆς, ἐν ᾗ Δευτεραγωνιστὴν ὠνόμαζον καὶ Πρωταγωνιστὴν, καὶ ἀπὸ τοῦ Βήματος (Ἰσοκράτ. Β, σελ. 285). Ἔστι παραθέσθαι καὶ Μενάνδρου μαρτύριον τοδί·

Τὰ δεύτερ' αἰεὶ τὴν γυναῖκα δεῖ λέγειν,
Τὴν δ' ἡγεμονίαν τῶν ὅλων τὸν ἄνδρ' ἔχειν.
Οἰκία δ' ἐν ᾗ [ περ ] πάντα πρωτεύει γυνὴ,
Οὐκ ἔστιν ἥτις πώποτ' οὐκ ἀπώλετο.

— Στ. 22, Ἀρσάκην.] Τὸν αὐτὸν εἰκὸς εἶναι καὶ ὃν ἀλλαχοῦ (Μέρ. Γ, σελ. 316-317) Πλούταρχος καὶ Ἀρσάκην καὶ Ὑρώδην ὠνόμασε. — Στ. 25, Ἡ... γενομένη.] — ΠΡΔ, ΑΤ, Ἣ... γενομένην. — Στ. 27, Ἀπίτρεψε.] ΔΓ, Ἀπέστρεψε.

ΣΕΛΙΔ. 176, στ. 7, Ποθεινός.] Ποθεινὸς ὀνομάζεται ὁ εὐνοῦχος οὗτος καὶ παρὰ τῷ Ἀππιανῷ (Ῥωμ. Ἐμφυλ. Β, 84,), καὶ παρ' αὐτῷ τῷ Καίσαρι (Ἐμφυλ. πολ. Γ, 108 καὶ 112), οὐχ, ὡς ἐσημειώσατό τις τῶν ΠΡ, Φωτῖνος. — Στ. 8, Δυνατωτάτων.] Ἐκ ΔΓ, ΑΤ, Δεινοτάτων. — Στ. 11, Θεόδοτον τὸν Χῖον.] Οὕτω καὶ ἀλλαχοῦ (Βρουτ. § 33) Πλούταρχος. Ὁ μέντοι Ἀππιανὸς (Ῥωμ. ἐμφυλ. Β, 84) Σάμιον καλεῖ τὸν μιαρὸν τοῦτον Θεόδοτον, οὐ Χῖον. — Στ. 16, Ὃν Καίσαρι σωτηρίας χάριν οὐκ ἦν ἄξιον ὀφείλειν.] Λείπει τὸ χωρίον ὅλον τοῦτο ἐν ᾗ κέχρημαι Ἀμιότου μεταφράσει ἐκ τῆς Κλαυερίου ἐκδόσεως, εἴτε αὐτοῦ Ἀμιότου παραβλέψει, εἴτε τυπογράφων ἀβλεψίᾳ. Ἀντὶ τοῦ, Ὃν, γράφειν τις τῶν ΠΡ παρῄνει, Ὧ. Ὁ νοῦς, Καὶ τοιούτου δικαστηρίου ψῆφον περιέμενε Πομπήϊος, ὃς ἀνάξιον ἡγεῖτο χάριν σωτηρίας ὀφείλειν τῷ Καίσαρι, ἠνείχετο σωζόμενος ὑπὸ τῶν Αἰγυπτίων, ὁ μηδ' ὑπ' αὐτοῦ τοῦ Καίσαρος ἀξιώσας σωθῆναι· ὥσπερ ἐξέφρασε καὶ ὁ Ἰταλὸς μεταφραστὴς, egli ehe avea per cosa disdicevole il saper grado à Cesare di sua salvezza. Αἰνίττεται δὲ Πλούταρχος ἃ Καῖσαρ αὐτὸς (Ἐμφυλ. πολέμ. Γ, 18) ἱστόρηκεν εἰπεῖν τὸν Πομπήϊον πρὸς τοὺς παραινοῦντας διαλλαγῆναι τῷ Καίσαρι, Quid mihi aut vita aut civitate opus est, quam deneficio Caesaris habere videbor? τουτέστι, Τί μοι δεῖ ζωῆς ἢ πόλεως, ἣν ὀφείλειν Καίσαρι δόξω; — Στ. 22, Διώξεως.] ΔΓ, Διώσεως. — Στ. 25, Διαμειδιάσας.] Ἓν μόνον ἐκ Δίωνος τοῦ Κασσίου (οά, 32) μαρτύριον παρέθετο ὁ σοφὸς Σνειδέριος (Λεξ. Ἑλληνογερμαν.) τῷ ῥή-

ματι τούτῳ, ὃ Στέφανος ἀμάρτυρον κατεκεχωρίκει ἐν τῷ Θησαυρῷ. Καὶ τὸ μὲν τοῦ Δίωνος ἰατέον ἔχειν, ὡς ἔχει· τὸ δὲ Πλουτάρχειόν τοῦτο, Διαμειδιάσας, ἴσως ἁπλῶς, Μειδιάσας, ἐγέγραπτο. — Νεκρὸς οὐ δάκνει.] Ἔστι καὶ ἐν τῇ Γάλλων φωνῇ ἡ παροιμία, Les morts ne mordent plus, ἣν ὁ μιαρὸς Θεόδοτος ἐξεφώνησε.

ΣΕΛΙΔ, 177, στ. 8, Ἀχιλλᾶς.] Ὑποκοριστικὸν τοῦ Ἀχιλλεὺς ὀνόματος, ὥσπερ καὶ ὁ Ἁρποκρᾶς τοῦ Ἁρποκράτης, καὶ ὁ Δημᾶς τοῦ Δημήτριος. — Στ. 17, Σκήνην.] ΔΓ, Σκύνην: Σκύνην: Σκύθην. — Στ. 20, Ὅςις δὲ πρὸς τύραννον κ. τ. λ.] Ἐκ μηκέτι σωζομένου δράματος Σοφοκλέους τὰ χρυσᾶ ταῦτα ἰαμβεῖα, ὧν ἐμνημόνευσε Πλούταρχος καὶ ἐν τοῖς Ἀποφθέγμασι, καὶ ἐν τῷ, Πῶς δεῖ τὸν νέον ποιημάτων ἀκούειν (§ 12), προσιστορήσας καὶ ὅτι Ζήνων ὁ φιλόσοφος οὕτω παρῴδει τὸν τελευταῖον στίχον,

Οὐκ ἔστι δοῦλος, ἂν ἐλεύθερος μόλῃ.

Ἀλλὰ τοῦτο ἕτεροι εἰς Πλάτωνα ἀναφέρουσιν· ἄλλοι δὲ εἰς Ἀρίστιππον, ὅν φησι Διογένης ὁ Λαέρτιος (Β, 82), Διονυσίου τοῦ τυράννου σκώψαντος διὰ τῶν ἰαμβείων τούτων,

Ὅστις γὰρ ὡς τύραννον ἐμπορεύεται,
Κείνου 'στὶ δοῦλος, κἂν ἐλεύθερος μόλῃ,

ὑπολαβόντα φάναι,

Οὐκ ἔστι δοῦλος, ἂν ἐλεύθερος μόλῃ.

Σημειοῦ δ' ὅτι, ὡς παρὰ Διογένει τῷ Λαερτίῳ οὕτως καὶ παρὰ Δίωνι τῷ Κασσίῳ (μϐ', 4) καὶ τῷ Ἀππιανῷ (Ῥωμ. Ἐμφυλ. Β, 84), ἀντὶ τοῦ, Ὅςις δὲ πρὸς τύραννον, γράφεται, Ὅστις γὰρ ὡς τύραννον.

ΣΕΛΙΔ. 178, στ. 2, Ἀπεσκοπεῖτο.] Ἐκ ΔΓ, ΑΤ, Ἐπεσκοπεῖτο. — Ἤρχετο.] Ἐξ ΕΔ, ΑΤ, Ἤρετο. — Στ. 5, Ἐξαναστaίη.] ΔΓ, Ἐξαναστῇ. — Στ. 6, Πρῶτος.] Ἐκ ΔΓ, ΑΤ, Πρῶτον. Περὶ δὲ τῆς διαφορᾶς τῶν λέξεων ἔπιθι καὶ τὰ ἀλλαχοῦ (Ἰσοκράτ. Β, σελ. 21 καὶ 195) σεσημειωμένα. — Στ. 7, Ἐσπάσαντο.] ΔΓ, Ἐπεσπάσαντο. — Στ. 8, Κατὰ τοῦ προσώπου.] ΔΓ, Μέχρι τοῦ προσώπου. — Στ. 10, Ἑξήκοντα μὲν ἑνὸς δέοντος.] Δυοῖν δεόντων ἑξήκοντα φασὶ Δίων ὁ Κάσσιος (μϐ', 5), καὶ ὁ Ἀππιανὸς (Ἐμφυλ. Ῥωμ. Β, 86.) — Στ. 14, Ἐξάκουστον.] Ἀκούεσθαι δυναμένην. Ἐν δὲ τῇ παρ' ἡμῖν συνηθείᾳ ὁ Ἐξάκουστος ἢ Ἐξακουσμένος, τὸν ἐπίσημον καὶ περιβόητον σημαίνει. — Στ. 19, Τοιούτου.] Ἴσως ἐγέγραπτο ἐνάρ-

θρως, Τοῦ τοιούτου. — Στ. 20, Ἕως ἐγένοντο μεστοὶ τῆς ὄψεως.] Παραπλησίᾳ μεταφορᾷ φαίη ἂν καὶ ἡ συνήθεια, Ἕως ἐχόρτασαν νὰ τὸν βλέπωσι.— Στ. 30, Δέξαι.] Δέξη, γράφειν τινὲς παρῄνεσαν.

ΣΕΛΙΔ. 179, Στ. 6, Καθορώμενος.] ΠΡΔ, ΑΤ, Καθορώμενον. — Στ. 11, Τὸν μὲν προσφέροντα τὴν κεφαλήν.] Τὸν Θεόδοτον, ὡς ἐδήλωσε Πλούταρχος κατωτέρω (Καίσαρ. § 48, σελ. 308). — Στ. 14, Λειφθείς.] Τουτέστιν Ἡττηθείς. Ἐξ ΕΔ, ΑΤ, Ληφθείς· οὐ γὰρ ἑάλω Πτολεμαῖος ζωγρείᾳ, ἀλλὰ φεύγων ἀφανὴς ἐγένετο (Πλουτάρχ. Καίσαρ. § 49), τρόπῳ τοῖς πολλοῖς μὲν ἀδήλῳ, ὡς δὲ Καῖσαρ αὐτὸς (Ἀλεξανδρ. πολέμ. κεφ. 31) ἱστόρηκε, βυθισθέντος τοῦ φέροντος αὐτὸν πλοίου. — Στ. 16, Φυγὼν γὰρ Αἴγυπτον, ἐπλανᾶτο.] Κακῶς ᾠήθησάν τινες γραπτέον εἶναι καὶ στικτέον, Φυγὼν γὰρ, εἰς Αἴγυπτον ἐπλανᾶτο· ὡς γενήσεται δῆλον ἐκ τῶν ἐχομένων. — Στ. 17, Ὁ τὸν Καίσαρα κτείνας, ἐκράτησεν, ἐξευρὼν αὐτὸν ἐν Ἀσίᾳ.] Ἐξ ΗΔ, ΑΤ, (ἀδιανοήτως ἐστιγμένου καὶ γεγραμμένου), Ὅ τε Καίσαρα κτείνας ἐκράτησεν, ἐξευρὼν αὐτὸν ἐν Ἀσίᾳ. Αἴτιον δὲ τοῦ μὴ πεφωρᾶσθαι τὴν ἁμαρτίαν τῆς γραφῆς, αὐτὸ τὸ, Ἐκράτησεν, ἐγένετο, ἐπὶ τῆς συνήθους τοῖς ἀρχαίοις σημασίας ἐκδεξαμένων τῶν μεταφραστῶν, δέον ἐκδέξασθαι ἀντὶ τοῦ, Συνέλαβεν, ἢ ὡς παρ' ἡμῖν λέγεται, Ἐπίασεν· ἐφ' ἧς ἐννοίας ἐχρήσατο τῇ λέξει καὶ ὁ Εὐαγγελιστὴς (Ματθ. κς', 4), « Καὶ συνεβουλεύσαντο, ἵνα τὸν Ἰησοῦν » ΚΡΑΤΗΣΩΣΙ δόλῳ καὶ ἈΠΟΚΤΕΙΝΩΣΙΝ ». Ὁ νοῦς οὖν τῆς ἡμετέρας διορθώσεως, Βροῦτος, ὁ κτείνας τὸν Καίσαρα συνέλαβε τὸν Θεόδοτον ἐξευρὼν αὐτὸν ἐν Ἀσίᾳ. Τοῦτο μὴ συνεωρακότες οἱ μεταφρασταὶ, ἡρμήνευσαν, ὁ μὲν Γάλλος, Mais depuis Marcus, après avoir occis Caesar, SE TROUVANT LE PLUS FORT en Asie, le rencontra par cas d' adventnre· ὁ δὲ Ἰταλὸς, Indi Marco Bruto, quando, ucciso avendo Cesare, SUPERIORE RESTÒ, trovando colui in Asia. Χειρίστη δ' ἁπασῶν ἡ Λατινικὴ μετάφρασις, eum tamen M. Brutus, interfecto Caesare, ASIAM OBTINENS, repertum ibi etc. — Στ. 20, Τὸ Ἀλβανόν.] Ἐξ ΕΔ, ΑΤ, Τὸν Ἀλβανόν.

ΣΕΛΙΔ. 180, στ. 2, Παράλληλα.] Ἄμεινον ἐνταῦθά γε γράφοις ἂν διηρημένως· Παρ' ἄλληλα. Ἴδε Πίνακα Ἰσοκράτους λέξ. Ἀλλήλους. — Στ. 7, Ἀμέμπτως.] Ἐξ ΕΔ, ΑΤ, Ἄμεμπτος. — Στ. 11, Τεθνηκότος.] ΔΓ, Τεθνηκότα. — Στ. 14, Ὑπεξέρριψε.] Ἐκ τοῦδε τοῦ Πλουταρχείου μόνου χωρίου ἀνελέξατο τὴν λέξιν ὁ σοφὸς Λεξικογράφος Σνεΐδερος. Ἀλλ' ἴσως

γραπτέον, Ἀπεξέρριψε.— Στ. 17, Αἱ περὶ τὰ πολιτικὰ τῶν δικαίων.] Περιελεῖν ᾠήθην χρῆναι τὸν σύνδεσμον.

ΣΕΛΙΔ. 181, στ. 7, Οὐκ ἂν ἠπόρησαν Εὐρυτιωντίδαι κ. τ. λ.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Οὐκ ἂν ἠπόρησεν, Εὐρυτίωντι δέ. — Στ. 8, Παρασχεῖν.] Ἐξ ΕΔ, ΑΤ, Παρέσχεν· ἀνθ' οὗ οἱ ΠΡ κακῶς ἔγραψαν, Παρέχειν. Ὁ νοῦς, Καὶ γὰρ εἰ ἦν ἀποδεδειγμένον νόθον γεγονέναι τὸν Λεωτυχίδην, τὸ τῶν Εὐρυτιωντιδῶν ἢ Εὐρυπωντιδῶν (ἴδ. Πλουτάρχ. Μέρ. Α, σελ. 380) γένος οὐκ ἂν ἠπόρησεν ἕτερον ἀντὶ τοῦ Λεωτυχίδου γνήσιον τῇ Σπάρτῃ παρασχεῖν βασιλέα. — Στ. 9, Οἷον μέντοι τῇ.) Ἐξ ΕΔ, ΑΤ, Οἷον μὲν τῇ. Ἀναφέρεται πρὸς τὸ συνυπακουόμενον, Τοιοῦτον· ἔστι γὰρ ἡ συνάρτησις, Οὐ μέντοι γέγονεν ἄλλο σόφισμα πολιτικὸν τοιοῦτον, οἷον προσήγαγεν ὁ Ἀγησίλαος κ. τ. λ.— Στ. 10, Προσήγαγεν ὁ Ἀγησίλαος.] ΔΓ, Προσήγαγεν Ἀγησίλαος. — Στ. 11, Ἴαμα.] Ἐξ ΕΔ, οἱ ΠΡ, ΑΤ, Ἅμα.—Στ. 13, Οὐδ' ἔχομέν τι τῶν.] Ἐξ ΕΔ, ΑΤ, Οὐδ' ἔχομέν τι τοῦ. — Στ. 27, Οὐ δ' ἂν ὁ Ξενοφῶν μοι δοκεῖ παραβαλεῖν.] Ἐξ ΗΔ τὸ Δοκεῖ, ΑΤ, Δοκῇ· ὁ γὰρ δυνητικὸς οὐ πρὸς τοῦτο, ἀλλὰ πρὸς τὸ Παραβαλεῖν.— Στ. 30, Τὸν ἄνδρα τοῦ ἀνδρός.] Τὸν Πομπήϊον τοῦ Ἀγησιλάου.

ΣΕΛΙΔ. 182, στ. 2, Ὁμόκληρον.] Ἐξ ΕΔ, ΑΤ, Ὁλόκληρον. Ἔστι δὲ, Μετασχοῦσαν τοῦ κλήρου. Κρεσφόντης γὰρ ἦν, εἷς τῶν Ἡρακλειδῶν, ὁ κλήρῳ λαχὼν καὶ οἰκίσας τὴν Μεσσήνην (Ἰσοκράτ. Μέρ. Α, σελ. 117 ἡμ. ἐκδ. καὶ Παυσαν. Δ, 3).—Στ. 3, Μητρόπολιν τοῦ γένους.] Τὰς Θήβας λέγει· ἐκεῖ γὰρ Ἡρακλῆς, ὁ τοῦ γένους ἀρχηγὸς, ἐγεννήθη.—Στ. 5, Μεταβαλομένοις.] Ἐξ ΗΔ, ΑΤ, Μεταβαλλομένοις. — Τῶν Ἀρμενίων βασιλέα.] Γράφε θαῤῥῶν, ὃ μὴ γράψαντι μεταμέλει μοι, Τὸν Ἀρμενίων βασιλέα.— Στ. 7, Καὶ φήσας.] Ἢ διαγραπτέον τὸν σύνδεσμον, ἢ ἀναγνωστέον, Καὶ φίλον, φήσας, ὡς παρῄνει τις τῶν ΠΡ, ᾧ συνᾴδειν ἔοικε καὶ ἡ τοῦ Α μετάφρασις, allié et confédéré. — Στ. 9, Ἀρετή.] Ἐκ ΔΓ, ΑΤ, Ἀρετῆς. — Στ. 25, Μὲν ὄντα, βιάσασθαι.] ΠΡΔ, ΑΤ, Μὲν τὸ βιάσασθαι.— Στ. 30, Ὑφ' ὧν διεπέπρακτ' ἂν ἄνευ μάχης, ἐκείνοις προσόντων.] Τὸ μὲν, Ὑφ' ὧν, ΗΔ ἐστίν, ἡ δὲ προσθήκη τοῦ δυνητικοῦ, ΠΡΔ. Ὁ νοῦς, Ὑφ' ὧν χρημάτων καὶ ἀγορᾶς καὶ θαλάττης, ἐκείνοις [τοῖς περὶ τὸν Πομπήϊον] προσόντων, αὐτὸς στερούμενος, ὁ Καῖσαρ, ἀπώλετο ἂν καὶ χωρὶς πολέμου.

ΣΕΛΙΔ. 183, στ. 3, Καταβοήσεσιν εἰς μαλακίαν καὶ δειλίαν ἐπιταραχθέντα.] Ταραχθέντα ὑπὸ τῶν καταβοώντων καὶ σκωπτόντων αὐτὸν ὡς μαλακὸν καὶ δειλόν.— Στ. 10, Τίς ἀνάσχοιτο.] Γράφε, Τίς ἂν ἀνάσχοιτο

μετὰ τοῦ δυνητικοῦ· — Στ. 11, Παρ' ἐλάχιστον ἐκβιασθέντα.] Ὡς εἰπεῖν ἐκβιασθέντα, μικροῦ δεῖν οὕτω πράξαντα, ὥσπερ ἂν εἰ καὶ ταῖς ἀληθείαις ἐβιάζετο ὑπὸ τοῦ Φαωνίου καὶ τοῦ Δομιτίου, ὥσπερ μὴ ὢν αὐτὸς στρατηγὸς, ἀλλ' ὑπ' ἄλλων στρατηγούντων τὰ κελευόμενα πράσσειν ἐκβιαζόμενος. Καὶ οὕτω μὲν ὁ Α ἐξεδέξατο τὸ Παρ' ἐλάχιστον, par manière de dire. ὁ δὲ 'Ιταλὸς μεταφραστὴς, cosi di leggieri εἰπὼν, δῆλός ἐστι τὸ Παρ' ἐλάχιστον, Δι' οὕτω μικρὰν αἰτίαν, ἑρμηνεύσας. — Στ. 13, Τὸ παρ' ἡμέραν ἄδοξον.] Τὴν μιᾶς ἡμέρας, τῆς παρούσης, ἀδοξίαν —Στ. 15, Τὴν φυγὴν ἐκείνην ἀποφαίνων στρατήγημα Θεμιστόκλειον.] Ἔπιθι τὰ ἀνωτέρω (σελ. 390) σημειωθέντα.—Στ. 19, Ἢ λιπεῖν ἑτέρῳ τὸν στέφανον.] Ἀντὶ τοῦ, Εἰ δὲ μὴ, ὁ διαζευκτικὸς ἐνθάδε, ὡς καὶ παρ' ἡμῖν νῦν· περὶ οὗ ἀποχρώντως ἐν ἄλλοις ('Ισοκράτ. Β, σελ. 11) εἴρηται. —Στ. 20, Ἄπλετον.] Ἐκ ΔΓ, ΑΤ, Ἅπασαν. « Ἄπλετον (φησὶν Ἡσύχιος), πολὺ, μέγα, ἀμέτρητον ». —Στ. 21, Παρεῖχε.] Ἐξ ΗΔ (συναδούσης τοῖς μεταφρασταῖς), ΑΤ, Παρέσχε. —Στ. 23, Βουλομένων Θηβαίοις ὑπὲρ τῆς χώρας μάχεσθαι.] Ἐξ ΕΔ, τὸ Θηβαίοις, ΑΤ, Θηβαίων, ὅπως ἔχῃ τὸ Βουλομένων εἰς τοὺς Λακεδαιμονίους ἀναφέρεσθαι· πλὴν εἰ μή τις οὕτω γράφειν προαιροῖτο, « Προκαλουμένων [ἢ καὶ Βιαζομένων] Θηβαίων ὑπὲρ τῆς χώρας μάχεσθαι » ὥσπερ ἡρμήνευσε καὶ ὁ Α, quand les Thebains l' y allèrent semondre d' en sortir pour defendre le plat païs, ἐκ τῶν πρόσθεν (Ἀγησιλ. § 31, σελ. 87) εἰρημένων τὰς ἀφορμὰς λαβών.—Καὶ ὑπονοίας.] Ἐκ ΔΓ, ΑΤ, Ὑπ' ἀνοίας. Οὐδέτερον τούτων ἐξέφρασεν ὁ Α. —Στ. 27, Οὐδὲ τὴν Σπάρτην ἐν τοσούτῳ σεισμῷ μόνον ὀρθὴν ἀεὶ διεφύλαξεν.] Εἰς τὸ Μόνος ἔτρεψαν οἱ ΠΡΔ τὸ Μόνον διὰ τὸ προηγησάμενον ἕτερον Μόνον. Καὶ ὁ Α δὲ τοῦτο μὲν εἰς τὸ Μόνος ἔτρεψε, τὸ δὲ πρὸ τούτου παρέλιπε· ὁ δὲ Ἰταλὸς τὸ μὲν πρῶτον διὰ τοῦ solamente, τὸ δ' ὕστερον διὰ τοῦ egli solo (τουτέστι Μόνος) ἐξέφρασε. Οὐ μετακινητέον τὴν γραφὴν οὐδετέρου, ἀλλ' ἐπιῤῥηματικῶς ἀμφότερα ἐξηγητέον, προσυπακούοντας ἃ χρὴ πρὸς τὸ πλῆρες τῆς φράσεως, Οὐ μόνον Αἰγυπτίους ἄκοντας ἔσωσεν [ἀλλὰ καὶ τὴν Σπάρτην]· καὶ ταύτην οὐ μόνον ὀρθὴν ἀεὶ διεφύλαξεν ἐν τοσούτῳ σεισμῷ, ἀλλὰ κ. τ. λ. Αἰνίττεται δὲ πάλιν, ὡς καὶ ἀλλαχοῦ πολλαχοῦ, ὁ φιλαρχαῖος Πλούταρχος τὸ Σοφόκλειον (Ἀντιγ. 162-163,)

Ἄνδρες, τὰ μὲν δὴ ΠΌΛΕΟΣ ἀσφαλῶς θεοὶ,

Πολλῷ σάλῳ ΣΕΊΣΑΝΤΕΣ, ὬΡΘΩΣΑΝ πάλιν.

— Στ. 30, Προαπολέσθαι.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Προσαπολέσθαι. Ἴσως ἄμεινον ἑκατέρου τὸ Προαπολέσαι, ὅπερ ἐξέφρασε καὶ ὁ Α, de les mener lors à leur perte et ruine certaine.

ΣΕΛΙΔ. 184, στ. 1, Ὑπὸ τῶν βιασθέντων.] Ἄμεινον ἂν εἶπεν, Ὑπὸ τῶν ἐκβιασαμένων, ὥσπερ ἔδοξε καὶ τοῖς ΠΡ. — Στ. 2, Αὐτούς.] Ἐξ ΕΔ (συνᾳδούσης τῷ Α), ΑΤ, Αὐτός. — Στ. 4, Ἐκόμιζεν.] Ὁ Σκιπίων τῷ Πομπηΐῳ. Ἴσως γραπτέον, Ἐκόμισεν. — Στ. 5, Καὶ ἀποκρύψαντα.] Ἢ περιαιρετέον τὸν σύνδεσμον, ὡς ἔδοξέ τῳ τῶν ΠΡ, ἢ γραπτέον ἀπαρεμφατικῶς, Καὶ ἀποκρύψασθαι, ὡς ἡρμήνευσεν ὁ Α, et le retenir par soy. — Στ. 7, Κἂν ἀληθὲς ᾖ.] Ἐξ ΗΔ, ΑΤ, Κἂν ἀληθὲς ἦν· ἢ γραπτέον, Κἂν εἰ ἀληθὲς ἦν, μετὰ τοῦ συναπτικοῦ, ὥσπερ ἡρμήνευσε καὶ ὁ Α, φράσας οὐκ, et si cela estoit vray, ἀλλ', encore que cela fust vray. Ἴσως μέντοι ἄμεινον ἦν κατὰ χώραν ἐᾶν τὸ, Κἂν ἀληθὲς ἦν, οὐχ ὡς ὀρθὸν, ἀλλ' ὡς μᾶλλον προσῆκον ἑλληνισμῷ παρακμάζοντι. Οὕτω γὰρ καὶ Ἀπολλώνιος ὁ συνακμάσας Πλουτάρχῳ (Περὶ συντάξ. σελ. 200), « Ἔστι δὲ καὶ οὕτω φάναι, ΚἈΝ παρὰ τὸ Δέκατος ἮΝ ἡ σύνθεσις κ.τ.λ. », ὃ τις τῶν περὶ ταῦτα ὀνομαστῶν τρέπειν παρῄνει εἰς τὸ ... « ΚἊΝ ΕἸ παρὰ » τὸ Δέκατος ἮΝ ἡ σύνθεσις ». Ἀλλ', ὥσπερ ἔφην, τὰ τοιαῦτα οὐκ ἀντιγραφέων ἴσως ἐστὶ παροράματα, ἀλλὰ συγγραφέων ἁμαρτήματα, οἷς ἄλλα πλεῖστα καθεξῆς προσθέντες οἱ μετ' ἐκείνους, τελευτῶντες εἰς τὴν ἡμῖν νῦν συνήθη φωνὴν κατηνέχθησαν· καθὰ καὶ ἐξ αὐτῆς ταύτης τῆς ἡμαρτημένης τοῦ διστακτικοῦ, Ἂν, συντάξεως καταφαίνεται ἡ παρ' ἡμῖν τοῦ συνδέσμου τούτου μεθ' ὁριστικοῦ παρῳχημένου σύνταξις, ἐπὶ τοσοῦτον κρατήσασα, ὥστε καὶ τὸν συναπτικὸν, Εἰ, μηδαμοῦ τῆς γλώσσης ἑτέρωθι χρηστὸν ἔτι λελεῖφθαι πλὴν ἐν τῷ ἀποφατικῷ, Εἰ δὲ μή. Αὐτὸ γὰρ τοῦτο τὸ Πλουτάρχειον, Κἂν ἀληθὲς ἦν, διὰ τοῦ, Καὶ ἂν ἦτον ἀληθινὸν, ἐκφράζομεν, ὥσπερ καὶ τὸ τοῦ Ἀπολλωνίου, διὰ τοῦ, Καὶ ἂν ἦτο συνθεμένον ἀπὸ τὸ Δέκατος. — Οὐκ ὤφειλε παθεῖν.] ΔΓ. Παθεῖν οὐκ ὤφειλεν. — Στ. 11, Ἔχει.] ΔΓ, Ἔχῃ.

## ΑΛΕΞΑΝΔΡΟΣ.

ΣΕΛΙΔ. 185, στ. 1, Τὸν Καίσαρος.] Ἐκ ΔΓ, ΑΤ, Τοῦ Καίσαρος. — Στ. 5, Ἐπεξειργασμένως.] Ἐκ ΔΓ, ΑΤ, Ἐξειργασμένως. Δύναται δὲ τὸ διὰ δυοῖν προθέσεων, τὸ Ἀκριβέστατα, ὥσπερ τὸ διὰ μιᾶς, τὸ Ἀκριβῶς

Σημειοῦ δὲ, ὅτι καὶ τοῦ ῥήματος Ἐξεργάζομαι, παρὰ τὸ, ἀκριβῶς τι ἐργάζομαι, σημαίνοντος ἔτι καὶ τὸ, Ἐκτελῶ, τουτέστιν, εἰς πέρας ἄγω ὃ ἐργάζομαι, καὶ τρίτον (κατὰ μεταφορὰν ἤδη τοῦτο) τὸ Φθείρω, ὀλλύω, φονεύω, ἀμφοτέρας ταύτας τὰς τελευταίας σημασίας ἔσχηκε καὶ τὸ παρ' ἡμῖν Ἐκτελεύω (χυδ. Ξετελεύω). Καὶ γὰρ Ἐξετέλευσεν ὁ ῥάπτης τὸ φόρεμα, φαμὲν, τουτέστι, συνετέλεσε ῥάπτων, κατὰ τὸ παρὰ τῷ Ἰσοκράτει (Μέρ. Β, σελ. 32 καὶ 66) Ἐξεργάζεσθαι, καὶ, Τὸν ἐξετέλευσε, τουτέστιν, Ἐφόνευσεν αὐτὸν, κατὰ τὸ παρ' Ἡροδότῳ (Γ, 30 καὶ 31. Ἴδε καὶ τὴν σημείωσιν εἰς τὸ Ἡροδότ. Γ. 52, ἐν τῇ Γαλλικῇ μεταφράσει τοῦ Ἡροδότου Τόμ. Γ, σελ. 323), « Ἐξεργάσατο τὸν ἀδελ-» φεὸν Σμέρδιν... ἐξεργάσατο τὴν ἀδελφὴν » περὶ Καμβύσου τοῦ φονεύσαντος τὸν ἀδελφὸν καὶ τὴν ἀδελφὴν εἰρημένον, καὶ τὸ παρ' Αἰσχύλῳ (Ἀγαμ. 1390),

Ἕστηκα δ' ἔνθ ἜΠΕΣ' ἐπ' ἐξειργασμένοις·

ὅπου γραπτέον, οἶμαι, ἜΠΑΙΣ' παρὰ τὸ Παίω. Τοῦτ' αὐτὸ δύναται καὶ τὸ συνώνυμον, Ἐξανύω, οὗ χρῆσις παρ' Ὁμήρῳ (Ἰλιάδ. Λ, 365),

Ἦ θήν σ' ἐξανύω γε, καὶ ὕστερον ἀντιβολήσας.

—Στ. 7, Ταῖς ἐπιφανεστάταις.] Ἢ προσυπάκουε τὸ, Μόναις, ἢ ἐκλάμβανε τὸ ἑπόμενον Πάντως ἀντὶ τοῦ Πάντοτε.—Στ. 11, Πολιορκίαι.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Πολιορκία.—Στ. 22, Τὸν ἀδελφὸν αὐτῆς, Ἀρύμβαν.] Θεῖος, οὐκ ἀδελφὸς ἦν τῆς Ὀλυμπιάδος ὁ Ἀρύμβας· δι' ὃ καὶ τινες γράφειν παρῄνεσαν, Τὸν ἀδελφὸν τοῦ πατρὸς (ἢ Τὸν πατράδελφον) αὐτῆς, Ἀρύμβαν.

ΣΕΛΙΔ. 186, στ. 4, Δεομένῳ.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Δεομένων. Μεταμέλει μοι ὅμως ταύτης ἐκείνην προελομένῳ. Τὸ γὰρ, Δεομένων συναπτόμενον πρὸς τὸ, Τῶν περὶ τὸν γάμον, ταὐτὸν δύναται τῷ, Δεομένου τοῦ γάμου.—Στ. 5, Τελμισσεύς.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Τελμησσεύς· παρὰ γὰρ τὸ Τελμισσὸς, ὅ ἐστιν ὄνομα πόλεως Καρίας, ἢ καθ' ἑτέρους, Λυκίας, ἐπισήμου, διὰ τὸ τοὺς ἐν αὐτῇ μάντεις ἀρίστους εἶναι πεπιστεῦθαι ὑπὸ τῶν μάντεσι μᾶλλον ἢ τῷ λόγῳ προσεχόντων.—Στ. 9, Τὰς φιλοφροσύνας.] ΔΓ, Τὴν φιλοφροσύνην.—Στ. 12, Συνούσης.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Συνούσῃ.—Στ. 14, Αἱ τῇδε γυναῖκες... Κλώδωνές τε καὶ Μιμαλλόνες.] Ἔπιθι Πολύαινον (Στρατηγημ. Δ, Ι, σελ. 109), καὶ Ἡσύχιον καὶ Σουΐδαν (λεξ. Κλώδωνες καὶ Μιμαλλόνες).—Στ. 22, Λίκνον.] Λίκνον

καὶ τὸ ἐν ᾧ τοὺς καρποὺς χωρίζουσι τῶν ἀχύρων, παρ' ὃ τὸ Λικνίζω, ὅπερ ἡμεῖς νῦν Λιχνίζω λέγομεν, καὶ τὸ ἐν ᾧ κατακοιμίζουσι τὰ παιδία, ὃ Κούνιαν ἡ συνήθεια λέγει, παρὰ τὸ πληθυντικῶς ἐκφερόμενον Ῥωμαϊκὸν Cunæ (Ἰταλ. Cuna), ὃ καὶ αὐτὸ ὁ σχολιάσας τὸν Βιργίλιον Σέρβιος, παρὰ τὸ ἑλληνικὸν Κύειν παρῆχθαί φησι. Τὰ δὲ μυστικὰ λίκνα, Κανᾶ ἦσαν ἢ σκαφίδια ἐστεμμένα κισσῷ. Διὸ καὶ Ἡσύχιος, « Λικνοστεφεῖ, » λίκνον στεφανούμενος θρησκεύει », φησί, καί, « Λικνίτης· ἐπίθετον Διο- » νύσου· ἀπὸ τῶν λίκνων, ἐν οἷς τὰ παιδία κοιμῶνται ».

ΣΕΛΙΔ. 187, στ. 2, Ἐπὶ τὴν στρατείαν.] ΔΓ, Εἰς τὴν στρατείαν.—Στ. 7, Ἔκτη.] ΔΓ, Ἔκτης.—Στ. 8, Ἐπιφώνημα, κατασβέσαι τὴν πυρκαϊὰν ἐκείνην ὑπὸ ψυχρίας δυνάμενον.] Καλῶς οἱ ΠΡ ἐσημειώσαντο, κἀμοὶ σημειωτέον τῆς φιλομούσου νεολαίας χάριν ἐστίν, ὅτι Πλούταρχος, δικαίως Ἡγησίου τοῦ ψυχροτάτου καθαπτόμενος, αὐτὸς οὐκ οἶδ' ὅ, τι παθὼν οὐδὲν ἧττον ψυχρῶς τὴν ἐκείνου ψυχρίαν ἐδείνωσεν. Ἡγησίαν μὲν γὰρ οὐδὲν θαυμαστὸν ψυχρὸν ὄντα ψυχρῶς γράφειν· ἐπεί, κατὰ τὸν Κωμικὸν (Ἀριστοφάν. Θεσμοφ. 168), καὶ τὸ ποιεῖν καὶ τὸ γράφειν τοῖς τρόποις εἰκός ἐστι τοῦ ποιοῦντος ἢ γράφοντος ἕπεσθαι·

Ταῦτ' ἄρ' ὁ Φιλοκλῆς, αἰσχρὸς ὢν αἰσχρῶς ποιεῖ·
Ὁ δὲ Ξενοκλέης ὢν κακὸς κακῶς ποιεῖ·
Ὁ δ' αὖ Θέογνις ψυχρὸς ὢν ψυχρῶς ποιεῖ.

Πλούταρχον δέ, ἥκιστα ψυχρὸν ὄντα, οὐκ ἐχρῆν ψυχρῶς τῆς ἑτέρων ψυχρίας καθάπτεσθαι. — Στ. 20, Τρισὶ νίκαις.] Τῇ περὶ Ποτίδαιαν, τῇ κατὰ τῶν Ἰλλυριῶν, καὶ τρίτῃ τῇ ἐν Ὀλυμπίᾳ.—Συγγεγεννημένον.] Ἐξ ΗΔ, ΑΤ, Συγγεγενημένον.—Στ. 25, Τὴν ὑγρότητα τῶν ὀμμάτων.] Τὴν γοργότητα τῶν ὀμμάτων, γράφειν δεῖν τινες οὐ καλῶς ᾠήθησαν (ἴδ. τὴν Γαλλιστὶ γραφεῖσαν Ἔρευν. κριτικ. τῶν ἱστορησάντων τὰ κατ' Ἀλέξανδρ. δευτέρ. ἐκδόσ. σελ. 507). —Στ. 26, Γράφων αὐτόν.] Ἐξ ΗΔ ἡ τροπὴ τοῦ ἄρθρου εἰς τὴν ἀντωνυμίαν.

ΣΕΛΙΔ. 188, στ. 5, Ὅθεν οἱ ξηροὶ καὶ διάπυροι τόποι . . . ἐξαίρει γὰρ ὁ Ἥλιος τὸ ὑγρὸν κ. τ. λ.] Τὰ αὐτὰ καὶ ἀλλαχοῦ (Συμποσιακ. Α, ζ', 1) Πλούταρχος ἐκ τοῦ Θεοφράστου παρειληφὼς λέγει, περὶ τῆς τοῦ σώματος Ἀλεξάνδρου εὐωδίας κἀκεῖ τὸν λόγον ποιούμενος· ὅθεν ἐστὶν ἴσως πιστώσασθαι καὶ ἣν οἱ ΠΡ ἐποίησαν τροπὴν τοῦ, Ἐξαίρει, εἰς τό, Ἐξαιρεῖ». Λέγει γὰρ ἐκεῖ, » Ὅταν ἐξαιρεθῇ τὸ βλαβερὸν ὑγρὸν ὑπὸ θερμότητος

πλὴν εἰ μή τις τοῦτο μᾶλλον τὸ, Ἐξαιρεθῇ, τρέπειν βούλοιτο εἰς τὸ Ἐξαρθῇ. Οὐ γὰρ μόνον ἐξαιρεῖ (τουτέστιν ἀφαιρεῖ) ὁ ἥλιος τὴν ὑγρότητα, ἀλλὰ καὶ ἐξαίρει, τουτέστιν, ἄνω αἴρει, καὶ, ὥς φησιν Ἱπποκράτης (Περὶ ἀέρ. ὑδ. τόπ. σελ. 36-42 ἡμ. ἐκδ.), ἀνάγει καὶ μετεωρίζει τέως, ἕως ἂν πολλὴ συστραφεῖσα, ὑπὸ βάρους αὖθις εἰς ὄμβρους καταῤῥηχθῇ. — Στ. 10, Διεφαίνετο τῷ.] Ἐκ ΔΓ προσέθηκαν τὸ ἄρθρον οἱ ΠΡ. — Στ. 13, Εἶχε τὸ φρόνημα.] ΔΓ, Εἶχε φρόνημα· ἣν προείλοντο οἱ ΠΡ. — Στ. 19, Ἔμελλον.] ΔΓ, Ἔμελλεν· ἣν προείλοντο οἱ ΠΡ. — Στ. 22, Θήρας τε παντοδαπῆς καὶ ῥαβδομαχίας.] Τούτοις παραβάλλοντι τὰ τοῦ Ξενοφῶντος (Περὶ Ἱππ. Η. 10), Ἄμεμπτος ἡ ἐν ΘΗΡΑΙΣ μελέτη τῆς ἱππικῆς· ὅπου δὲ ταῦτα » μὴ ὑπάρχῃ, ἀγαθὴ ἄσκησις, καὶ ἣν δύο ἱππόται συντιθεμένω (ἴσ. συνθεμέ» νω), ὁ μὲν φεύγῃ ... ὁ δὲ διώκῃ, ἘΣΦΑΙΡΩΜΈΝΑ τε ἔχων ἈΚΌΝΤΙΑ, καὶ » δόρυ ὡσαύτως πεπραγματευμένον· καὶ ... ἀκοντίζῃ τὸν φεύγοντα τοῖς » σφαιρωτοῖς κ. τ. λ. », δόξειεν ἂν ἡ Ῥαβδομαχία ὅμοιον ἢ παραπλήσιον εἶναι τῇ διὰ τῶν ἐσφαιρωμένων ἀκοντίων, δοράτων, ἢ μαχαιρίων ἀσκήσει, ἃ Πολύβιος (I, 20, Τόμ. 3 σελ. 234), « ξυλίνας, ἐσκυτωμένας μετ' ἐπισφαίρων μαχαίρας » καλεῖ, οἷα σχεδόν εἰσι τὰ παρὰ τοῖς Γάλλοις καλούμενα fleurets, εἰς σφαιροειδὲς σκύτινον κύρτωμα, ἵνα μὴ βλάπτῃ τὸν διαγωνιζόμενον, ἀπολήγοντα. Καλοῦσι δὲ καὶ τὸ διὰ τούτων γυμνάζεσθαι, escrimer, καὶ τὴν γυμνασίαν, escrime· — Στ. 28, Πορείας τῆς ἄνω.] Τῆς ἐπὶ τὴν Περσίδα. Ἔπιθι τὰ ἀνωτέρω (σελ. 347) σεσημειωμένα. — Στ. 30, Πολέμους.] ΠΡΔ, ΑΤ, Πολεμίους.

ΣΕΛΙΔ. 189, στ. 14, Αὐτοῦ.] Αὐτῷ, πάλαι γεγράφθαι τις ὑπενόησε τῶν ΠΡ, κομψοτέρως μὲν, οὐ μὴν ἀναγκαίως. — Στ. 16, Αὐτὸς μὲν οὐ φεύγων κ. τ. λ.] Ἐξ ΕΔ, ΑΤ, Αὐτὸς μὲν οὖν φεύγων. Ὁ νοῦς, Οὐκ ἔφευγε μὲν αὐτὸς τὸ καλεῖσθαι παιδαγωγὸς, καίπερ οὐκ ὄντος ἀστείου τοῦ ὀνόματος, ἐπεὶ καὶ δοῦλοι πολλάκις ἦσαν παιδαγωγοί· ὠνομάζετο μέντοι ὑπὸ τῶν ἄλλων τροφεὺς καὶ καθηγητὴς, εὐπρεπεστέροις ὀνόμασι δηλονότι. — Στ. 24, Φιλονείκου.] Ἕτερος οὗτος παρὰ τὸν ἀλλαχοῦ (Πλουτάρχ. Μέρ. Β, σελ. 157) μνημονευθέντα Φιλόνεικον. — Βουκεφάλαν.] Ἐξ ΗΔ, ΑΤ, Βουκέφαλον. Οὕτως γὰρ καὶ ἀλλαχοῦ (κατωτέρ. § 16, σελ. 200 καὶ Πότερ. τῶν ζώων φρονιμώτερ. § 14) Πλούταρχος αὐτὸν ὀνομάζει, οὕτως καὶ Ἀῤῥιανὸς (Ἀναβάσ. Ἀλεξάνδρ. Ε, 14, 8,), Μακεδόνων δηλονότι διαλέκτῳ. Τὸ δὲ τοῦ ὀνόματος ἔτυμον, οἱ μὲν διότι βοὸς κεφαλῇ παραπλησίαν εἶχε τὴν

κεφαλὴν, οἱ δὲ διὰ τὸ πλατὺ τοῦ μετώπου, καὶ ἄλλοι ἄλλως ἀποδεδώκασι. — Στ. 25, Τρισκαίδεκα ταλάντων. ] Ὁμοῦ τι Γαλλικῶν φράγκων μυριάδων ἑπτά. — Ἐδόκει τε χαλεπός... δυσχεραίνοντος δὲ τοῦ Φιλίππου κ. τ. λ. ] Ἢ τὸν, Τε, σύνδεσμον περιαιρετέον, ἵνα ᾖ τῆς προτάσεως, Ἐπεὶ δὲ, Φιλονείκου, ἀπόδοσις τὸ, Ἐδόκει χαλεπὸς, ἢ τὸν ἑπόμενον, Δὲ (ὃ καὶ μᾶλλον ἀρέσκει με), ἵν' ᾖ ἡ ἀπόδοσις εἰς τὸ, Παρὼν Ἀλέξανδρος, ἢ οὐδέτερον τούτων ἐκτοπιστέον, ἀλλὰ τὸν Πλούταρχον αὐτὸν τῆς ἀσυναρτησίας αἰτιατέον.

ΣΕΛΙΔ. 190, στ. 8, Ὁρισμοῦ.] ΔΓ, Ἐρισμοῦ. Ὁρισμὸν ἐνθάδε λέγει τὴν συνθήκην, τουτέστι τὸ ἐν τῇ συνηθείᾳ καλούμενον, Στοίχημα. — Στ. 9, Αὐτός.] Ἐξ ΗΔ, ΑΤ, Εὐθύς. ΔΓ, Οὗτος. — Στ. 11, Προσπίπτουσαν. ] Μεταμέλει μοι μὴ τρέψαντι εἰς τὸ Προπίπτουσαν, τὸ Προσπίπτουσαν, καίπερ οὕτως παρ' ἅπασι γραφόμενον. — Στ. 12, Παρακαλπάσας. ] Τῷ ἵππῳ θέοντι πεζὸν συνθεῖν, εἰλημμένον τοῦ χαλινοῦ, ἐστὶ τὸ Παρακαλπάζειν· παρὰ τὸ Καλπάζειν, ὅθεν τὸ τῶν Γάλλων Caloper, ὡς ἐξηγήσατο ὁ Βουδαῖος (σελ. 212). Τὸ δὲ Καλπάζειν τοῦτο παρὰ τὴν Κάλπην, εἶδος οὖσαν ἱππείου δρόμου, οὐ μὴν ταὐτὸν τῷ παρὰ τοῖς Γάλλοις καλουμένῳ galop, ἀλλὰ μᾶλλον ἀνάλογον τῷ παρ' ἐκείνοις trot, παρ' ἡμῖν δὲ, Σακτὸν (προσυπακουομένου τοῦ Βάδισμα ἢ Κίνημα)· παρ' ὃ καὶ ῥῆμα τὸ Σακτῶ, ᾧ χρώμεθα ἐπὶ τοῦ Καλπάζειν. Ἔνθεν ἴσως ἐξηγεῖσθαι καὶ τὸν Ἡσύχιόν ἐστι, λέγοντα, «Καλπάζει, ὀξυπόδης· σακκάζει» καὶ αὖθις. «Κάλπις, ἵππος βαδιστής· καὶ »εἶδος δρόμου». Τὸ μὲν γὰρ, Ὀξυπόδης, πιθανῶς πάνυ εἰς τὸ, Ὀξυποδεῖ, τρεπτέον εἶναι ἀπεφήναντο οἱ κριτικοί· τὸ δ' ὑπὸ μηδενός πω ἑρμηνευθὲν, Σακκάζει, ἢ τρεπτέον εἰς τὸ, Σακτάζει, ἢ παρὰ τὸ Σακκάζω φατέον εἶναι τὸ ἡμέτερον Σακτῶ τροπῇ τοῦ ἑτέρου κ εἰς τὸ τ, καθ' ἣν καὶ Μελιτερίδιον καλοῦμεν τὴν παρὰ τοῖς ἀρχαίοις Μελικηρίδα· καὶ ἔστιν ὁ διπλοῦς οὗτος σχηματισμὸς τοῦ Σακτάζω καὶ Σακτῶ, παραπλήσιος τῷ τοῦ Ἁρπάζω καὶ Ἁρπῶ. Ἔχει δέ τι συγγενὲς τῷ Σακκάζειν καὶ ἡ παρὰ τοῖς Βυζαντινοῖς συγγραφεῦσι, Σάκα, ἱππικοῦ τάγματος ὄνομα (Δουκάγγ. σελ. 1319)· ἴσως δὲ καὶ ἡ παρὰ τοῖς Γάλλοις saccade ἱππικὴ μὲν λέξις καὶ αὕτη, ἕτερόν τι ὅμως ἐμφαίνουσα· καλοῦσι γὰρ οὕτω τὴν ὀξεῖαν καὶ μετὰ σπαραγμοῦ γινομένην τοῦ ἵππου ὑπὸ τοῦ ἀναβάτου ἀναχαίτισιν. — Στ. 16, Προσανέστειλεν.] ΔΓ, Προσέστειλεν. — Στ. 17,

Ἀφεὶς.] Ἐξ ΗΔ, ΑΤ, Ἀφείς. — Ἐδίωκεν.] ΔΓ, Ἐνέδωκεν. — Στ. 24, Δυσκίνητον μὲν οὖσαν ἐρίσαντος μὴ βιασθῆναι.] Οὐκ ὀρθῶς οἱ ΠΡ ἔτρεψαν τὸ Δυσκίνητον, εἰς τὸ Δυσνίκητον. Ὁ νοῦς, Δυσκόλως κινουμένην, ὁπότε ἐρίσειε μὴ βιασθῆναι, ὁπότε βούλοιτο ἀντιστῆναι πρὸς τοὺς βίᾳ μᾶλλον, ἢ λόγῳ ἐπὶ τὸ πράττειν τι ἄγειν αὐτὸν ἐπιχειροῦντας.

ΣΕΛΙΔ. 191, στ. 6, Τὸ περὶ Μίεζαν νυμφαῖον.] «Μίεζα, πόλις Μακε» δονίας, ἡ Στρυμόνιον ἐκαλεῖτο .. τὸ ἐθνικὸν, Μιεζεὺς, καὶ Μιεζαῖος» φησὶν ὁ Βυζάντιος Στέφανος. Τὸ δὲ, Νυμφαῖον τόπος ἦν οὕτω καλεύμενος (διὰ τὸ ἀνακεῖσθαι ἴσως ταῖς Νύμφαις) πρὸς τῷ Σιγγιτικῷ κόλπῳ, οὐ μακρὰν ἀπέχων τῆς Σταγείρου (Στράβ. Ζ, σελ. 330-331). — Στ. 7, Λιθίνας.] ΔΓ, Λιθίνους. — Στ. 9, Βαρυτέρων.] Οὕτω παρ' ἅπασι· τρεπτέον ὅμως, οἶμαι, εἰς τὸ Βαθυτέρων. — Στ. 10, Ἀκροαματικάς.] Ἐκ μόνης τῆς τοῦ διδασκάλου φωνῆς ἀκουομένας, καὶ μὴ ἐν βιβλίοις φερομένας. — Ἐποπτικάς.] Ἀπὸ μεταφορᾶς τῶν ἐν τοῖς μυστηρίοις τελουμένων, ὧν τὰ μὲν ἐλέγετο μικρὰ, τὰ δὲ μεγάλα μυστήρια· καὶ οἱ ταῦτα μυηθέντες Ἐπόπται, ὡς οἱ τὰ μικρὰ, Μύσται ἁπλῶς ἐλέγοντο. «Οἱ τὰ μυστήρια » παραλαμβάνοντες λέγονται ἐν ἀρχῇ μὲν Μύσται, μετ' ἐνιαυτὸν δὲ » Ἐπόπται καὶ Ἔφοροι» φησὶ Σουΐδας (λέξ. Ἐπόπται)· ἐπώπτευον γὰρ τοὐλάχιστον ἀπὸ τῶν μικρῶν ἐνιαυτὸν διαλιπόντες. — Στ. 22, Ἡ μετὰ τὰ φυσικά.] Εἰσὶν οἳ γεγράφθαι πάλαι ὑπετόπασαν, Ἡ περὶ τὰ φυσικὰ, διότι καὶ ἡ φυσικὴ θεωρία τῶν ἀκροαματικῶν ἦν διδαγμάτων· ὡς ἐμφαίνει καὶ ἡ ἐπιγραφὴ, Φυσικῆς ἀκροάσεως· ἕτεροι δὲ, Ἡ περὶ τὰ φυσικὰ, καὶ ἡ τῶν μετὰ τὰ φυσικὰ, γράφειν δεῖν ὑπέλαβον. — Στ. 23, Οὐδὲν ἔχουσα χρήσιμον, ὑπόδειγμα τοῖς πεπαιδευμένοις κ. τ. λ.] Οὕτω μετέφρασε τὸ χωρίον τόδε ὁ Α, ὥσπερ ἂν εἰ ἦν ἐστιγμένον, Οὐδὲν ἔχουσα χρήσιμον ὑπόδειγμα, τοῖς πεπαιδευμένοις κ. τ. λ. ἀποδοὺς τὸ Ὑπόδειγμα οὐ πρὸς τὸ Πεπαιδευμένοις, ἀλλὰ πρὸς τὸ προσυπακουόμενον, Τοῖς ἄλλοις, τουτέστι τοῖς μὴ παιδευθεῖσι τὰ ἀκροαματικά. — Στ. 25, Καὶ τὸ φιλιατρεῖν Ἀλεξάνδρῳ προστρίψασθαι] ΔΓ... Προτρέψασθαι· οὐ κακῆ, εἰ ἐγράφετο, Καὶ ἐπὶ τὸ φιλιατρεῖν Ἀλέξανδρον προτρέψασθαι. — Στ. 29, Καὶ φιλομαθής.] Λείπουσιν αἱ δύο λέξεις αὗται ἔν τισι τῶν ἐκδόσεων.

ΣΕΛΙΔ. 192, στ. 1, Ἐκ τοῦ νάρθηκος.] Νάρθηξ παρὰ τἄλλα σημαίνει ὥς φησιν ὁ Ἐτυμολόγος (σελ. 597) καὶ «Ἰατρικόν τι τεῦχος, κυρίως τὸ ἐκ

» νάρθηκος γεγενημένον· καταχρηστικῶς δὲ καὶ τὸ ἐξ οἵας δήποτε ὕλης ». Τουτέστι σημαίνει μικρὸν κιβώτιον κομψῶς κατεσκευασμένον εἰς ἀπόθεσιν κοσμίων πολυτελῶν (Γαλλ. un écrin)· καὶ ἔστιν αὐτὸ ἐκεῖνο τὸ τοῦ Δαρείου, ἐν ᾧ τὴν Ἰλιάδα κατέθετο ὁ Ἀλέξανδρος, ὡς ἐν τοῖς ἑξῆς (§ 26, σελ. 212) δηλώσει Πλούταρχος. — Στ. 3, Ὀνησίκριτος.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ὀνησικράτης.—Στ. 4, Ἐν τοῖς ἄνω τόποις.] Ἐν τῇ Περσίδι· ὡς πρὸς τὴν θάλασσαν δηλονότι. — Στ. 5, Φιλίστου.] Τοῦ Συρακουσίου ἱστορικοῦ. — Στ. 7, Τελέστου.] Τοῦ Σελινουντίου, Διθυράμβων ποιητοῦ. — Φιλοξένου.] Ἕτερος οὗτος Διθυραμβοποιὸς ποιητής, Κυθήριος. — Στ. 11, Σφοδρόν.] ΔΓ, Στερρόν. — Στ. 19, Μεδάρων.] Οὐδεὶς οἶδε τούτους τῶν Γεωγράφων· διὸ, Μαίδων, γραπτέον εἶναί τινες ὑπετόπασαν, ἔθνους Θρακικοῦ, Μακεδόσιν ὁμοροῦντος.— Στ. 20, Ἐξαπήλασε.] ΔΓ, Ἐξήλασε, χρηστοτέρα μὲν, οὐ μὴν ἐφ' ὅσον καὶ νοθείαν καταγνῶναι τοῦ Ἐξαπήλασε, καίπερ ἐν ταῖς ἀμφιβαλλομέναις τῶν λέξεων κατατεταχότος αὐτὸ τοῦ σοφοῦ Σνειδέρου. Οὐδὲν γὰρ ἧττον ὀρθῶς ἂν λέγοιτο τὸ Ἐξαπελαύνειν, τοῦ Ἐξαπολλύναι. — Στ. 23, Ἐνσεῖσαι τῷ ἱερῷ λόγῳ.] Προσυπάκουε τὸ, Ἑαυτόν.

ΣΕΛΙΔ. 193, στ. 14, Παρασκευάζεται.] Ἐξ ΗΔ (ἧς μεταμέλει μοι νῦν), ΑΤ, Παρεσκευάζετο. — Στ. 26, Πηξόδωρος.] Πιξώδαρον Ἀῤῥιανὸς (Ἀλεξάνδρ. Ἀναβάσ. Α, 23) τοῦτον ὀνομάζει.— Στ. 17, Καταστήσας.] Εἰς τὸ Μεταστήσας τρεπτέον εἶναι ὑπετόπασεν ὁ κριτικὸς Σχαιφέρος, ἐν ταῖς εἰς τοὺς Αἰσωπείους μύθους σημειώσεσι (σελ. 106).

ΣΕΛΙΔ. 194, στ. 7, Ὁ δὲ Φίλιππος, αἰσθόμενος ὄντα τὸν Ἀλέξανδρον εἰς τὸ δωμάτιον.] ΔΓ, Ὁ δὲ Φίλιππος, ἰὼν εἰς τὸ Ἀλεξάνδρου δωμάτιον. Καὶ ταύτης μὲν τῆς διαφόρου γραφῆς, ἣν τινες προείλοντο τῶν κριτικῶν, ὁ νοῦς πρόδηλος· τῆς δ' ἐκδεδομένης, ἐν ᾗ τὴν, Εἰς, πρόθεσιν ἀντὶ τῆς, Ἐν, ἐκληπτέον, καθὰ καὶ ἐν ἄλλοις (Ἡλιοδώρ. Β, σελ. 41), οὗτος ἂν εἴη, Αἰσθόμενος ὁ Φίλιππος διατρίβοντα τὸν Ἀλέξανδρον ἐν τῷ δωματίῳ, τουτέστιν ἐν τῷ κοιτῶνι, οὗπερ εἰώθει αὐτὸς Φίλιππος Ὀλυμπιάδι συναναπαύεσθαι. Ταυτὸ γὰρ σημαίνει παρὰ τοῖς ἀρχαίοις τὸ Δωμάτιον τῷ παρὰ τοῖς Γάλλοις chambre à coucher.

Ἐὰν δὲ λαβόντες εἰς τὸ δωμάτιον βίᾳ
Ἕλκωσιν ἡμᾶς; ——————

λέγει τις γυνὴ περὶ τῶν ἀνδρῶν παρὰ τῷ Κωμικῷ (Λυσιστρ. 160). Ἕτεροι δὲ (Αἰσ. μύθ. ἐκδ. Σχαιφέρ. σελ. 106), ἔκ τε ταύτης τῆς γραφῆς καὶ τῆς

ἐκδεδομένης τρίτην ἑτέραν συντιθέντες, γραπτέον εἶναι ὑπέλαβον, Ὁ δὲ Φίλιππος, αἰσθόμενος, ἰὼν εἰς τὸ Ἀλεξάνδρου δωμάτιον. — Στ. 12, Ἀγαπᾷ γαμβρὸς γενέσθαι. ] «Ἀγαπᾷν, ἀποδέχεσθαι, ἀρκεῖσθαί τινι, καὶ μηδὲν πλέον ἐπιζητεῖν» φησὶ Σουΐδας. Εἴρηκε δέ που καὶ Μένανδρος ὁ Κωμικὸς, Ἀγαπητὸν προβάτιον, τουτέστι, προβάτιον οὗ τῇ θυσίᾳ ἀρκοῦνται οἱ θεοὶ, μηδὲν ἕτερον ἐπιζητοῦντες. — Στ. 13, Ἐν πέδαις. ] ΔΓ, ΑΤ, Ἐπὶ πέδαις. — Στ. 24, Τὸν δόντα κ.τ.λ. ] Ἐκ τῆς Εὐριπίδου Μηδείας (στίχ. 288). Λέγει δὲ ταῦτα Κρέων πρὸς τὴν Μήδειαν·

Κλύω δ' ἀπειλεῖν, ὡς ἀπαγγέλλουσί μοι,
Τὸν δόντα, καὶ γήμαντα, καὶ γαμουμένην,
Δράσειν τι ——————————

ΣΕΛΙΔ. 195, στ. 2, Οἷον. ] Ἴσως ἐγέγραπτο, Ὅσον· τὸ γὰρ ἑξῆς, Οὐκ ἔσχε χρόνον [τοσοῦτον] ὅσον καταζεῦξαι καὶ τιθασεῦσαι τὴν Ἑλλάδα. — Στ. 13, Ἢ καὶ Σύρμον. ] Τὸ, Ἢ, ἀντὶ τοῦ, Ὅπου. Περὶ γὰρ τὸν Ἴστρον αὐτῷ ἐγεγόνει ἡ πρὸς τὸν Σύρμον μάχη, ἐν ᾗ οὐκ ἐνίκησε τὸν Σύρμον μάχῃ μεγάλῃ, ὥς φησι Πλούταρχος, ἀλλὰ καταφυγόντος εἰς τὴν ἐν τῷ ποταμῷ νῆσον, Πεύκην, μὴ δυνηθεὶς εἰς αὐτὴν ἀποβῆναι, σπάνει πλοίων, ἠγάπησε δῶρα λαβεῖν παρ' αὐτοῦ, ὡς ἱστόρηκε Στράβων Ζ, σελ. 301). — Στ. 14, Τριβαλλῶν. ] Τῶν νῦν Βουλγάρων, ἔθνους Σκυθικοῦ, οὕτως ὀνομασθέντος ἀπὸ τοῦ ποταμοῦ, Βόλγα, περὶ ὃν ᾤκουν τὸ πάλαι, πρὸ τοῦ μετοικισθῆναι εἰς ὃν νῦν κατέχουσι τῆς Μοισίας τόπον. — Στ. 15, Αὐτοῖς Ἀθηναίους. ] Ἐξ ΕΔ, εἰ ΠΡ, ΑΤ, Αὐτοὺς Ἀθηναίοις. — Στ. 16, Ἐθέλων ἀνὴρ φανῆναι. ] Περιγράφειν δεῖν τὰς λέξεις ἔδοξέ τινι τῶν (ΠΡ, κἀμοὶ συνδοκεῖ. — Στ. 26, Ἠγωνίσθη... τὰ παρὰ τῶν Θηβαίων. ] Καὶ ἐνθάδε περιττὸν ἔδοξεν ἐμοί τε καὶ τοῖς ΠΡ τὸ πρῶτον τῶν ἄρθρων. Οὐ γὰρ ἀντ' ὀνομαστικῆς ἐκλαμβάνειν ἀνάγκη φερομένης πρὸς τὸ, Ἠγωνίσθη· ἀλλ' ἄμεινον τοῦτο ἀπροσώπως ἐκδέχεσθαι, ἢ μᾶλλον ἐλλειπτικῶς τοῦ Ἀγὼν, ἵν' ᾖ, Ἠγωνίσθη οὗτος ὁ ἀγὼν παρὰ τῶν Θηβαίων, ὅπερ οὐδὲν μᾶλλον ἄτοπον ἂν εἴη τοῦ, Ἠγωνίσαντο τὸν ἀγῶνα τοῦτον οἱ Θηβαῖοι. Καὶ ἔστι πολλὰ τοιαῦτα παθητικὰ, ἔμφασιν ἀπροσώπων παρέχοντα ῥήματα, οἷον καὶ τοῦ κωμικοῦ Ἀριστοφάνους (Θεσμοφ. 1227) τουτί,

Ἀλλὰ πέπαισται μετρίως ἡμῖν,

ὃ προσυπακουόμενον ἔχει τὸ Παιδιά, καὶ οὐδὲν ἕτερον βούλεται λέγειν τοῦ Πεπαίχαμεν μετρίως.

ΣΕΛΙΔ. 196, στ. 11, Ἐκκόψαντες οἰκίαν.] Σημειοῦ τὴν φράσιν τοῦ παρακμάζοντος Ἑλληνισμοῦ, ᾗ καὶ ἀλλαχοῦ πολλαχοῦ Πλούταρχος, καὶ πρὸ τοῦ Πλουτάρχου Πολύβιος (Δ 3, § 10) ἐχρήσατο, ἀντὶ τοῦ Βίᾳ τὴν οἰκίαν ἀνοίξαντες, ἢ ἀπὸ τοῦ ὅλου τὸ μέρος, ἀντὶ τοῦ Τὰς θύρας τῆς οἰκίας ἐκκόψαντες καὶ διαῤῥήξαντες. — Στ. 14, Καταισχύνας.] Κατεντροπιάσας, λέγει τοῦτο ἡ συνήθεια, ὥσπερ καὶ ἐν ἄλλοις (Πρόδρ. Ἑλλ. Βιβλ. σελ. 366, καὶ Ἰσοκράτ. Β, σελ. 47). — Στ. 17, Αὐτή.] ΔΓ, Αὐτήν: Αὐτῇ. Καλῶς ἔχει τὸ Αὐτὴ, κατ' ὀνομαστικὴν, ἄλλως τε καὶ εἰ ἐκλαμβάνοις ἀντὶ τοῦ, Μόνη, ὥσπερ εἰκὸς ἦν τὴν τὰ τιμιώτατα κατακρύπτουσαν, μηδενὸς συμπαρόντος δρᾶν τοῦτο (ἰδ. Πλουτάρχ. Μέρ. Β, σελ. 446). — Στ. 20, Πρὸς τὸν Ἀλέξανδρον.] Ἐκ ΔΓ, προσέθηκα τὸ ἄρθρον.

ΣΕΛΙΔ. 197, στ. 2, Ἐπὶ τὴν πόλιν.] ΔΓ, Εἰς τὴν πόλιν. — Στ. 11, Καὶ δόξαν.] ΔΓ, Καὶ τὴν δόξαν· ἣν προείλοντο οἱ ΠΡ. — Στ. 12, Διονύσου.] Τοῦ προστατοῦντος τῶν Θηβῶν (ἃς κατεσκάφει) θεοῦ δηλονότι. — Στ. 13, Ἐντυχών τι.] Αἰτήσας τι, ἢ καὶ Διαλεχθεὶς περί τινος· ἀνθ' οὗ ἐν τῇ συνηθείᾳ τῷ Συντυγχάνω, μεταποιήσαντες εἰς τὸ Συντυχαίνω, χρώμεθα, οἷον, τοῦτο τὸ χωρίον εἰ μεταφράσαι βουλοίμεθα, φαῖμεν ἂν, Κἀνεὶς ἀπὸ τοὺς σωθέντας Θηβαίους δὲν τὸν ἐσύντυχε τίποτε, μηδὲ τὸν παρεκάλεσε, χωρὶς νὰ τὸ ἐπιτύχῃ. — Στ. 19, Ταὐτό.] ΔΓ, Ταὐτόν. Ἀττικώτερον τὸ διὰ τοῦ ν, ὡς φησιν Ἀπολλώνιος, ἡνίκα πρόσκειται τὸ ἄρθρον. — Στ. 29, Εἰπεῖν.] Ἐξ ΕΔ, ΠΡ, ΑΤ, Εἶπεν· διὰ τὸ προηγησάμενον, Ὥστε.

ΣΕΛΙΔ. 198, στ. 2, Θεμιστεύειν.] Χρησμῳδεῖν. Καὶ διορθούσθω ἐν παρόδῳ τὸ Φωτίου Λεξικὸν, «Θεμιστεύειν, ἀντὶ τοῦ Χρησμῳδεῖν, Λυσίας. » Γέγονε δὲ τὸ ὄνομα ἀπὸ τοῦ Θέμιν ἐσχηκέναι ποτὲ τὸ μαντεῖον ἈΠῸ » τοῦ Ἀπόλλωνος», ὅπου γραπτέον ... ΠΡῸ τοῦ Ἀπόλλωνος, ὡς δῆλον ἔκ τε τοῦ Ἁρποκρατίωνος καὶ τοῦ Σουΐδα (λέξ. Θεμιστεύειν). — Στ. 3, Προϊσχομένης τὸν νόμον.] Κυρίως μὲν Προβαλλούσης καὶ δεικνύσης τὸν νόμον, ἐκ δὲ τούτου καὶ τὸ Προφασιζομένης. Διορθούσθω μοι ἐν παρόδῳ καὶ ὁ Ἡσύχιος, « Προΐσχοντο, ἜΔΟΞΑΝ » μεταποιοῦντι τὴν τελευταίαν λέξιν εἰς τὸ ἜΔΕΙΞΑΝ. — Στ. 9, Τὸ περὶ Λείβηθρα.] Ἀῤῥιανὸς (Ἀνάβάσ. Ἀλεξάνδρ. Α, 11, § 2) Τὸ ἐν Πιερίδι λέγων, οὐκ ἀντιφέρεται Πλουτάρχῳ, ἢ δῆλον ἐκ τῶν

Στράβωνος (σελ. 410 καὶ 471). Πίερες γὰρ ἐκαλοῦντο Θρακικὸν ἔθνος τι, ὧν ἦν καὶ ἡ Πιερίς, καὶ ὁ Ὄλυμπος, καὶ ἡ Πίμπλα (ἢ Πίμπλεια) καὶ τὸ Λείβηθρον (ἢ πληθυντ. Τὰ Λείβηθρα), ὅθεν ἦν Ὀρφεὺς ὁ μουσικώτατος, ὃν ἀποκτείναντες οἱ Λειβήθριοι ἀφορμὴν παρέσχον τῇ παροιμίᾳ, «Λειβηθρίων ἀμουσότερος». — Στ. 11, Φοβουμένων.] ΔΓ. Βουλομένων (ἐξ ἀμείνονος ἴσως, Εὐλαβουμένων). — Στ. 17, Τετρακισχιλίους καὶ τρισμυρίους.] ΔΓ, Τετρακισμυρίους καὶ τρισχιλίους. — Στ. 21, Ἀπὸ μικρῶν καὶ στενῶν οὕτως ὁρμώμενος.] Ὡς καὶ ἐν τῇ συνηθείᾳ ἐνθάδε τὸ Στενῶν ἐπὶ τοῦ Ὀλίγων. Φαμὲν γάρ, Στενὸν μᾶς ἦλθε τὸ γεῦμα, καί, Τὸ στενὸν τοῦ καιροῦ. — Στ. 25, Διαγεγραμμένων σχεδὸν ἁπάντων τῶν βασιλικῶν.] Ἴσον ἐνταῦθα δύναται τὸ Διαγεγραμμένων τῷ Διὰ γραφῆς δεδωρημένων, καί, ὡς ἂν ἐν τῇ συνηθείᾳ φαῖμεν, Ἐγγράφως χαρισμένων· ἢ δῆλον ἐκ τῶν ἑπομένων «Τὴν διαγεγραμμένην κτῆσιν αὐτῷ», καὶ ἐξ ἑτέρου παραλλήλου χωρίου (Πομπ. § 31, σελ. 129) «Διέγραψε χώρας τῆς αἰχμαλώτου καὶ δωρεὰς ἄλλας, οἷς ἐβούλετο». Τῷ δὲ Βασιλικῶν προσυπάκουε τὸ Κτημάτων.

ΣΕΛΙΔ. 199, στ. 2, Τοιαύτῃ μὲν οὖν ὁρμῇ.] Ἐξ ΗΔ, ἡ προσθήκη τοῦ, Οὖν· ὃ καὶ ὁ Α ἐξέφρασε διὰ τοῦ doncques.—Στ. 7, Φίλου πιστοῦ.] Τοῦ Πατρόκλου.—Μεγάλου κήρυκος.] Τοῦ Ὁμήρου —Στ. 11, Ἢ τὰ κλέα καὶ τὰς πράξεις ὕμνει.] Ὥς φησιν αὐτὸς Ὅμηρος (Ἰλιάδ. I, 189),

Τῇ ὅγε θυμὸν ἔτερπεν, ἄειδε δ' ἄρα κλέα ἀνδρῶν.

—Στ. 14, Ἐπὶ τῇ διαβάσει τοῦ Γρανικοῦ . . . περὶ τῆς ΕΙΣΟΔΟΥ καὶ τῆς ἀρχῆς.] Φησὶν ὁ Γάλλος Γεωγράφος Δαμβίλλης τὸν Γρανικὸν καλεῖσθαι νῦν ὑπὸ τῶν ἐπιχωρίων Οὐσβολά, ὅπερ ἴσως παρὰ τὸ ΕΙΣΒΟΛΗ (συνώνυμον τῆς Εἰσόδου) παραπεποίηται· ἐντεῦθεν γὰρ Ἀλέξανδρος τῆς εἰς τὴν Ἀσίαν εἰσβολῆς ἤρξατο. Οἱ δὲ Τοῦρκοι καλοῦσι τὸν ποταμὸν τοῦτον Σουσιγιρλί, ὅπερ ἂν εἴη Ὑδρόβους.—Στ. 18, Γενέσθαι.] Μηδὲν δέον προειλόμην τὴν ΔΓ ταύτην τῆς ἐκδεδομένης, Γίνεσθαι.—Στ. 20, Δαισίου.] Ἑνὸς τῶν Μακεδονικῶν μηνῶν, οὗς οὕτως ἐπὶ τοῦ ἑξῆς διαγγράμματος τοῖς Ἀττικοῖς μησί τινες παρέβαλον (ἴδε Κορσίν. Ἡμερολογ. Ἀττικ. Τόμ. Β, σελ. 460).

| ΜΗΝ. ΣΕΛΗΝ. ΜΑΚΕΔ. | ΜΗΝ. ΑΤΤΙΚ. | ΜΗΝ. ΗΛΙΑΚ. ΜΑΚΕΔ. |
|---|---|---|
| Δαίσιος . . . . . . . | Ἑκατομβαιών . . . . . | Λῷος. |
| Πάνεμος. . . . . . . . | Μεταγειτνιών . . . . . | Γορπιαῖος. |
| Λώϊος [ἢ Λῷος] . . . | Βοηδρομιών . . . . . . | Ὑπερβερεταῖος. |
| Γορπιαῖος . . . . . . | Μαιμακτηριών . . . . . | Δῖος. |
| Ὑπερβερεταῖος . . . . | Πυανεψιών . . . . . . | Ἀπελλαῖος. |
| Δῖος. . . . . . . . . | Ποσειδεών. . . . . . . | Αὐδυναῖος. |
| Ἀπελλαῖος . . . . . . | Γαμηλιών . . . . . . . | Περίτιος. |
| Αὐδυναῖος [ἢ Αὐδοναῖος]. | Ἀνθεστηριών . . . . . | Δύστρος. |
| Περίτιος. . . . . . . | Ἐλαφηβολιών . . . . . | Ξανθικός. |
| Δύστρος . . . . . . . | Μουνυχιών . . . . . . | Ἀρτεμίσιος. |
| Ξανθικός . . . . . . . | Θαργηλιών . . . . . . | Δαίσιος. |
| Ἀρτεμίσιος. . . . . . | Σκιροφοριών . . . . . | Πάνεμος. |

Ἀλλ' ἔστι πολλὴ καὶ περὶ τούτων ἡ διαφωνία.—Στ. 27, Ἵπποις.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἵππους.—Ἐλαύνων καὶ διὰ ῥεύματος.] Διέγραψα τὸν σύνδεσμον, ὃν οὐδ' ὁ Α ἐξέφρασε. — Παραφέροντος.] ΔΓ, Παραῤῥέοντος.—Στ. 29, Γνώμη.] Γνώμη ἐνθάδε ἡ φρόνησις, καὶ ἣν ἡ συνήθεια κοινοτέρως Γνῶσιν καλεῖ. Ὅθεν καὶ παρ' Ἱπποκράτει « Γνώμης ἁπτόμενοι πυρετοὶ » λέγονται οἱ παραφρονεῖν ποιοῦντες πυρετοί. Τὴν δὲ γνώμην ἡμεῖς ἐπὶ τῆς προαιρέσεως ἢ βουλήσεως τετάχαμεν, οἷον, Μὲ τὴν γνώμην μου, ἢ τοὐναντίον, Χωρὶς τὴν γνώμην μου, τὸ ἔκαμε, ὧν παραδείγματα καὶ ἐκ τῶν ἀρχαίων ἔστιν ἀναλέξασθαι, τοῦ μὲν πρώτου τὸ παρὰ τῷ Ξενοφῶντι (Κύρ. παιδ. Η, 5, § 20) « Βούλομαι δὲ, ἔφη, » σὺν τῇ τοῦ πατρὸς γνώμῃ καὶ τῇ τῆς μητρὸς ταῦτά σοι συναινέσαι »· τοῦ δευτέρου δὲ τὸ παρὰ τῷ αὐτῷ Ξενοφῶντι (Κύρ. Ἀναβ. Α, 3, § 13) « Ἄνευ τῆς Κύρου γνώμης καὶ μένειν καὶ ἀπιέναι ». Τοιοῦτόν τί ἐστι καὶ τὸ Ἔχω γνώμην νὰ κάμω τι, ὡς καὶ τὸ παρὰ τῷ Θουκυδίδῃ (Α, 86), « Γνώμην ἔχοντες μὴ ἐκπλεῖν ἔξω τῶν Ῥίων ». Χρώμεθα τῷ Γνώμη, καὶ ἐπὶ τῆς κρίσεως, δόξης, οἰήσεως, ὡς ἐν τῷ Ποίαν γνώμην ἔχεις περὶ τούτου; τουτέστι, Τί κρίνεις, ἢ τί σοι δοκεῖ περὶ τούτου; καθὰ καὶ τὸ παρὰ τῷ Ἀριστοφάνει (Βατρ. 1422),

Πρῶτον μὲν οὖν περὶ Ἀλκιβιάδου ΤΙΝ' ΕΧΕΤΟΝ
ΓΝΩΜΗΝ ἑκάτερος; ———————————

Φαμὲν ὡσαύτως καὶ, Τί εἶναι ἡ γνώμη σου; καὶ, Ἡ γνώμη μου εἶναι νὰ, ἢ ὅ τι.

ΣΕΛΙΔ. 200, στ. 1, Φύρδην μάχεσθαι.] Ἀναμὶξ καὶ συγκεχυμένως μάχεσθαι· παρὰ τὸ Φύρω, ὅπερ ἡ συνήθεια παρεμβαλοῦσα τὸ ν Φύρνω λέγει, ὥσπερ καὶ Σύρνω, τὸ Σύρω. «Φύρδην (φησὶν Ἡσύχιος), ἀτάκ» κτως, συγκεχυμένως, ἀναμίξ». Καὶ τὸ μὲν Φυρμένος καὶ ἡμεῖς νῦν τάττομεν κυρίως μὲν ἐπὶ τοῦ τεταραγμένου κλωστῆρος, ἢ τινος ἑτέρου τοιούτου δυσχερῆ τὴν διάλυσιν ἔχοντος, καὶ ἁπλῶς ἐφ' οἱουδήποτε συγκεχυμένου, οἷόν ἐςι καὶ τὸ παρ' Ἡροδότῳ (Α, 103), «Προτοῦ δὲ ἀναμὶξ ἦν πάντα ὁμοίως ἀναπεφυρμένα»· μεταφορικῶς δὲ καὶ ἐπὶ τοῦ τεθορυβημένου τὴν διάνοιαν καὶ ἀμηχανοῦντος, οἷον, Κάμνεις ὡσὰν φυρμένος· ἐφ' ἧς ἐννοίας καὶ Πλάτων (Φαίδων. σελ. 101), «Ἅμα δὲ οὐκ ἂν φύροιο... περί τε τῆς ἀρχῆς » διαλεγόμενος καὶ τῶν ἐξ ἐκείνης». Παρὰ δὲ τὸ Φύρω παράγωγον ἕτερον ἀρχαῖον ῥῆμα τὸ Φυράω, ὅπερ Ἡσύχιος ἐξηγεῖται, «Φυρᾷν, ζυμοῦν, ταράσσειν (γρ. συνταράσσειν) τὰ ἄλευρα». Τοῦτο ἀγνοοῦσα ὅλως ἡ συνήθεια διὰ τοῦ, Ζυμόνω, ἐπὶ ταύτης ἑρμηνεύει τῆς ἐννοίας. Ἑτέραν δὲ σημασίαν προσῆψε τῷ ῥήματι οὐδετέρως χρωμένη, ἐπὶ τῶν συνιζανόντων καὶ ἀναλουμένων ἢ καὶ ὅλως ἐκλειπόντων ὑγρῶν, οἷον Ἐφύρασεν ὁ οἶνος, ὁ ζωμὸς, καὶ τὰ τοιαῦτα· ὅθεν καὶ Φυροπήγαδον συνωνύμως λέγομεν τὸ Ξηροπήγαδον. Καὶ ἔοικεν ἐντεῦθεν λαβεῖν τὴν ἀρχὴν, ὅτι καὶ τὰ φυρώμενα ἄλευρα ἐκ πολλῶν εἰς μικρὸν ὄγκον συστρέφονται, ὡς καὶ τὸ συνώνυμον Τρίβειν (ἔλεγον γὰρ καὶ τρίβειν ὡς καὶ φυρᾷν ἄλευρα) ἀναλώσεως καὶ ἀφανισμοῦ παρίστησιν ἔννοιαν ἐν τῷ Ἐκτρίβειν, Ἐπιτρίβειν, καὶ Κατατρίβειν, ἣν ἔσωσαν καὶ οἱ Γερμανοὶ ἐν τῷ Aufreiben. Ἴσως οὖν ἐκ τούτου διορθωτέον καὶ ἐξηγητέον καὶ τὸ τοῦ Ἡσυχίου, «Φύραμα, ΖΎΜΗ, ΣΠΈΡΜΑ, Ἢ ΖΗΜΊΑ», γράφοντας, Φύραμα, ΖΎΜΗ, ΣΤΈΡΗΜΑ, Ἢ ΖΗΜΊΑ· ὅπου τὸ Ζημία (ὅ τις τῶν κριτικῶν διαγράφειν οὐκ ὀρθῶς παρῄνει) οὐδὲν ἂν εἴη ἕτερον, ἢ τὸ παρ' ἡμῖν διὰ τοῦ σ ἐκφερόμενον, Φύρασμα (Γαλλ. déchet), ὃ καὶ Στέρευμα λέγομεν. Τεκμήριον, δὲ, τὸ γὰρ Φυροπήγαδον, Ξηροπήγαδον, καὶ τὸ διὰ δυοῖν ἐκφερόμενον λέξεων, Στερευμένον πηγάδιον, ὅροι τυγχάνουσιν ὄντες συνώνυμοι. Κἀντεῦθεν οὖν τὸ χρήσιμον τῆς ἡμετέρας φωνῆς καταμαθόντες, ὦ Γραικοὶ Λεξικογράφοι, καταχωρίσατε ἐν τοῖς ἡμετέροις Λεξικοῖς τὰ παρημελημένα, Στερεύω, (ῥῆμ. οὐδέτερ.), Ἐστέρευσεν ἡ βρύσις, τὸ πηγάδιον, καὶ τὰ τοιαῦτα, ἐπὶ τῶν μαραινομένων ὑδάτων, οὐδὲ τοῦ Μαραίνεσθαι τούτου πω καταχωρισθέντος ἐν τοῖς Ἑλληνικοῖς Λεξικοῖς

ἐπὶ τῶν ξηραινομένων πηγῶν, καίπερ Ἡροδότου (Β, 24,) γράψαντος « Διψῆν τε ὑδάτων μάλιστα, καὶ τὰ ἐγχώρια ῥεύματα μαραίνεσθαι τῶν ποταμῶν ». — Στ. 8, Ὑπὸ τὴν ὑποπτυχίδα τοῦ θώρακος. ] Ὅπου πτύσσεται ὁ θώραξ παρὰ τὸν βουβῶνα. Παραβαλέσθω σοι τὰ ἀνωτέρω (Εὐμεν. § 7, σελ. 37) γεγραμμένα. — Στ. 9, Ῥοισάκου καὶ Σπιθριδάτου.] Ῥωσάκην καὶ Σπιθροβάτην τούτους καλεῖσθαι παρὰ τῷ Σικελιώτῃ Διοδώρῳ (ΙΖ, 19-20) ἐσημειώσαντο οἱ ΠΡ. — Στ. 12, Ὑποστήσας.] Ἐπιστήσας, γράφειν δεῖν ᾠήθη τις τῶν ΠΡ, ὅπερ ἴσως ἄμεινον, εἰ ἐκλαμβάνοιτο ἐπὶ τοῦ ἐν τῇ συνηθείᾳ, Σταματίσας. — Στ. 13, Συνεξαναστάς.] Ἐξαναστάς, οἶμαι, γραπτέον, δίχα τῆς πρώτης προθέσεως, ἣν παρέλιπον καὶ οἱ μεταφρασταί. — Στ. 9. Ἀπήῤῥαξε.] Μετὰ βίας ἀπέκοψε (Ἡλιοδώρ. Β, σελ. 35). — Στ. 15, Ἀκριβῶς καὶ μόλις.] Παραβεβλήκασι τὴν φράσιν τῇ ἑτέρᾳ ταύτῃ, Ἀγαπητῶς καὶ μόλις, οἱ κριτικοί (Γρηγορ. Κορίνθ. περὶ Διαλέκτ. σελ. 170, νέας ἐκδ.) — Στ. 16, Τριχῶν.] ΔΓ, Πτερῶν. — Στ. 17, Κλεῖτος ὁ μέλας.] Πρὸς ἀντιδιαστολήν· ἦν γὰρ καὶ ἕτερος Κλεῖτος, ὁ Λευκὸς ἐπικαλούμενος, τῶν Ἀλεξάνδρου ἑταίρων κἀκεῖνος εἷς ὤν, οὗ μνημονεύει ὁ Ἀθήναιος (ΙΒ, σελ. 539). Τοῦ δὲ Μέλανος τούτου Κλείτου ἐμνημόνευσε καὶ Διόδωρος ὁ Σικελιώτης (ΙΖ, 20 καὶ 57)· ὅθεν ὡρμημένοι οἱ ΠΡ ἔγραψαν ἐξ ΕΔ ἐν τῷδε Πλουτάρχου τῷ χωρίῳ, Μίλας, ΑΤ, Μέγας. — Στ. 21, Συνῆγον αἱ πεζαὶ δυνάμεις.] Αἱ τῶν Περσῶν δηλονότι. Σημειοῦ καὶ πάλιν τὸ Συνῆγον ποιητικώτερον λεχθέν, κατὰ τὰ ἀλλαχοῦ (Πλουτάρχ. Μέρ. Α, σελ. 428) εἰρημένα. — Στ. 23, Τῶν μισθοφόρων Ἑλλήνων.] Τῶν παρὰ τοῖς Πέρσαις μισθοῦ στρατευομένων Ἑλλήνων, ὡς μή ποτ' ὤφελον. Ἕλλησι γὰρ τοὺς Ἕλληνας κατὰ βαρβάρων, οὐ βαρβάροις καθ' Ἑλλήνων συστρατεύειν ἐχρῆν. — Στ. 24, Ἤτουν τὰ πιστὰ τὸν Ἀλέξανδρον.] Ἐζήτουν ὁμολογίαν τοῦ μηδὲν αὐτοὺς δεινὸν δρᾶσαι. — Στ. 26, Βουκεφάλας.] ΔΓ, Βουκέφαλος· ἧττον ὀρθή, διὰ τὰ ἀνωτέρω (σελ. 405) εἰρημένα. — Στ. 29, Δυσμύριοι.] ΔΓ, Μύριοι. Διόδωρος δ' ὁ Σικελιώτης (ΙΖ, 21) « Πλείους τῶν μυρίων » εἴρηκε. — Στ. 30, Δισχίλιοι πεντακόσιοι.] Διόδωρος, « Οὐκ ἐλάττους δισχιλίων » εἶπεν· Ἀῤῥιανὸς δὲ (Α, 16), « Εἰς χιλίους ».

ΣΕΛΙΔ. 201, στ. 1, Τέσσαρας καὶ τριάκοντα.] Ἀῤῥιανὸς (Α, 16) « Τῶν μὲν ἑταίρων ἀμφὶ τοὺς εἴκοσι καὶ πέντε ... τῶν δ' ἄλλων ἱππέων, ὑπὲρ τοὺς ἑξήκοντα, πεζοὶ δὲ ἐς τοὺς τριάκοντα ». Ἰουστῖνος δὲ (ΙΑ, 6), τῶν μὲν πεζῶν ἐννέα φησίν, τῶν δ' ἱππέων εἴκοσι πρὸς τοῖς ἑκατόν. — Στ. 3, Εἰκόνας ἀνασταθῆναι χαλκᾶς.] Ἃς ὁ Μέτελλος ὕστερον ἐκ Μακεδονίας εἰς Ῥώμην μετή-

νέγκε, τριάκοντα πάσας ἐφίππους, ὥς φησιν ὁ Οὐέλλειος Πατέρκυλος (Α, 11). Τοῦτο δὲ ὑπονοεῖν παρέχει, μήποτε παρὰ Πλουτάρχῳ ἡμάρτηται ἡ γραφὴ, « Τέσσαρας καὶ τριάκοντα . . . ὧν ἐννέα πεζοὺς εἶναι », ἀντὶ τοῦ Ἐ ν ν έ α κ α ὶ τ ρ ι ά κ ο ν τ α . . . ὧν ἐννέα κ. τ. λ. — Στ. 5, Ἰδίᾳ μὲν τοῖς Ἀθηναίοις. . . κοινῇ δὲ τοῖς ἌΛΛΟΙΣ λαφύροις κ. τ. λ.] Τοῦτο τὸ χωρίον οὐδ' ἂν Οἰδίπους ἐξηγήσασθαι δύναιτο· καὶ δῆλον ἐκ τῶν μεταφραστῶν, οἵτινες τὸ Ἄ λ λ ο ι ς συνάψαντες τῷ Λ α φ ύ ρ ο ι ς, συνέχεαν τῶν λεγομένων τὸν νοῦν, ὥσπερ ἂν εἰ τοῖς ἄλλοις Λαφύροις ἐπεγέγραπτο ἡ ἐπιγραφὴ μόνοις, καὶ μὴ καὶ ταῖς ἀσπίσι, τοῦ Ἀῤῥιανοῦ (Α, 16) διαῤῥήδην φάσκοντος, « Ἀποπέμπει δὲ καὶ εἰς Ἀθήνας τριακοσίας πανοπλίας Περσικὰς, » ἀναθήματα εἶναι τῇ Ἀθηνᾷ ἐν τῇ πόλει· καὶ ἐπίγραμμα ἐπιγρα- » φῆναι ἐκέλευσε τόδε· Ἀλέξανδρος Φιλίππου », καὶ τὰ λοιπὰ τῆς ἐπιγραφῆς ἀπαραλλάκτως, ὥσπερ καὶ Πλούταρχος. Τίς οὖν μηχανὴ τὰ τοῦ Πλουτάρχου συνετώτερα καταστῆσαι; Γραπτέον, οἶμαι, Κ ο ι ν ῇ τ ο ῖ ς Ἄ Λ-ΛΟΙΣ, ΤΟῖΣ λ α φ ύ ρ ο ι ς, ἵνα τὸ μὲν Ἄ λ λ ο ι ς ἀναφέροιτο εἰς τὸ ὑπονοούμενον, Ἕ λ λ η σ ι ν, ἀντιδιεσταλμένως πρὸς τοὺς Ἀθηναίους, τὸ δὲ Λ α-φ ύ ρ ο ι ς αὐτὰς ταύτας, καὶ οὐχ ἑτέρας, δηλοῖ τὰς εἴτ' ἀσπίδας, κατὰ Πλούταρχον, εἴτε Π α ν ο π λ ί α ς, ὥς φησιν Ἀῤῥιανὸς, ὁ δὲ νοῦς εἴη, Τὰς μὲν τριακοσίας ἀσπίδας Ἀθηναίοις ἰδίᾳ ἔπεμψε, τὴν δὲ ἐπιγραφὴν αὐτῶν κοινὴν ἐκέλευσεν εἶναι Ἀθηναίοις, καὶ τοῖς ἄλλοις Ἕλλησι, τουτέστι, μὴ ἰδίᾳ τῶν Ἀθηναίων ἐπιγεγράφθαι τοὔνομα, ἀλλ' ἁπάντων κοινῶς Ἑλλήνων, καθὰ δηλοῖ καὶ ἡ ἐπιγραφὴ λέγουσα, Ἀ λ έ ξ α ν δ ρ ο ς ὁ Φ ι λ ί π π ο υ κ α ὶ ο ἱ Ἕ λ λ η ν ε ς, οὐκ, Ἀ λ έ ξ α ν δ ρ ο ς ὁ Φ ι λ ί π π ο υ κ α ὶ ο ἱ Ἀ θ η ν α ῖ ο ι. —Στ. 12, Τὸ πρόσχημα τῆς ἐπὶ θαλάσσῃ τῶν βαρβάρων ἡγεμονίας.] Ἐπὶ τοῦ Κ α λ λ ώ π ι σ μ α ἐξεδέξαντο οἱ ΠΡ τὸ Π ρ ό σ χ η μ α, ἐφ' ἧς ἐννοίας ἔστιν ὅτε καὶ λαμβάνεται, ὡς ἐσημειώσατο Θωμᾶς ὁ Μάγιστρος (σελ. 758). Ὁ δ' Α ἐξέφρασε διὰ τοῦ Siége capital· ἄμεινον δ' ὁ Ἰταλὸς μεταφραστὴς διὰ τοῦ Propugnacolo. Ἔστι γὰρ οἷον πρόβλημα (παρὰ τὸ Π ρ ο έ χ ω) ἐνθάδε τὸ πρόσχημα. Ἀπέχουσι δὲ αἱ Σάρδεις τῆς θαλάσσης περὶ πεντεκαίδεκα Λεύγας Γαλατικάς.—Στ. 30, Προσεχεῖς . . . πάγους.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Προσηχεῖς. Τῶν ἠπορημένων ἐστὶ καὶ τὸ Π ρ ο σ ε χ ε ῖ ς, καὶ τὸ Π ρ ο σ η χ ε ῖ ς. Ἐχρήσατο καὶ Στράβων τῇ λέξει, « Παραλία. . . προσε- » χὴς καὶ ἀλίμενος (σελ. 202) », καὶ αὖθις, « Ῥαχιώδης γὰρ καὶ προσε- » χὴς ὁ πλησίον αἰγιαλὸς (σελ. 243) », μετὰ τῆς αὐτῆς καὶ παρ' ἐκείνῳ διαφόρου γραφῆς, Π ρ ο σ η χ ή ς. Ἔστι καὶ παρὰ τῷ Διονυσίῳ Ἀλικαρνασσεῖ

ἡ λέξις, καὶ παρὰ τῷ Σουΐδᾳ, ὡς ἐσημειώσατο ὁ Κασωβῶν ἐν τοῖς εἰς τὸν
Στράβωνα ὑπομνήμασιν (σελ. 309), οὐδ' αὐτὸς ἀραρότως ἀποφηνάμενός
τι περὶ τῆς λέξεως. Ὑπονοεῖ μὲν γὰρ ταὐτὸ δύνασθαι τὸ Π ρ ο σ ε χ ὴ ς τῷ
Τ ρ α χ ὺ ς, ἀμφισβητεῖ δὲ περὶ τοῦ ἐτύμου, εἰ Π ρ ο σ ε χ ῆ π α ρ α λ ί α ν
ἔξεστι λέγειν τὴν Προσοχῆς ἀξίαν. Ἐχρῆν μὲν οὖν ἅπαν τοὐναντίον, Ἀ π ρ ο-
σ ε χ ῆ λέγεσθαι, ἢ δηλονότι π ρ ο σ χ ε ῖ ν οὐ δυνατὸν, εἴγε τοσούτοις πα-
ραδείγμασιν ἐπερειδομένην γραφὴν νοθείας ἐξῆν γράφεσθαι. Τῶν μεταφρα-
σάντων δὲ, ὁ μὲν Λατῖνος resónantia, ὁ δ' Ἰταλὸς risonanti ἡρμήνευσαν,
τὸ Π ρ ο σ η χ ε ῖ ς δηλονότι ἐξηγούμενοι, οὐ τὸ Π ρ ο σ ε χ ή ς· ὁ δὲ ἐν πολ-
λοῖς ἀκριβὴς Ἀμιότος, ἐνθάδε οὐδ' αὐτὸς ἂν, οἶμαι, ἐνόησεν, εἰ ἀνεβίω, τὴν
ἰδίαν μετάφρασιν, ἢ μᾶλλον παράφρασιν, des pointes de roc, qui sont
toutes de reng assez drues le long du rivage. Μία τούτων ἴσως ἁ-
πάντων θεραπεία ἡ τοῦ Π ρ ο σ ε χ ὴ ς, εἰς τὸ, Π ρ ο ε χ ε ῖ ς, τροπή· εἴη-
σαν γὰρ ἂν οὕτω Α ἰ γ ι α λ ο ὶ, Ἀ κ τ α ὶ, ἢ καὶ Π ά γ ο ι π ρ ο ε χ ε ῖ ς, οὓς
Ὅμηρος Π ρ ο β λ ῆ τ α ς ὀνομάζει (Ὀδυσσ. Ε, 404),

Οὐ γὰρ ἔσαν ΛΙΜΕΝΕΣ νηῶν ὄχοι, οὐδ' ἐπιωγαὶ,

Ἀλλ' ἈΚΤΑῚ ΠΡΟΒΛΗΤΕΣ ἔσαν, σπιλάδες τε, ΠΑΓΟΙ τε·

καὶ αὖθις (Ὀδυσσ. Κ, 89),

ἈΚΤΑῚ δὲ ΠΡΟΒΛΗΤΕΣ ἐναντίαι ἀλλήλῃσιν

Ἐν στόματι ΠΡΟΫΧΟΥΣΙΝ· ἀραιὴ δ' εἴσοδός ἐστιν·

καὶ πάλιν (Ὀδύσσ. Ν, 97),

——————— Δύο δὲ προβλῆτες ἐν αὐτῷ

Ἀκταὶ ἀποῤῥῶγες, λιμένος ποτιπεπτηυῖαι.

ΣΕΛΙΔ. 202, στ. 1, Διακαλύπτουσαν.] ΔΓ, Ἀ ν α κ α λ ύ π τ ο υ σ α ν, ὃ
παρήνει τις τῶν ΠΡ προελέσθαι. Ἀλλ' ἐπεὶ καὶ ἀλλαχοῦ ἐχρήσατο Πλού-
ταρχος τῷ Δ ι α κ α λ ύ π τ ε ι ν ἐπὶ τοῦ Ἀ ν α κ α λ ύ π τ ε ι ν, πρὸς δὲ καὶ ὁ
Ἁλικαρνασσεὺς Διονύσιος, ὡς ἐσημειώσατο Σνεΐδέρος ἐν τῷ Λεξικῷ, ἐατέον
ἔδοξέ μοι τὴν γραφὴν εἶναι, ἵνα μὴ καὶ τ ὰ τοῦ παρακμάζοντος ἑλληνισμοῦ
ὀνόματα, τοῖς τῶν ἀντιγραφέων ἁμαρτήμασιν ἀλογίστως συγκαταλέγωμεν.—
Στ. 3, Ὡς Ἀλεξανδρῶδες κ. τ. λ.] Ἐξ ἀδήλου δράματος Μενάνδρου τοῦ κω-
μικοῦ, ἴσως ἐκ τοῦ ἐπιγραφομένου Κ ό λ α ξ, ἐν ᾧ καὶ τὴν πολυποσίαν Ἀλε-
ξάνδρου σκώπτει (Ἀθήν. σελ. 434) λέγων,

——————— Ἀλεξάνδρου πλέον

Τοῦ βασιλέως πέπωκας.———————

Σημειοῦ δὲ καὶ τὸ Ἀλεξανδρῶδες παρὰ κύριον ὄνομα κωμικῶς ἐσχηματισμένον· οὐ γὰρ ἐξῆν λέγειν Ἀριστοτελῶδες, Σωκρατῶδες, ὥσπερ ἔλεγον, ἀπὸ προσηγορικῶν παράγοντες, Νοσῶδες, Πηλῶδες. Σημειούσθω σοι καὶ ὅτι τὰ τοιαῦτα δυσχερές ἐστιν ἅπασιν, ὡς εἰπεῖν, τοῖς νεωτέροις μεταποιεῖν κατὰ λέξιν εἰς τὰς ἰδίας φωνάς, πλὴν ἴσως τοῖς Ἰταλοῖς. Ὁ μὲν γὰρ Α παραφράσας διὰ τοῦ,

Cecy me sent son grand heur d' Alexandre,

ἠμαύρωσε τὴν κωμικὴν τῆς λέξεως δριμύτητα· ὁ δ' Ἰταλὸς μεταφραστὴς, εἰπὼν,

Ben cosa è questa Alessandresca —,

κωμικὸν ποιητὴν κωμικῇ λόγου ἰδέᾳ μετέφρασε. — Στ. 8, Φασήλιδος.] Ἔπιθι τὰ περὶ τῆς τάσεως τοῦ ὀνόματος ἀλλαχοῦ (Ἰσοκράτ. Μέρ. Β, σελ. 47) σημειωθέντα. — Στ. 15, Γόρδιον πόλιν, ἑστίαν Μίδου τοῦ παλαιοῦ.] Ἧς μνημονεύει καὶ Στράβων ἐν τῇ τῆς Γαλατίας χωρογραφίᾳ (σελ. 568), « Ἐπὶ δὲ » τούτῳ [τῷ Σαγγαρίῳ ποταμῷ] τὰ παλαιὰ τῶν Φρυγῶν οἰκητήρια, Μίδου, » καὶ ἔτι πρότερον Γορδίου... κῶμαι μικρῷ μείζους τῶν ἄλλων, οἷόν ἐστι τὸ » Γόρδιον ». — Στ. 16, Θρυλλουμένην.] ΔΓ, Καλουμένην. — Στ. 20, Τυφλὰς... τὰς ἀρχάς.] Ἀφανῆ τὰ ἄκρα. — Στ. 21, Ὑποφερομένων.] Πρὸς τὸ Δεσμῶν. Ὁ δ' Α ἡρμήνευσεν Ὑποφερομένας, πρὸς τὸ Ἀρχάς. — Στ. 25, Τὸν ἕστορα.] Τὸν πάσσαλον ἢ τὸν τύλον, ὥς φησιν Ἀῤῥιανός. — Συνείχετο.] Ἐξ ΗΔ, ΑΤ (ἀσυναρτήτου) Συνεῖχε, ἵν' ᾖ, Ὡ ἕς ορι συνείχετο τὸ ζυγόδεσμον. Ὁ ἕστωρ γὰρ ἦν ὁ συνέχων, ᾗ δῆλον καὶ ἐκ τοῦ Ἀῤῥιανοῦ (Ἀναβάσ. Ἀλεξάνδρ. Β, 3), « Ἐξελόντα τὸν ἕστορα τοῦ ῥυμοῦ, ὃς ἦν τύλος » διαβεβλημένος διὰ τοῦ ῥυμοῦ διαμπὰξ, ξυνέχων τὸν δεσμὸν, ἐξελκύσαι ἔξω » τοῦ ῥυμοῦ τὸν ζυγόν ». — Στ. 26, Ὑφελκύσαντι.] ΔΓ, Ἐφελκύσαντι. Ἴσως ἐγέγραπτο, Ἀφελκύσαντι.

ΣΕΛΙΔ. 203, στ. 6, Ἀστάνδης.] Ἐξ ΕΔ, ΑΤ, Ἀσγάνδης. Ἡ λέξις Περσικὴ, ὥσπερ καὶ ἡ συνώνυμος, Ἄγγαρος. « Ἄγγαρος (φησὶν Ἡσύχιος) ἐργάτης, » ὑπηρέτης ἀχθοφόρος. Ἡ λέξις δὲ Περσική. Σημαίνει δὲ καὶ τοὺς ἐκ δια» δοχῆς βασιλικοὺς γραμματοφόρους ». Καὶ πάλιν ὁ αὐτὸς, « Ἀστάνδης, ἡμε» ροδρόμος... Ἄγγελος ». Ἀστάνδην δὲ καὶ ἀλλαχοῦ (Περὶ τῆς Ἀλεξ. τύχ. Α, § 2) Πλούταρχος ὠνόμασε τὸν Δαρεῖον, οὐκ Ἀσγάνδην. — Στ. 9, Γενήσεσθαι.] Ἐξ ΕΔ, ΑΤ, Γενέσθαι. — Στ. 16, Κύδνου.] Τοῦ νῦν

ὑπὸ τῶν Τούρκων Καρασουΐ καλουμένου, ὃ ταὐτὸν δύναται τῷ Μελάνυδρος.— Καταπαγέντι.] Πότερον, τῷ Κύδνῳ, ἢ τῷ Ἀλεξάνδρῳ καταπαγέντι; ἠπόρησέ τις τῶν ΠΡ. Εἰ μὲν γὰρ πρὸς τὸ Κύδνῳ, ὥσπερ ἐξεδέξαντο οἱ μεταφρασταὶ καὶ ὁ λόγος αἱρεῖ, φέρεται τὸ Καταπαγέντι, ἔστιν οὐκ ὀρθῶς εἰρημένον, δέον εἰπεῖν, Καταπεπηγμένῳ, ἢ Καταπαγεῖ ὄντι. Εἰ δὲ πρὸς τὸ Ἀλεξάνδρῳ, εἰκὸς ἐξεῤῥυηκέναι τοῦ χωρίου τὸν σύνδεσμον, Καί· « Λουσαμένῳ ἐν τῷ Κύδνου ῥεύματι, καὶ καταπαγέντι. »— Στ. 17, Ἐθάῤῥει βοηθεῖν.] Ἔτρεψα ἐξ ΕΔ τὸ σόλοικον Βοηθήσειν εἰς τὸ Βοηθεῖν.

ΣΕΛΙΔ. 204, στ. 2, Ἀνυπόπτως.] Ἔστι καὶ ἐν τῇ συνηθείᾳ τό, τε, Ἀνυπόπτευτα, καὶ τὸ μήπω καταχωρισθὲν ἐν τοῖς Λεξικοῖς, Ἀνύποπτα, ἐπίῤῥημα.— Στ. 12, Ἐπιλιπεῖν.] Ἐξ ΗΔ, ΑΤ, Ἐπιλείπειν.— Στ. 28, Αὖθις ἀνέστρεφον.] Ἐπὶ τοῦ ὀπίσω τὸ Αὖθις ἐνθάδε.— Στ. 29, Συντυχίᾳ.] Οὐκ ἐπὶ τοῦ συνεντεύξει ἐνθάδε, ἀλλ' ἐπὶ τοῦ περιπτώσει, ἐφ' ἧς ἐννοίας κέχρηται πολλάκις ὁ Θουκυδίδης.

ΣΕΛΙΔ. 205, στ. 3, Πινάρῳ.] Ἐξ ΕΔ, οἱ ΠΡ, ΑΤ, Πινδάρῳ.— Στ. 4, Πρὸς τῆς ὀλιγότητος τῶν πολεμίων ἔχοντα τὴν θέσιν.] Οὕτως ἔχοντα θέσεως, ὥστε μᾶλλον εἶναι χρηστὰ τοῖς πολεμίοις, ὀλίγοις οὖσιν, ἢ τῷ πολλῷ τῶν Περσῶν πλήθει.— Στ. 8, Οὐ παρέσχε κύκλωσιν.] Οὐ συνεχώρησε τοῖς Πέρσαις περικυκλῶσαι τὸν ἑαυτοῦ στρατόν.— Στ. 16, Ὑπὲρ ἕνδεκα μυριάδας.] Πεζῶν μὲν πλείους τῶν δέκα μυριάδων, ἱππέων δὲ μυρίους, ὥς φησι Διόδωρος ὁ Σικελιώτης (ΙΖ, 36, Τομ. β, σελ. 187).— Στ. 29, Μὲν ὅλκια.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Μενόλκια. « Ὅλκιον, μέγας κρατὴρ λουτὴρ » φησὶν Ἡσύχιος· κατὰ δὲ τὸν Φώτιον, « Ὅλκειον (γρ. Ὅλκιον), χαλκοῦς λέβης, τρεῖς πόδας ἔχων » Εὕρηται δὲ καὶ παρὰ Ἀθηναίῳ (σελ. 439), ἐν οἷς λέγει περὶ Ἀντιόχου τοῦ Ἐπιφανοῦς, ὅτι συγκαλέσας τοὺς Ἕλληνας ἐπὶ θέαν ἀγώνων, « ἐν τοῖς γυμνασίοις πάντας ἐκ χρυσῶν ὁλκίων ἤλειφε κροκίνῳ μύρῳ κ.τ.λ. ». Εἴη δ' ἂν καὶ τὸ Ὄλπιον συνώνυμον τοῦ Ὅλκιον, ἐπεὶ εὕρηται καὶ « Ὄλπα, λήκυθος » καὶ « Ὄλπις, οἰνοχόη » παρὰ τῷ αὐτῷ Ἡσυχίῳ. Ἔστι δὲ καὶ « Κάλπη, ὑδρία, στάμνος » παρὰ τῷ αὐτῷ.— Στ. 30, Κρωσσούς·] Ἐξηγησάμεθα τὴν λέξιν ἀλλαχοῦ (Πλουτάρχ. Β, σελ. 448).— Πυέλους.] Τὰς σκάφας, ἐν αἷς ἐλούοντο, ἃς καὶ Ἐμβατὰς, καὶ Ἐμβάσεις, καὶ Ἀσαμίνθους ἔλεγον.

ΣΕΛΙΔ. 206, στ. 1, Ὠδῶδει δὲ θεσπέσιον.] Γράφε, Ὀδώδει δὲ θεσπέσιον· αἰνίττεται γὰρ τὸ Ὁμηρικὸν (Ὀδυσσ. Ι, 210).

— Ὀδμὴ δ' ἡδεῖα ἀπὸ κρητῆρος ΟΔΩΔΕΙ
ΘΕΣΠΕΣΙΗ. ——————————

— Ὑπ' ἀρωμάτων.] ΔΓ, Ἀπ' ἀρωμάτων.—Στ. 3, Καὶ τῷ περὶ . . . τὸ δεῖπνον αὐτοῦ κόσμῳ θαύματος ἀξίαν] ΠΡΔ, ΑΤ, Καὶ τῶν περὶ . . . τὸ δεῖπνον αὐτοῦ κόσμῳ θαύματος ἄξια. Οἱ αὐτοὶ δὲ καὶ τὸ Αὐτοῦ εἰς τὸ Αὐτὸ ἔτρεψαν.—Στ. 11, Ἐμπαθής.] Εἰς τὸ Συμπαθὴς τρεπτέον εἶναί τις τῶν ΠΡ ὑπετόπασε.—Στ. 16, Γενομέναις αἰχμαλώτοις.] Τὰς λέξεις ταύτας ἢ διαγραπτέον ὅλως, ἢ, ὡς ἔδοξέ τινι τῶν ΠΡ, θετέον μεταξὺ τοῦ, Γυναιξὶν, καὶ τοῦ, Ἡμέρου.—Στ. 19, Συντάξεις δὲ καὶ μείζονας.] Ἐξ ΕΔ (Συναδούσης τοῖς μεταφρασταῖς) προσέθηκα τὸν δεύτερον τῶν συνδέσμων.

ΣΕΛΙΔ. 207, στ. 1, Βαραίνης] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Βαρσίνης—Στ. 6, Καὶ τὸ κάλλος.] Τὰς τρεῖς ταύτας λέξεις (λειπούσας καὶ ἐν τῇ Α μεταφράσει), διαγράφειν δεῖν ἔγνων.—Στ. 11, Παρέπεμπεν.] ΔΓ, Παρέπεμψεν.—Στ. 14, Παῖδας ὠνίους.] ΔΓ, Ἰωνίας· ἢ ὑπονοεῖν παρέχει μήποτ' ἐγέγραπτο, Παῖδας Ἰωνίους, ἢ, Παῖδας ἐξ Ἰωνίας.— Στ. 17, Τοιαῦτα ὀνείδη προξενῶν κάθηται.] Σημειωτέα ἡ φράσις, Προξενῶν κάθηται, ὡς οὐδαμόθεν ἑτέρωθεν ἢ ἐκ τῆς παρ' ἡμῖν συνειθείας, ἀκριβῶς οἷά τε μεταφράζεσθαι. Ὁ μὲν γὰρ Λατῖνος μεταφραστὴς τὸ, Κάθηται desidens ibi (ἀργῶν ἐκεῖ) ἡρμήνευσεν· ὁ δὲ Α παρέφρασεν, il ait deu s' estudier, pendant qu' il ne fait rien là; ὁ δ' Ἰταλὸς (ἄμεινον ἴσως ποιήσας) καὶ παρέλιπεν ὅλως. Ἡ τοίνυν ἡμετέρα φωνὴ συνεχῶς χρῆται τῷ ῥήματι ἐπὶ τοῦ περί τι ἀσχολεῖσθαι καὶ διατρίβειν (Γαλλ. s' amuser à quelque chose), οἷον, Τί κάθηται [ἢ κάθεται] καὶ μὲ κακολογεῖ; Ὡσαύτως δὲ καὶ Προξενεῖν, λέγομεν, οὐ μόνον τοὺς ἀγαθὸν, ἀλλὰ καὶ τοὺς κακόν τι πορίζοντας, καθὰ καὶ ἐν ἄλλοις (Ἡλιοδώρ. Β, σελ. 193) σεσημείωται. — Στ. 19, Ἄγνωνι νεανίσκῳ . . . Κρώβυλον.] Ἴσως γραπτέον, Ἄγνωνι . . . Κρώβυλον νεανίσκον, ὥσπερ ἡρμήνευσεν ὁ Α.—Στ. 27, Εὐρεθείην.] ΔΓ, Εἴην.—Στ. 28, Οὐδὲ τῶν λεγόντων.] Ἐξ ΗΔ, ΑΤ, Οὔτε τῶν λεγόντων.

ΣΕΛΙΔ. 208. στ. 10, Ὁ δ' αὐτὸς οὗτος ἀνήρ.] Ὁ Λεωνίδης,—Στ. 11, Ἔλυσεν.] Ἴσως γραπτέον, Ἔλυεν, ὡς ἡρμήνευσαν οἱ μεταφρασταί.—Στ. 13, Ἐδόκει.] ΔΓ, Ἔδειξε.—Στ. 28, Εὐτρεπῶς] Ἐξ ΕΔ, οἱ ΠΡ, ΑΤ, Εὐπρεπῶς.

ΣΕΛΙΔ. 209, στ. 2, Ἀδολεσχίας.] Οὐκ ἐπὶ τῆς Φλυαρίας ἡ λέξις

ἐνθάδε, ἀλλ' ἁπλῶς ἐπὶ τῆς μετὰ τῶν συνήθων κατακόρου διαλέξεως, ἣν ἐφίλουν ἐν τοῖς πάλαι Ἀθηναῖοι, φιλοῦσι δὲ νῦν οἱ Γάλλοι, ἐξαίρετον ἔχοντες τὸ ἀδολεσχεῖν, καὶ μάλιστα ἐν τοῖς συμποσίοις. Ἔστι δὲ τοὔνομα παρὰ τὸ Ἄδην καὶ τὴν Λ έ σ χ η ν (Ἡλιοδώρ. Β, σελ. 97), καὶ οὐχ, ὡς ὁ Ἐτυμολόγος (σελ. 18) φησίν, ἀπὸ τοῦ Ἁ δ ε ῖ ν τοῦ σημαίνοντος τὸ Ἀρέσκειν. —Στ. 6, Ἱππάσιμον.] Ἡδίστη μεταφορὰ ἀπὸ τῶν πεδίων, τῶν διὰ τὸ ὁμαλὸν ἱππεῦσι χρησίμων ὄντων, τῶν ἱππάζεσθαι δυναμένων πρὸς διαστολὴν τῶν ὀρεινῶν καὶ τραχέων, καὶ διὰ τοῦτο ἀπροσβάτων τοῖς ἵπποις. Εἰσὶ δὲ τοῖς κόλαξιν ἱππάσιμοι μάλιστα ὅσοι τῶν ἐν ἀρχαῖς ὀφείλημα μᾶλλον ἀποδιδόμενον αὐτοῖς τὴν ὑπεροχήν, ἢ παρακαταθήκην τῆς τῶν ἀρχομένων προνοίας ἡγοῦνται.—Χαριέστατοι.] ΔΓ, Χαριέστεροι. Σημαίνει δὲ ἡ λέξις Χ α ρ ί ε ι ς τὸν χρηστὸν τὰ ἤθη· ἄλλοτε δὲ καὶ τὸν σοφὸν καὶ παιδείας ἐλευθερίου μετασχόντα, πρὸς ἀντιδιαστολὴν τῶν ἀπαιδεύτων, ἢ τῶν ἀχαρίτως τῇ σοφίᾳ χρωμένων. —Στ. 10, Διημέρευε] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Δ ι η μ ε ρ ε ύ ε ι ν τ'.—Στ. 12, Καὶ τὰ σπανιώτατα πολλάκις τῶν ἀπὸ θαλάττης . . . πολλάκις ἑαυτῷ κ. τ. λ.] Ἀηδὴς ἡ ἐπανάληψις τοῦ Π ο λ λ ά κ ι ς, ἢ αὐτοῦ Πλουτάρχου γράψαντος οὕτως, ἢ τῶν ἀντιγραφέων θάτερον τῶν δύο, τὸ πρῶτον, κακῶς τῷ χωρίῳ παρεμβαλόντων.—Στ. 14, Καταλείπειν.] Ἐξ ΗΔ, ΑΤ, Κ α τ α λ ι π ε ῖ ν.—Στ. 16, Εἰς μυρίας δραχμάς.] Αἳ δύνανταί που ἐννακισχίλια φράγκα ἀργυρίου Γαλατικά.—Στ. 28, Κρατύνεσθαι.] Ἴσως γραφικῶς ἡμάρτηται ΑΤ, Κ ρ α τ ύ ν α σ θ α ι.

ΣΕΛΙΔ. 210, στ. 7, Περιέβαλλον.] ΠΡΔ, ΑΤ, Περιέβαλον.—Στ. 11, Ὑπεξέφευγε] Ἐξ ΗΔ, ΑΤ, Ὑπεξέφυγε. Καὶ οἱ μεταφρασταὶ δὲ κατὰ παράτασιν ἡρμήνευσαν.—Στ. 13, Σά] Ἐκ ΔΓ, ΑΤ, Σή.—Στ. 27, Καὶ τῷ πονεῖν αὐτὸς ἀεί, παραμυθούμενος κ. τ. λ.] Περίελε τὴν μετὰ τὸ, Ἀεί, καχὴν στιγμὴν, ἵν' ᾖ ὁ νοῦς, Καὶ παραμυθούμενος τὴν ἀπορίαν τῶν Μακεδόνων ἀεὶ διὰ τῶν ἰδίων πόνων. Ἴσως καὶ τὸ Π ο ν ε ῖ ν τρεπτέον εἰς τὸ Συμπονεῖν.—Στ. 30, Δαλόν.] Ἡ δὲ συνήθεια Δ α υ λ ὸ ν, ἢ Δ α β λ ό ν· οὐδὲν γὰρ διαφέρει ἡ διὰ τοῦ υ τῆς διὰ τοῦ β γραφῆς, ἀμφοτέρων τὸ Αἰολικὸν ἐμφαινόντων δίγαμμα. Οὕτω παρ' Ἡσυχίῳ εὕρηται καὶ ὁ κατ' Ἴωνας, Δ α υ λ ὸ ς, καὶ ὁ παρὰ Λάκωσι Δ ά β ε λ ο ς, παρὰ τὸν παρὰ τῷ Σώφρονι, ὥς φησιν ὁ Ἐτυμολόγος (σελ. 246), Δ ά ε λ ο ν.

ΣΕΛΙΔ. 211, στ. 11, Συμφιλοτιμούμενος.] Ἐκ ΔΓ οἱ ΠΡ (συναδόντων καὶ τῶν μεταφραστῶν), ΑΤ, Συμφιλοτιμούμενον.—Στ. 15, Λαμπρᾶς ἐπιβολῆς.] Ἴσως ἐγέγραπτο, Λ α μ π ρ ᾶ ς τ ῆ ς ἐ π ι β ο λ ῆ ς,

ἐνάρθρως.— Στ. 19, Βῶλος... ἀφεθείς.] Τοῦ παρακμάζοντος ἑλληνισμοῦ ὁ Βῶλος, ἀρσενικῶς, ὡς καὶ ἡ παρ' ἡμῖν συνήθεια ἐκφέρει τοὔνομα. Σεσημείωται δὲ τὸ διπλοῦν τοῦ γένους καὶ Μοίριδι, καὶ Φρυνίχῳ, καὶ αὐτῷ Θωμᾷ τῷ Μαγίστρῳ, ὥστε θαυμάζειν τίνι ποτὲ λόγῳ πεισθέντες οἱ ΠΡ ἔτρεψαν τὸ Ἀφεθεὶς εἰς τὸ Ἀφεθεῖσα. Εἰ γάρ τις φαίη, ὅτι θηλυκῶς ἀλλαχοῦ (Ῥωμύλ. § 11, Μέρ. Α, σελ. 41 καὶ Τιβ. Γρ. § 9) ὁ Πλούταρχος ἐξήνεγκε τοὔνομα, ἔστιν ἀντειπεῖν, ὅτι τοῦτο μάλιστα τεκμήριον παρακμαζούσης ἐστὶ γλώσσης, ἡνίκα σπεύδοντες τὰ ἀρχαῖα μιμεῖσθαι οἱ συγγράφοντες, οὐκ ἀείποτε κατορθοῦσιν, ἀλλ' οἷον ὑπὸ ῥεύματος ἐναντίου, τῆς συνηθείας, παρασύρονται.— Στ. 20, Ἐφ' ἕν.] Ἐξ ΗΔ (συναδούσης τοῖς μεταφρασταῖς) ΑΤ, Ὑφ' ἕν.— Στ. 21, Ἐνσχεθείς.] Ἐμπλεχθείς, κρατηθείς.

ΣΕΛΙΔ. 212, στ. 5, Κιβωτίου.] Τοῦτό φασιν εἶναι τὸ κιβώτιον ὃ ἐν τοῖς πρόσθεν (§ 8, σελ. 407-408) Νάρθηκα ὠνόμασεν, παρ' ὃ καὶ ἡ ἐν αὐτῷ κατατεθειμένη Ὁμηρικὴ Ἰλιὰς, Ἡ ἐκ τοῦ νάρθηκος Ἰλιὰς ἐπεκλήθη — Στ. 11, Ἡρακλείδη.] Ἔοικεν οὗτος εἶναι Ἡρακλείδης ὁ Σαραπίωνος, ὁ κατὰ μέν τινας Ἀλεξανδρεὺς (Διογ. Λαέρτ. Ε, § 94), καθ' ἑτέρους δὲ, Ὀξυρυγχίτης (Σουίδ. λέξ. Ἡρακλείδης), ὁ ἐπικληθεὶς Λέμβος. — Στ. 12, Οὔκουν οὐκ ἀργός.] Ἢ τὸ, Οὔκουν, περιαιρετέον, ἢ γραπτέον, Οὔκουν ἀργὸς, ὃ καὶ μᾶλλον ἀρέσκει με νῦν. Τῶν ΠΡ τις παρῄνει γράφειν, Οὐ κενὸν, οὐκ ἀργόν.— Ἀσύμβολος.] Ἐκ ΔΓ, ΑΤ, Ἀσύμβουλος.— Στ. 20, Νῆσος ἔπειτα κ. τ. λ.] Ἐκ τῆς Ὁμήρου Ὀδυσσείας (Δ, 354-355).— Στ. 25, Ταινία.) Ταινίαι μεταφορικῶς καλοῦνται τὰ ἐν θαλάσσῃ τῆς γῆς νησοειδῆ ἐξάρματα τὰ στενὰ καὶ ἐπιμηκέστερα· κυρίως γὰρ Ταινία λέγεται, πᾶν στενὸν καὶ ἐπίμηκες ὕφασμα. « Ταινίαι (φησὶν Ἡσύχιος), σέμματα » τῶν ἱερέων, διαδήματα ἀρχιερατικὰ, ἢ ζῶναι, ἢ στέφανοι, κόσμοι, ἢ » δεσμοὶ ἱεροί ». Ταύτας ἡ συνήθεια Κορδέλλας καλεῖ παρὰ τὸ Ἰταλικὸν Cordella ὑποκοριστικὸν τοῦ Corda, ὃ καὶ αὐτοὶ ἐκ τοῦ ἑλληνικοῦ Χορδὴ σχηματίσαντες φαίνονται. Τῆς δὲ Κορδέλλας συνώνυμόν ἐστι παρ' ἡμῖν καὶ τὸ Γατάνιον ἢ Γαϊτάνιον, ἀπ' αὐτῶν ἤδη τῶν Βυζαντινῶν συγγραφέων ἐν χρήσει ὂν, ὃ παρέχει μὲν ἔμφασιν συνθέσεως τῆς παρὰ τὸ Ταινία, ἔοικε μέντοι μᾶλλον ἐθνικὸν εἶναι ὄνομα, Γαετανὸν, ἢ Γαϊτανὸν (ἐλλειπτικῶς τοῦ, πλέγμα, ἢ ὕφασμα) παρὰ τὴν πάλαι Καιήτην ἢ Καιάτην, νῦν δὲ καλουμένην, Γαέταν (Gaeta), Ἰταλικὴν πόλιν. Οὕτω γὰρ ὀνομάζονται καὶ παρὰ τῷ Γαληνῷ (Θεραπ.

μεθοδ. Βιβλ. ι, τομ. Δ. σελ. 184), τὰ ἐπιμήκη ταῦτα [illegible] «Γιγνέσθωσαν δ' οἱ τοιοῦτοι τῶν Βρόχων ἐξ ὕλης δυσσήπτου. Τοιαύτη » δ' ἐστὶν ἐν Ῥώμῃ ἡ τῶν Γαϊτανῶν ὀνομαζομένων, ἐκ μὲν τῆς τῶν » Κελτῶν χώρας κομιζομένων, πιπρασκομένων δὲ μάλιστα κατὰ τὴν ἱερὰν » ὁδόν ». Καὶ Κελτοὺς μὲν ὀνομάζειν αὐτὸν εἰκὸς τοὺς ἐντὸς τῶν Ἄλπεων, καὶ τούτων πάλιν τοὺς ἐντὸς τοῦ Πάδου. Γαϊτανοὺς δὲ καλεῖ τοὺς βρόχους, καίπερ τῆς Ῥώμης ἐν μέσῳ κειμένης τῆς Γαέτας καὶ τῶν εἰρημένων Κελτῶν, ἴσως διότι, τεχνικώτερον κατασκευαζομένων ἐν τῇ Γαέτᾳ τῶν βρόχων, ἐξενίκησε καὶ τοὺς ἐκ τῶν Κελτῶν κομιζομένους Γαετανοὺς ἐπικαλεῖσθαι. Καὶ γὰρ καὶ αὐτὸς ὁ ἐκ τῆς ὑπὲρ τὰς Ἄλπεις Κελτικῆς Μαρκέλλος ὁ ἐμπειρικὸς, ὁ κατὰ τὴν τετάρτην ἀκμάσας ἑκατονταετηρίδα, Λίνου Γαϊτανοῦ μνημονεύει, ἐν οἷς φησι, De tribus cerasis lapillos pertundes, et GAITANO LINO inserto pro phylacterio uteris (Ἰδ. Λουκαγγ. Λεξικ. παρακμ. Λατινισμ. λέξ. Gaitanum).— Στ. 29, Συναρμόττοντας] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Συναρμόττοντα.

ΣΕΛΙΔ. 213, στ. 1, Μελαγγείῳ.] Μέλαιναν ἔχοντι τὴν γῆν. Τοιαύτη δ' ἐστὶν ἡ πᾶσα σχεδὸν Αἴγυπτος, ὡς ἐξ αὐτοῦ Πλουτάρχου ἐν ἄλλοις (Ἡλιοδώρ. Β, σελ. 371) σεσημείωται.— Στ. 4, Αἰφνίδιον ὄρνιθες . . . καταίροντες.] Ἴσως ἐγέγραπτο κατ' ἀόριστον Κατάραντες· τοῦτο γὰρ μᾶλλον ἁρμόττει τῷ Αἰφνίδιον.— Στ. 7, Ὑπελίποντο.] Ἴσως γραφικῶς ἡμάρτηται ἀντὶ τοῦ Ὑπέλιπον, ὡς καί τις τῶν ΠΡ ὑπενόησε· ὑποβαρβαρίζει γὰρ ἐνθάδε ἡ μέση διάθεσις.— Στ. 8, Οὐ μὴν ἀλλὰ καί.] Περιττὸς ἔδοξέ μοι ὁ τρίτος τῶν συνδέσμων.— Στ. 11, Κελεύσας . . . τοὺς ἐπιμελητάς.] ΔΓ, Κελεύσας . . . τοῖς ἐπιμεληταῖς ἐπαμφοτερίζει γὰρ ἡ σύνταξις.— Στ. 15, Ὥς που καὶ πάλαι λέγεται περὶ τὸν Καμβύσου στρατὸν κ. τ. λ.] Μνημονεύει τῆς φθορᾶς ταύτης τοῦ Καμβύσου στρατοῦ καὶ Ἡρόδοτος (Γ, 26).— Στ. 23, Καταβιαζομένην.] ΔΓ, Καταβιαζομένων.

ΣΕΛΙΔ. 214, στ. 9, Τὸν τόπον.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Τὴν πόλιν. Ἑτέρα, ΔΓ, Τὸν νεών· ἣν ἐξέφρασε καὶ ὁ Α.— Στ. 24, Ὦ παιδίος.] Παρήχησις δηλονότι τοῦ Ὦ παῖ Διός.— Στ. 26, Διαδοθῆναι λόγον.] Ὥσπερ καὶ ἡ συνήθεια, Ἐδιαδόθη λόγος, λέγει.— Στ. 30, Αὐτός] Ὁ Ἀλέξανδρος.

ΣΕΛΙΔ. 215, στ. 5, Σφόδρα πεπεισμένῳ . . . ὅμοιος] Οὕτως προσεφέρετο πρὸς τοὺς βαρβάρους, ὥσπερ ἂν εἰ ἦν σφόδρα πεπεισμένος τοῦ Διὸς υἱὸς εἶναι.— Στ. 6, Ὑποφειδομένως.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ὑποφειδόμενος. Δύναται

δὲ τὸ, Μεθ' ὑποστολῆς· οὐδὲ γὰρ ἐν μεμηνόσι καλὸν τὸ μαίνεσθαι, μή τι γε μετὰ νοῦν ἐχόντων ἀναστρεφόμενον.— Στ. 13, Ἰχὼρ, οἷος κ. τ. λ.] Ἐξ Ὁμήρου (Ἰλιάδ. Ε, 340). — Στ. 17, Καταφαυλίζων.] Ἐξευτελίζων. — Στ. 19, Οὐ σατραπῶν κεφαλάς] Ἐρωτηθεὶς γάρ ποτε Ἀνάξαρχος ἐν συμποσίῳ ὑπ' Ἀλεξάνδρου, τί ἄρα ἐδόκει αὐτῷ τὸ δεῖπνον; « Πάντα πολυτελῶς » (ἀπεκρίνατο), ἔδει δὲ λοιπὸν κεφαλὴν σατράπου παρατεθεῖσθαι » τὴν τοῦ ἰδίου ἐχθροῦ, Νικοκρέοντος τοῦ τυράννου τῆς Κύπρου, αἰνιττόμενος. Δι' ὃ καὶ μετὰ τὴν τελευτὴν Ἀλεξάνδρου, συλληφθεὶς ὑπὸ Νικοκρέοντος καὶ εἰς ὅλμον βληθεὶς, σιδηροῖς ὑπέροις τυπτόμενος ἐτελεύτησεν· ὅτε καὶ φασὶν, οὐ φροντίσαντα τῆς τιμωρίας τὸν Ἀνάξαρχον, εἰρηκέναι τὸ περιφερόμενον ἐκεῖνο, « Πτίσσε τὸν Ἀναξάρχου θύλακον· Ἀνάξαρχον δὲ οὐ πλήττεις ». Ἱστόρηκε Διογένης ὁ Λαέρτιος (Θ, 58).— Στ. 29, Χορῶν ἐγκυκλίων.] Μεταμέλει μοι μὴ τρέψαντο τὸ, Ἐγκυκλίων, εἰς τὸ, Κυκλίων· τοῦτο γὰρ βούλεται ἡ χρῆσις. Ἐκαλοῦντο δὲ οὕτω οἱ χοροὶ διὰ τὸ κυκλοειδὲς τῶν χορευόντων, ὥσπερ καὶ Κύκλια ᾄσματα τὰ ὑπ' αὐτῶν ᾀδόμενα, καὶ Κυκλιοδιδάσκαλος παρ' Ἀριστοφάνει (Ὄρν. 1403) ὁ διθυραμβοποιός.

ΣΕΛΙΔ. 216, στ. 3, Νικοκρέων ὁ Σαλαμίνιος] Ὁ τοῦ Ἀναξάρχου ἐχθρὸς, καθὰ μικρὸν ἀνωτέρω προείρηται. Ἦν δὲ Σαλαμῖνος τῆς ἐν Κύπρῳ τύραννος.— Στ. 4, Πασικράτης ὁ Σόλιος.] Ὁ Σόλων τῶν ἐν Κύπρῳ τύραννος.— Στ, 15, Σκαρφέως.] Ἀπὸ Σκαρφείας, Λοκρικῆς πόλεως.— Στ. 19, Τὴν δ' ἐντὸς Εὐφράτου.] Τὴν ἐντὸς Ἅλυος, φησὶν ὁ Σικελιώτης Διόδωρος (ΙΖ, 39, καὶ 54).— Στ. 26, Τῆς τοῦ Δαρείου.] ΔΓ, Τῆς Δαρείου· ἣν προείλοντο οἱ ΠΡ.

ΣΕΛΙΔ. 217, στ. 3, Εἰ... γενέσθαι ζῶσαν κ. τ. λ.] Ἐλλείπει ἡ φράσις τῷ Ἔδει, ὥς τις ἐσημειώσατο τῶν ΠΡ, ἢ μᾶλλον τῷ Ἐποίησε, πρὸς τὸ, Δαίμονος.— Στ. 9, Ἐνέδει.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ἓν ἔδει. Τῷ Ἐνέδει προσυπακουστέον τὸ, Ἄλλο, ἢ, Ἕτερον.— Στ. 11, Ὠρομάσδης] Ὃν ἀλλαχοῦ (Ἀρτοξερξ. § 29) Ὠρωμάζην καλεῖ Πλούταρχος ἢ Ὡρομάζην. Ἔστι δὲ ὁ παρὰ τοῖς Πέρσαις τῶν ἀγαθῶν δημιουργὸς θεὸς, ὥσπερ ὁ ἀντικείμενος αὐτῷ, Ἀρειμάνιος, τῶν κακῶν. Οὐκ ἄχρηστον καὶ αὐτὰς περὶ αὐτῶν παραθέσθαι Πλουτάρχου (Περὶ Ἴσιδ. καὶ Ὀσίριδ. § 46-47) τὰς λέξεις, « Νομίζουσι γὰρ οἱ μὲν θεοὺς εἶναι δύο, καθάπερ ἀντιτέχνους· τὸν » μὲν γὰρ ἀγαθῶν, τὸν δὲ φαύλων δημιουργόν· οἱ δὲ τὸν μὲν ἀμείνονα, ΘΕΟΝ, » τὸν δὲ ἕτερον, ΔΑΙΜΟΝΑ καλοῦσιν, ὥσπερ Ζωροάστρις ὁ μάγος... Οὗ» τος οὖν ἐκάλει τὸν μὲν, ὩΡΟΜΑΖΗΝ, τὸν δὲ, ἈΡΕΙΜΑΝΙΟΝ, καὶ προσα-

» πεφαίνετο, τὸν μὲν ἐοικέναι φωτὶ μάλιστα τῶν αἰσθητῶν, τὸν δὲ ἔμπαλιν
» σκότῳ καὶ ἀγνοίᾳ. .. Ὁ μὲν Ὠρομάζης ἐκ τοῦ καθαρωτάτου φάους, ὁ δὲ
» Ἀρειμάνιος ἐκ τοῦ ζόφου γεγονὼς, πολεμοῦσιν ἀλλήλοις. Καὶ ὁ μὲν ἓξ θε-
» οὺς ἐποίησε, τὸν μὲν πρῶτον ΕΥ̓ΝΟΊΑΣ, τὸν δὲ δεύτερον, ἈΛΗΘΕΊΑΣ, τὸν
» δὲ τρίτον, ΕΥ̓ΝΟΜΊΑΣ, τῶν δὲ λοιπῶν, τὸν μὲν ΣΟΦΊΑΣ, τὸν δὲ, ΠΛΟΎ-
» ΤΟΥ, τὸν δὲ, ΤΩ͂Ν ἘΠῚ ΤΟΙ͂Σ ΚΑΛΟΙ͂Σ ἩΔΈΩΝ δημιουργόν· ὁ δὲ τού-
» τοις ὥσπερ ἀντιτέχνους ἴσους τὸν ἀριθμόν ». Καὶ ταῦτα μὲν ὁ Πλούταρχος
περὶ τῶν παρὰ Πέρσαις θεῶν, μυθικὰ μὲν, ἀποχρώντως ὅμως δηλοῦντα τὴν
ἀδαμαντίνοις δεσμοῖς κατεχομένην ταύτην ἀλήθειαν, ὅτι καὶ παρὰ βαρβά-
ροις, ὡς καὶ παρ' Ἕλλησιν, Εὔνοια, Ἀλήθεια, Εὐνομία, Σοφία,
Πλοῦτος, καὶ αἱ ἐπὶ τοῖς καλοῖς Ἡδοναὶ, ἃ μόνη φιλοσοφία
παρέχειν οἵα τε, τῷ ἀγαθῷ θεῷ ἀνατέθειται, ὥσπερ αὖ Κακόνοια, Ψεῦδος,
Ἀνομία, Ἀμαθία, Πτωχεία, καὶ παντὸς εἴδους Ἀνία τε καὶ Κακο-
δαιμονία, τοῦ πονηροῦ δαίμονος εἶναι νενόμισται. Οἱ ἄρα φιλοσοφίαν
τιμῶντες, μόνοι θεοσεβεῖς, ὥσπερ οἱ ταύτην ἀπελάσαι τῆς Ἑλλάδος σπουδά-
ζοντες, σκοτεινοὶ τοῦ σκοτεινοῦ δαίμονος λάτριες εἰκότως ἂν ὀνομάζοιντο. Εἰ
δέ τις τούτων, τῶν, ἥ φησι Πλάτων, ἔτι τὴν ἀνδραποδώδη τρίχα φερόντων
ἐπὶ τῆς ψυχῆς, τοὺς ἐπὶ φιλοσοφίαν τὸ Ἑλληνικὸν γένος προτρέποντας προ-
πηλακίζειν τολμῴη, ἄλλως τε καὶ ἐν οἷς μάλιστα σωφρονεῖν ἱεροῖς χώροις
ἐχρῆν, ὑπὸ πονηρῶν δαιμόνων ἀπονενοημένως ἐκβακχευόμενος, τοῦτον τί τις
καλέσας δικαίως ἂν μᾶλλον καλέσειεν; Τί δ' ἂν ἄλλο ἢ ὅπερ αὐτὸς ὁ θεοῦ
Σοφία καὶ Λόγος ἐπικαλούμενος εἴρηκε; « Βδέλυγμα τῆς ἐρημώσεως ἑστὼς
» ἐν τόπῳ ἁγίῳ ».— Στ. 15, Ἐξέφερον.] ΔΓ, Ἐξέφερε.— Στ. 20, Μᾶλλον
ἂν κατ' ἀξίαν ἐδυστυχοῦμεν, ὠμῷ κ.τ.λ.] Ἆρα μὴ μᾶλλον ἀξίως καὶ μετὰ
πλείονος εὐσχημοσύνης ἐδυστυχοῦμεν ἂν, εἰ περιεπίπτομεν ἐχθρῷ μὴ οὕτως
φιλανθρώπῳ, οἷός ἐστιν Ἀλέξανδρος; Ὁ μὲν γὰρ ὠμὸς καὶ ἀπηνὴς ἐχθρὸς
ἴσως ἂν ἀπέσφαξεν ἑλὼν τὴν ἐμὴν γαμετήν· ἡ δὲ πρὸς αὐτὴν Ἀλεξάνδρου
τοσαύτη φιλανθρωπία, ὑποπτεύειν με μάλιστα ποιεῖ μὴ τὴν ἐμὴν εὐνὴν κα-
τῄσχυνεν ὁ ἀνήρ. Τοιοῦτον εἶναι τῶν λεγομένων ὑπολαμβάνω τὸν νοῦν, οἷον
ἡρμήνευσε καὶ ὁ Ἰταλὸς μεταφραστὴς, stati saremmo forse infelici in
maniera più convenevole alla dignità nostra, se caduti piuttosto
fossimo in man di un nemico che barbaro stato fosse et crudele?
οὐδὲ χρὴ παρενείροντας τὸν διαζευκτικὸν γράφειν, ὥσπερ ἔγραψαν οἱ ΠΡ,
Μᾶλλον ἂν ἢ κατ' ἀξίαν κ.τ.λ.— Στ. 22, Συμβόλαιον.] Συνάλλαγμα,

κόινωνία.— Στ. 23, Τίρεως.] Ἔγραψα, καθὰ γέγραπται ἐν ἀρχῇ τῆσδε τῆς σελίδος, Τίρεως, ΑΤ, Τείρεως.— Στ. 25, Καταισχύνειν] Ἐξ ΗΔ, ΑΤ, Καταισχύναι.— Μήθ' αὐτοῦ.] Οὕτως ἔγραψαν οἱ ΠΡ, ΑΤ, Μήτε αὐτοῦ. — Στ. 26, Ἐπταικεν.] Δεδυστύχηκεν. Παρ' ἡμῖν δὲ νῦν τὸ Πταίω ἐπὶ τοῦ ἠθικῶς ἁμαρτάνειν τέτακται, οὕτω χρησαμένων τῷ ῥήματι καὶ τῶν τῆς Νέας διαθήκης συγγραφέων (Ἰακώβ. Ἐπιστ. Καθολ. β' 10), « Ὅστις γὰρ ὅλον τὸν νόμον τηρήσει, πταίσει δὲ ἐν ἑνί, κ.τ.λ. ».

ΣΕΛΙΔ. 218, στ. 5, Εἰς ὀρθὸν αὖθις σταθεῖσαν.] Τὸ Σοφόκλειον (Οἰδ. Τύρ. 50) ἐνθάδε Πλούταρχος παρῃνίξατο,

Στάντες τ' ἐς ὀρθὸν, καὶ πεσόντες ὕστερον.

—Στ. 8, Χρόνος, ὀφειλόμενος νεμέσει καὶ μεταβολῇ, παύσασθαι κ. τ. λ.] Οὕτως ἔστιξα τὸ μὴ ἀνύποπτον τοῦτο χωρίον, προελόμενος τὴν τοῦ Λατίνου μεταφραστοῦ ἑρμηνείαν. Ὁ Α ἡρμήνευσεν ὥσπερ ἂν εἰ ἐγέγραπτο... Νεμέσει ἢ μεταβολῇ κ. τ. λ. Ἴσως ἐγέγραπτο, Χρόνος, ὀφειλόμενος νεμέσει, μεταβαλεῖν καὶ παύσασθαι. Τῶν δὲ ΠΡ τις γράφειν παρῄνει, Νεμέσει καὶ μεταβολῇ, ὡς παύσασθαι· ἕτεροι δὲ (ἰδ. σημ. εἰς τὸ Γρηγορ. Κορίνθ. περὶ διαλέκτ. σελ. 25, νέας ἐκδ.) νεμέσει, ὡς μεταβολῇ παύσασθαι. Ἐγέγραπτο ἴσως, Χρόνος ὀφειλόμενος νεμέσει, μεταβαλεῖν καὶ παύσασθαι· ἢ ἐκδεκτέον ὡς ἐσχηματισμένον (τὸ καλούμενον ἓν διὰ δυοῖν), Νεμέσει καὶ μεταβολῇ, ἀντὶ τοῦ, Νεμέσεως μεταβολῇ, τουτέστι τῇ ὑπὸ νεμέσεως γινομένῃ.—Στ. 16, Διῃρημένα.] ΠΡΔ, ΑΤ, Διῃρημένους.—Στ. 19. Καὶ μέχρι λίθων] Διαγραπτέος ὁ σύνδεσμος.—Στ. 28, Γαυγαμήλοις.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Γαυσαμήλοις. Γαυγάμηλα γὰρ καλεῖ τὴν πόλιν καὶ Στράβων, καὶ Ἀῤῥιανὸς, καὶ ἕτεροι οὐκ ὀλίγοι· καὶ οὕτω δεῖ γράφεσθαι τοὔνομα, δηλώσει αὐτίκα καὶ τὸ ἔτυμον.—Στ. 29, Οἶκον καμήλου.] Τὰ αὐτὰ καὶ Στράβων (ις', σελ. 737) ἱστόρηκε, « Γαυγάμηλαν » κώμην, ἐν ᾗ συνέβη νικηθῆναι καὶ ἀποβαλεῖν τὴν ἀρχὴν Δαρεῖον. Ἔστι μὲν » ΤΟΠΟΣ ἐπίσημος οὗτος, καὶ τοὔνομα· μεθερμηνευθὲν ΓΑΡ ἐστι Καμήλου οἶκος. Ὠνόμασε δ' οὕτω Δαρεῖος ὁ Ὑστάσπου, κτῆμα δοὺς εἰς » διατροφὴν τῇ καμήλῳ τῇ συνεκπεπονηκυίᾳ μάλιστα τὴν ὁδὸν, τὴν διὰ » τῆς ἐρήμου Σκυθίας μετὰ τῶν φορτίων, ἐν οἷς ἦν καὶ ἡ διατροφὴ τῷ βα- » σιλεῖ. Οἱ μέντοι Μακεδόνες τοῦτο μὲν ὁρῶντες κώμιον εὐτελὲς, τὰ δὲ Ἄρ- » βηλα κατοικίαν ἀξιόλογον, κτίσμα, ὥς φασιν, Ἀρβήλου τοῦ Ἀθμονέως, » περὶ Ἄρβηλα τὴν μάχην καὶ νίκην κατεφήμισαν, καὶ τοῖς συγγραφεῦσι»

» οὕτω παρέδωκαν ». Ὅτι ἡμάρτηται περὶ τὴν ἀρχὴν αὐτὴν ἡ γραφὴ τοῦ χωρίου τοῦδε, δῆλον ἂν γένοιτο ἐκ τοῦ Ἀρριανοῦ, Οὐκ ὀνομαστὸν χῶρον, οὐδ' εἰς ἀκοὴν ἡδὺ ὄνομα, καλοῦντος (Ἀναβάσ. Ἀλεξανδρ. ς', 11, § 10), τὰ Γαυγάμηλα. Γραπτέον οὖν καὶ στικτέον καὶ παρὰ τῷ Στράβωνι, περιαιροῦντας τὸν καὶ ἔν τισι τῶν ἀντιγράφων λείποντα, Γὰρ, σύνδεσμον... « Ἔστι μὲν ΤΟΠΟΣ ΟΥΚ ἐπίσημος οὗτος· καὶ τοὔνομα μεθερμηνευθὲν, ἐστὶ, Καμήλου οἶκος κ. τ. λ. » Καὶ ταῦτα μὲν περὶ τῆς γραφῆς. Περὶ δὲ τοῦ ἐτύμου, πειθοίμην ἂν μᾶλλον τοῖς λέγουσιν οὐκ Οἶκον καμήλου, ἀλλὰ Τέλος ἢ Εἰσφορὰν καμήλου, σημαίνειν τὰ Γαυγάμηλα.

ΣΕΛΙΔ. 219, στ. 9, Φόβῳ.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Φοίβῳ. Θεὸν γὰρ ἐνόμιζον τὸν φόβον· καὶ ἐτίμων ἐξαιρέτως αὐτὸν Λάκωνες καὶ Κορίνθιοι. Παρὰ δὲ Ῥωμαίοις καὶ ἱερὰ ἀνέστησε Τοῦλλος, ὡς ἱστορεῖ Λίβιος (Α, 27) οὐ μόνον τοῦ Φόβου, ἀλλὰ καὶ τοῦ Ὤχρου (Pavori ac Pallori)· ὠχριᾶν γὰρ μάλιστα συμβαίνει τὸν φοβούμενον, καθὰ καὶ Ὅμηρος ἐδήλωσεν (Ἰλιάδ. Γ, 34).

——————Ὑπό τε τρόμος ἔλλαβε γυῖα,

Ἄψ τ' ἀνεχώρησεν, ὦχρός τέ μιν εἷλε παρειάς.

—Στ. 11, Νιφάτου καὶ τῶν ὀρῶν τῶν Γορδυαίων.] Γορδυαίων ἔγραψα ἐξ ΕΔ, ΑΤ, Γορδυναίων, γράψας ἂν καὶ μηδενὸς προδιορθώσαντος. Καὶ ἔστιν ὁ μὲν Νιφάτης, ὄρος Ἀρμενίας οὕτω καλούμενον, τὰ δὲ Γορδυαῖα ὄρη ἐν τῇ Γορδυηνῇ λεγομένῃ χώρᾳ, ἀφ' ἧς καὶ τὸ ἔθνος οἱ Γορδυαῖοι, ἢ Γορδυηνοί, οἱ αὐτοὶ τοῖς παρὰ τῷ Ξενοφῶντι Καρδούχοις, τοῖς νῦν καλουμένοις Κούρδοις (Γαλλ. Kurdes). Οὕτω δὲ καὶ Στράβων (ΙΑ, σελ. 529) γεωγραφεῖ τὴν χώραν, « Φέρεται δὲ δι' αὐτῆς ὁ Τίγρις, ἀπὸ τῆς κατὰ τὸν » ΝΙΦΑΤΗΝ ὀρεινῆς ὁρμηθεὶς... τοὺς ΓΟΡΔΥΑΙΟΥΣ ἐν δεξιᾷ ἀφεὶς καὶ » τὴν Μεσοποταμίαν ὅλην » Ἐξ ὧν ἴσως διορθωτέον καὶ τὰ πρὸ τούτων (σελ. 527), εἰρημένα τῷ Στράβωνι, « Τοῦ δὲ Μασίου ὑπέρκειται πολὺ πρὸς » ἕω κατὰ τὴν ΓΟΡΓΟΔΥΑΙΝΗΝ [ΔΓ Γοργοδυληνὴν· Γοργοδιλὴν] ὁ Νιφάτης », γράφοντας ΓΟΡΔΥΗΝΗΝ.—Στ. 18, τῷ Σκότῳ.] παρὰ τὴν ἀρσενικὴν εὐθεῖαν, Ὁ Σκότος μικρὸν δ' ὑποβὰς ἐρεῖ, Τὸ σκότος, οὐδετέρως. Ἀμφότερα γὰρ χρηστὰ, ὥς φησι Φώτιος, « Σκότος καὶ Σκότον, » ἑκατέρως· οὕτως Ἀμειψίας »· ἐν πλείονι μέντοι χρήσει παρὰ τοῖς Ἀττικοῖς τὸ ἀρσενικόν.

ΣΕΛΙΔ. 220, στ. 6, Διεγερθέντος οὕτως ἐρωτᾷν·] Ἴσως περιαιρετέον τὸ

Οὕτως. Τὸ δὲ, Διεγερθέντος, ἔγραψαν οἱ ΠΡ, εἰς τὸ, Δὴ ἐγερθέντος.—Στ. 8, Διαμειδιάσαντα.] Ἐκ τούτου ἀσφαλέστερον τοῦ χωρίου, ἢ τοῦ ἐν τοῖς πρόσθεν (σελ. 398), χρηστὸν εἶναι τὸ Διαμειδιάω κα παρὰ Πλουτάρχῳ φαίνεται.—Στ. 14, Ὑποτροπήν.] Ἐξ ΗΔ, ΑΤ, Ἀποτροπήν. Σημαίνει δὲ τὴν παραλλὰξ τοῦ ἡττᾶσθαι καὶ νικᾷν διαδοχήν, καὶ μετενήνεκται, καθὰ καὶ τὸ ἐχόμενον Σάλον, ἀπὸ τῆς κυμαινομένης θαλάσσης· ἢ καὶ ἀπὸ τῶν σωματικῶν νόσων, ἃς ὑποτροπὴν ἔχειν, ἢ ὑποτροπιάζειν, φασὶν ἰατρῶν παῖδες (ἴδ. Φοεσ. Οἰκονομ. Ἱπποκρατ. λέξ. Ὑποτροπή), ὅτ' ἂν ὑποστρέφωσι πάλιν μετὰ τὴν ἴασιν· ᾗ μεταφορᾷ ἐχρήσατο καὶ ἀλλαχοῦ (Μέρ. Γ, Λουκούλ. § 7, σελ. 211) Πλούταρχος εἰπών, «Τὴν » Ἀσίαν ὅλην ὑποτροπὴ τῶν ἔμπροσθεν νοσημάτων εἶχεν», καὶ πάλιν (Περὶ τῶν ὑπὸ τοῦ θ. βραδ. τιμωρ. § 22), «Γίνονταί τινες ὑποτροπαὶ τῶν » παθῶν, σφυγμοὺς ἔχουσαι καὶ πηδήσεις». Ταύτην τὴν ὑποτροπὴν τῶν νόσων ἡ συνήθεια Ἐξανακύλισμα, παρὰ τὸ Ἐξανακυλίω ἢ Ἐξανακυλίζω (ᾧ τὸ παρὰ τοῖς ἀρχαίοις Ὑποτροπιάζειν σημαίνομεν), καὶ Ἐξανακύλημα, παρὰ τὸ Ἐξανακυλῶ, λέγει.—Στ. 15, Ῥόθῳ.] Καὶ τοῦτο ἀπὸ τῆς θαλάσσης μετενήνεκται. «Ῥόθον, τὸν ἀπὸ » τῶν κυμάτων ψόφον» φησὶν Ἡσύχιος.—Στ. 19, Φράσοντας.] Ἐξ ΗΔ, ΑΤ, Φράζοντας. — Στ. 29, Ἐπένδυμα... ζωστόν.] Ἴσως ἦν, Ὑπένδυμα. Ἀλλὰ περὶ τούτου δευτέρων φροντίδων καὶ σκέψεώς ἐστι χρεία. Συγκέχυνται γὰρ οὐκ ὀλιγάκις τό τε Ἐπένδυμα καὶ Ὑπένδυμα, καὶ ὁ Ἐπενδύτης καὶ Ὑπενδύτης, ἢ Ὑποδύτης (ἴδ. τὰς εἰς τὸν Μοιρ. Ἀττικ. σημειώσ. τῶν κριτικῶν). Τὸ δὲ Ζωστὸν, οὐ τρεπτέον εἰς τὸ Ζωωτὸν, ὥς τις ὑπετόπασε τῶν ΠΡ. Εἴρηταί που καὶ τοῖς συγγραφεῦσι τῆς Νέας διαθήκης (Ἰωάν. κά, 7) «Τὸν ἐπενδύτην διεζώσατο»· ὃ καὶ ὑπονοεῖν παρέχει καὶ τὸ Ἐπένδυμα καὶ τὸν Ἐπενδύτην τοῦ παρακμαζόντος ἑλληνισμοῦ ὀνόματα εἶναι.

ΣΕΛΙΔ. 221, στ. 1, Ἔργον Θεοφίλου.] Οὐχ ἑτέρωθεν ἄλλοθεν ἔμοι γε γνωστὸς ὁ Θεόφιλος οὗτος.—Στ. 2, Περιτραχήλιον.] Ἔλασμα καὶ τοῦτο σιδήρου ἦν φυλακῆς ἕνεκα περὶ τὸν τράχηλον τῶν μαχομένων τιθέμενον. Τοῦθ' ὁ Αὐτοκράτωρ Λέων (Τακτικ. κφ. 5.) δεῖν εἶναί φησιν «Ἐνδεδυμένον ἔσω» θεν ἀπὸ κεντούκλου», Κέντουκλα (παρὰ τὸ Ῥωμαϊκὸν Centunculi) καλούντων τῶν Βυζαντινῶν συγγραφέων τοὺς πίλους, οἵ εἰσιν οἱ παρ' ἡμῖν βαρβαροτουρκιστὶ καλούμενοι Κετσέδες. Τὸ δὲ Περιτραχήλιον, ὅπερ ἡ χυδαία φωνὴ εἰς τὸ Πετραχήλιον μετεποίησε, μέρος ἡμῖν

ἐστὶ τῆς τῶν ἱερέων στολῆς, τοῦ στρατιωτικοῦ Περιτραχηλίου διάφορον.—Στ. 3, Μάχαιραν δὲ θαυμαστὴν βαφῇ καὶ κουφότητι.] Τουτέστιν ἐκ σιδήρου βεβαμμένου ἢ ἐστομωμένου πεποιημένην. Σημαίνει γὰρ παρὰ τοῖς ἀρχαίοις ἡ βαφὴ καὶ τὸ στόμωμα τοῦ σιδήρου, τὸν τρόπον, ὥπερ ὁ σίδηρος εἰς τὸ ἐν τῇ συνηθείᾳ καλούμενον Ἀτζάλιον (παρὰ τὸ τῶν Ἰταλῶν Acciajo) μεταβάλλεται. Ἦσαν δὲ στομώματος διάφορα γένη, ἄλλο πρὸς ἄλλο χρήσιμον, ὧν ἦν καὶ τὸ Χαλυβδικὸν, παρ' ὃ καὶ Χάλυψ ὠνόμασταί τισιν ὁ ἐστομωμένος σίδηρος. « Στομωμάτων γὰρ τὸ μὲν Χα» λυβδικὸν, τὸ δὲ Σινωπικὸν, τὸ δὲ Λύδιον, τὸ δὲ Λακωνικόν. Καὶ Σινωπι» κὸν μὲν καὶ Χαλυβδικὸν, εἰς τὰ τεκτονικά· τὸ δὲ Λακωνικὸν, εἰς ῥίνας, » καὶ σιδηροτρύπανα, καὶ χαρακτῆρας, καὶ εἰς τὰ λιθουργικά· τὸ δὲ Λύ» διον καὶ αὐτὸ εἰς ῥίνας, καὶ μαχαίρας, καὶ ξυρία, καὶ ξυστῆρας (Στέφ. » Βυζ. λέξ. Λακεδαίμων) ».—Στ. 4, Κιτιέων.] Παρὰ τὸ Κίτιον, πόλιν Κύπρου· ὅθεν ἦν Ζήνων ὁ φιλόσοφος, καὶ οὗ Κίμων ὁ Ἀθηναίων στρατηγὸς, πολιορκῶν αὐτὴν ἀπέθανε.—Στ. 5, Ἐπιπόρπαμα.] Δωρικῶς καὶ Μακεδονικῶς ἀντὶ τοῦ Ἐπιπόρπημα, παρὰ τὸ Ἐπιπορπάω. ΔΓ, Πόρπωμα, καὶ (Στεφάν. Θησ. Ἑλλ. Γλ. Τόμ. Γ', σελ. 163) Ἐπιπόρπωμα, ἀπὸ τοῦ Ἐπιπορπόω, παρὰ τὴν Πόρπην, τὴν καὶ Περόνην λεγομένην, δι' ἧς συνήπτετο τὰ ἄνω μέρη τῆς χλαμύδος τὰ πρὸς τὸν τράχηλον. Ταύτην οἱ Ῥωμαῖοι διὰ τοῦ Fibula ἡρμήνευον, ὃ συγκόψαντες οἱ Βυζαντινοὶ συγγραφεῖς Φίβλαν ἔλεγον, ἡ δὲ παρ' ἡμῖν συνήθεια Φιούμπαν καλεῖ, πρὸς τὸ Ἰταλικὸν fibbia μᾶλλον ἀποκλίνασα. Ἐνταῦθα δὲ τὸ Ἐπιπόρπαμα οἱ ἑρμηνευταὶ ἀντὶ τῆς ὅλης χλαμύδος ἐξεδέξαντο, ὁ μὲν Α, cotte d' armes, εἰπὼν, ὁ δ' Ἰταλὸς μεταφραστὴς, Clamide con un fermaglio.—Στ. 7, Ἑλικῶνος.] Μνημονεύει τοῦ κλεινοῦ τούτου τεχνίτου καὶ Ἀθήναιος (Β, σελ. 48), « Ἤκμασε δὲ ἡ τῶν ποικίλων ὑφὴ, μάλιστα » ἐντέχνων περὶ αὐτὰ γενομένων Ἀκισᾶ καὶ Ἑλικῶνος, τῶν Κυπρίων. Ὑφάν» ται δ' ἦσαν ἔνδοξοι· καὶ ἦν Ἑλικὼν υἱὸς Ἀκεσᾶ, ὥς φησιν Ἱερώνυμος. Ἐν » Πυθοῖ γοῦν ἐπί τινος ἔργου ἐπιγέγραπται,

» Τεῦξ' Ἑλικὼν Ἀκισᾶ Σαλαμίνιος, ᾧ ἐνὶ χερσὶ
» Πότνια θεσπεσίην Παλλὰς ἔτευξε χάριν ».

—Στ. 11, Βουκεφάλα.] ΔΓ, Βουκεφάλου.—Στ. 15, Μεταλαβών.] Ἐξ ΗΔ, ΑΤ, Μεταβαλών.—Στ. 19, Ἐπεδείκνυ παριππεύων.] Ἐξ ΗΔ, ΑΤ, Ἐπεδείκνυτο παριππεύων.—Στ. 21, Ὄρθιον ἐπὶ τοὺς πολεμίους.] Εὐθὺ τῶν

πολεμίων· ἐπιῤῥηματικῶς ἐνθάδε καὶ πλεοναστικῶς κεχρημένου τῷ Ὄρθιον.

ΣΕΛΙΔ. 222, στ. 5, Περισπαίροντες αὐτοῖς καὶ ἵπποις.] ΔΓ. Περισπαίροντες αὐτοῖς τε καὶ τοῖς ἵπποις. Ὁ νοῦς, Περὶ ἀλλήλους καὶ περὶ τοὺς ἵππους ἀτάκτως καὶ μετὰ σπαραγμοῦ κινούμενοι καὶ ψυχοῤῥαγοῦντες. «Σπαίρει, ἅλλεται, σκιρτᾷ, πηδᾷ, σκαρίζει, ψυχοῤῥαγεῖ» φησὶν Ἡσύχιος· καὶ «Σπαιρόντων, τὴν ψυχὴν ἐκπνεόντων». Ἔστι δὲ τὸ Σπαίρω συνώνυμον τοῦ Σκαίρω, ἢ δῆλον ἐκ τοῦ αὐτοῦ Ἡσυχίου, «Σκαίρει, ἅλλεται, σκιρτᾷ, πηδᾷ, τρέχει, ὀρχεῖται». Ἔχουσι δὲ κοινὴν καὶ τὴν ἐν ἀρχῇ πρόσληψιν τοῦ α· οὐ γὰρ μόνον, Σπαίρω καὶ Σκαίρω, ἀλλὰ καὶ Ἀσπαίρω καὶ Ἀσκαίρω, ὥσπερ καὶ τὰ ἐξ αὐτῶν παράγωγα Σπαρίζω, Σκαρίζω, Ἀσπαρίζω, Ἀσκαρίζω. » Ἀσπαίροντας, σκαρίζοντας» φησὶν Ἡσύχιος, καὶ «Ἀσπαρίζειν, σκαρίζειν ἐπὶ ἰχ-» θύων, καὶ Ἀσπαίρειν, τὸ αὐτό». Κοινὸν πρὸς τούτοις καὶ τὸ ἐξ ἑκατέρου ὄνομα ἰχθύος παρῆχθαι, ἐξ οὗ μὲν, τὸν Σπάρον, ἐξ οὗ δὲ, τὸν Σκάρον, ἅπερ ἔσωσεν ἡ συνήθεια, καίπερ οὔπω κατακεχωρισμένου τοῦ Σπάρου οὔτε ἐν τοῖς Ἑλληνικοῖς, οὔτε ἐν τοῖς τῆς καθ' ἡμᾶς φωνῆς Λεξικοῖς. Μνημονεύει δ' ἀμφοτέρων Ἐπίχαρμος (παρὰ τῷ Ἀθην. Ζ, σελ, 320) ἐν Ἥβας γάμῳ,

Χάλκεύομεν σπάρους,
Καὶ σκάρους, τῶν οὐδὲ τὸ σκῶρ
Θεμιτὸν ἐκβαλεῖν θεοῖς·

τουτέστι, Καὶ ὀψαρεύομεν σπάρους, καὶ σκάρους, τῶν ὁποίων οἱ θεοὶ οὐδὲ τὸ σκατὸν τολμοῦν νὰ ῥίψωσι. Καὶ ὁ μὲν Σκάρος διάφορος ἰχθὺς τοῦ Σπάρου· τὸ δὲ Σκαίρω ὑπονοήσειεν ἄν τις ἐκ τῶν εἰρημένων οὐδενὶ τὴν ἀρχὴν ἑτέρῳ διενηνοχέναι, ἢ διαλέκτῳ, τοῦ Σπαίρω, καθὰ καὶ τὸ, Κότερος, καὶ Ὁκότερος, τοῦ Πότερος, καὶ Ὁπότερος. Παρὰ δὲ τὸ Σπαίρω τοῦτο, ἢ τὸ Σπαρίζω, ἐσχημάτισεν ἡ συνήθεια ῥῆμα ταυτόσημον τὸ σεσημειωμένον ἐν τῇ Διατριβῇ τοῦ Γ. Κ (σελ. 180), Σπαρνῶ, ἀποβαλοῦσα τῆς διφθόγγου τὸ ι καὶ παρενθεῖσα τὸ ν (ἀναλόγως τῷ Σπέρνω παρὰ τὸ Σπείρω), καὶ τὸ παράγωγον, Σπαρταρῶ καὶ Σπαρταρίζω· οἷς ἅπασιν ἔννοια κοινὴ συντόνου καὶ ταραχώδους κινήσεως ὑπόκειται, ὥσπερ καὶ τῷ Σπαράσσω, ὃ καὶ αὐτὸ παράγωγον ἔοικεν εἶναι τοῦ Σπαίρω. Χρώμεθα γὰρ καὶ τούτῳ οὐδετέρως, οἷον, Ἐσπάραξεν ἡ καρδία μου, ὅπερ εὕρηται καὶ παρὰ τοῖς Ἑβδομήκοντα (Ἰερεμ. δ', 19) καὶ Σπαράσσει, ἢ Σπαρά-

ζει ἐπὶ τοῦ ὑπὸ θανασίμου πληγῆς ἀτάκτως κινουμένου, ᾧ συνώνυμον τὸ ΠΑΡΑΔΕΡΝΩ, οὐδὲ τοῦτό πω καταχωρισθὲν ἐν τοῖς Λεξικοῖς, ἐπὶ τῆς σημασίας τοῦ Σπαίρω, ἢ τοῦ κοινοῦ Σπαράζω. Καὶ ἐντεῦθεν σαφηνίζεται τὸ τοῦ Ἡσυχίου, «Σπαρασσόμεθα, ξεόμεθα ταραττόμεθα. » Σπαράγμασι, ξεσμοῖς, ταραχαῖς, ἀποβολαῖς, ΔΑΡΜΟΪΣ»— Στ. 7, Ἐρειπομένων.] Καταφερομένων, καταπιπτόντων.— Στ. 13, Οὐ μὴν τότε γ' ἄν.] Εὐλόγως εἴκασέ τις τῶν ΠΡ γραπτέον εἶναι, Οὐ μὴν οὐδὲ τότε γ' ἄν·— Στ. 20, Καὶ προσφθονοῦντα] Ἀμάρτυρον κατεχώρισεν ὁ Στέφανος ἐν τῷ Θησαυρῷ (Δ, σελ. 151) τὸ Προσφθονέω· ὁ δὲ Σνεϊδέρος δύο Πλουτάρχου μαρτυρίοις ἐπιστώσατο τὸ ῥῆμα, οἷς τρίτον ἐστὶ προσθεῖναι τὸ τοῦ προκειμένου χωρίου. Καὶ ἐν ἐκείνοις μὲν ἴσως καλῶς ἔχει ἡ λέξις· ἐν δὲ τῷ παρόντι οὐκ ἀπιθάνως ἄν τις ὑπονοήσειε γεγραφέναι τὸν Πλούταρχον, Καίπως φθονοῦντα.— Στ. 22, Ὡς ἀνέχων τοῦ φονεύειν.] Ὡς κωλύων αὐτοὺς ἐπὶ πλέον φονεύειν.

ΣΕΛΙΔ. 223, στ. 5, Φαΰλλου] ΠΡΔ, ΑΤ, Φαΰλου. Μέμνηται τοῦ Φαΰλλου τούτου καὶ Ἡρόδοτος (Η, § 47), «Κροτωνιῆται μοῦνοι ἔσαν οἱ ἐβώθησαν » τῇ Ἑλλάδι κινδυνευούσῃ, νηῒ μιῇ, τῆς ἦρχε ἀνὴρ τρὶς πυθιονίκης, Φαΰλ- » λος»· καὶ Παυσανίας (Ι, 9), «Φαΰλλῳ δὲ τῷ Κροτωνιάτῃ, Ὀλυμπιάσι » μὲν οὐκ ἔστιν αὐτῷ νίκη· τὰς δὲ Πυθοῖ πεντάθλου δύο ἀνείλετο καὶ σταδίου τὴν τρίτην· ἐναυμάχησε δὲ καὶ ἐναντία τοῦ Μήδου ναῦν τε παρασ- » κευασάμενος οἰκείαν, καὶ Κροτωνιατῶν ὁπόσοι ἐπεδήμουν τῇ Ἑλλάδι ἀνε- » βίβασε. Καί ἐστιν (ἴσ. Καὶ ἔστιν οἱ) ἀνδριὰς ἐν Δελφοῖς». Οὐ δ' ὁ Κωμικὸς Ἀριστοφάνης ἀμνημόνευτον παρῆκε τὸν ἀγαθὸν ἄνδρα τοῦτον· καὶ ἐπίγραμμα δὲ ὁ τὸν Κωμικὸν (Ἀχαρν. 214) σχολιάσας παρατίθεται εἰς Φαΰλλον τὸ ἑξῆς,

Πέντ' ἐπὶ πεντήκοντα πόδας πήδησε Φαΰλλος·
Δίσκευσεν δ' ἑκατὸν πέντ' ἀπολειπομένων.

Ἴδε καὶ Σουΐδαν (λέξ. Φαΰλλος, καί, Ὑπὲρ τὰ ἐσκαμμένα), καὶ τὸν Εὐστάθιον εἰς τὴν Θ ῥαψῳδίαν τῆς Ὀδυσσείας (σελ. 1591).—Στ. 8, Τοῦ κινδύνου τι μεθέξων.] Ἴσως ἐγέγραπτο, Τοῦ κινδύνου συμμεθέξων, καθάπερ εἴρηκε καὶ ἀλλαχοῦ (Πύῤῥ. § 4, Μέρ. Γ, σελ. 4), «Τῆς δὲ » μεγάλης μάχης ... παρὼν ὁ Πύῤῥος τοῖς περὶ Δημήτριον συμμετεῖχε».— Στ. 10, Τὴν Βαβυλωνίαν.] Ἐξ ΗΔ, ΑΤ, Τὴν Βαβυλωνίων.— Στ. 11, Τότε χάσμα τοῦ πυρὸς ἐν Ἐκβατάνοις.] Τινὲς τό, Ἐν Ἐκβατάνοις, τρέπειν

παρῄνεσαν εἰς τὸ, Ἐν Ἀρακτηνῇ (χώρᾳ τινὶ τῆς ὑπὸ τῷ Βασιλεῖ Περσῶν τεταγμένης, ἣν Ἀρτακηνὴν ὀνομάζει Στράβων), διὰ τὸ τὰ Ἐκβάτανα μὴ ἐν τῇ Βαβυλωνίᾳ κεῖσθαι, ἀλλ' ἐν τῇ Μηδίᾳ. Ἕτεροι δὲ ἐξεῤῥυηκέναι τι τοῦ χωρίου ὑποτοπάσαντες οὕτως διορθοῦν ἐπεβάλοντο, Τότε χάσμα τοῦ πυρὸς ὅμοιον τῷ ἐν Ἐκβατάνοις. Ἴσως τοῦτο μὲν τοῦ κειμένου τὸ μέρος ἐατέον κατὰ χώραν, τὸ δὲ προηγησάμενον, Βαβυλωνίαν τρεπτέον εἰς τὸ Μηδίαν. Πλίνιος δὲ (Β, 105) τὸν Νάφθαν περὶ τὴν Βαβυλῶνα, καὶ τῆς Παρθυαίας ἐν τοῖς Ἀστακηνοῖς γίγνεσθαί φησι, Similis est natura Naphthae: ita adpellatur circa Babylonem, et in Astacenis Parthiae profluens bituminis liquidi modo. Huic magna cognatio ignium, transiliuntque protinus in eam undecumque visam.— Στ. 13, Τοῦ Νάφθα.] Πίσσης ὀρυκτῆς (Γερμαν. Erdpech) εἶδος ὁ Νάφθας, ἡ Νάφθα, ἢ τὸ Νάφθα· ἄλλοι γὰρ ἄλλως ἀποδεδώκασι τὸ γένος, ᾧ καὶ δῆλον ξενικὸν εἶναι τοὔνομα, καὶ ληρεῖν ἄντικρυς τοὺς παρὰ τὸ Ἀνάπτεσθαι ἐτυμολογοῦντας. Καὶ ξηρὰ μὲν οὖσα, Ἄσφαλτος καλεῖται, εἰς ὑγρότητα δὲ ἐλαίου ὑπὸ τῆς φύσεως διαλυθεῖσα, Νάφθα, ἤ, ὡς ἤρεσε τοῖς νεωτέροις ἑλληνικῷ προσαγορεύειν ὀνόματι, Πετρέλαιον (Γαλλ. Pétrole)· ὁ Γερμανοὶ Steinoehl καλοῦσι, τὸ ἀπὸ πετρῶν ἔλαιον καὶ αὐτοὶ δηλοῦντες διὰ τῆς λέξεως.— Στ. 14, Ὃς τἄλλα μὲν ἀσφάλτῳ προσέοικεν.] Ἔστι γὰρ ὥσπερ ἔφθημεν σημειωσάμενοι, ἄσφαλτος ὑγρά· παρ' ἣν καὶ τὸ Ἀσφαλτοῦν. «Ἀσφαλτώσεις (φησὶν Ἡσύχιος), χρίσεις, πισσώσεις».— Στ. 15, Θιγεῖν.] Ἐξ ΗΔ, ΑΤ, Θίγειν.— Στ. 16, Ἐξαπτόμενος.] ΠΡΔ, ΑΤ, Ἐξαπτομένης.— Στ. 17, Συνεκκαίει.] Ἐξ ΗΔ, ΑΤ, Συνεκκαίοι.— Στ. 19, Ἐπ' ἄκρῳ.] Τοῦ ϛενωποῦ δηλονότι.—Στ. 23, Συνεχές.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Συνεχής·—Στ. 26, Παιδαρίου τῷ Ἀλεξάνδρῳ παρεστῶτος.] Μνημονεύει τούτου καὶ Στράβων (ιϛ', σελ. 743), οὗ καὶ τὴν ῥῆσιν οὐκ ἄχρηστον παραθέσθαι, καίπερ οὖσαν μακρὰν, περὶ τοῦ Βαβυλωνίου τούτου πυρός. «Γίνεται δὲ ἐν τῇ Βαβυλωνίᾳ » καὶ ἄσφαλτος πολλὴ, περὶ ἧς Ἐρατοσθένης μὲν οὕτως εἴρηκεν· ὅτι ἡ μὲν » ὑγρὰ, ἣν καλοῦσι νάφθαν, γίνεται ἐν τῇ Σουσίδι, ἡ δὲ ξηρὰ δυναμένη πήτ- » τεσθαι ἐν τῇ Βαβυλωνίᾳ. Ταύτης δ' ἐστὶν ἡ πηγὴ τοῦ νάφθα πλησίον· » πλημμύροντος δὲ τούτου κατὰ τὰς τῶν χιόνων τήξεις, καὶ αὐτὴ πλημμύρει » τε καὶ ὑπέρχυσιν εἰς τὸν ποταμὸν λαμβάνει. Ἐνταῦθα δὲ συνίστανται » βῶλοι μεγάλαι πρὸς τὰς οἰκοδομὰς ἐπιτήδειαι, τὰς διὰ τῆς ὀπτῆς πλίνθου. » Ἄλλοι δὲ καὶ τὴν ὑγρὰν ἐν τῇ Βαβυλωνίᾳ γίνεσθαί φασι. Περὶ μὲν οὖν τῆς

» ξηρᾶς εἴρηται πόσον τὸ χρήσιμον τὸ ἐκ τῶν οἰκοδομιῶν μάλιστα. Φασὶ δὲ » καὶ πλίνθους πλέκεσθαι, ἐμπλασθέντα δ' ἀσφάλτῳ πυκνοῦσθαι. Τὴν δ' ὑγράν, » ἣν Νάφθαν καλοῦσι, παράδοξον ἔχειν συμβαίνει τὴν φύσιν. Προσαχθεὶς » γὰρ ὁ νάφθας πυρὶ πλησίον, ἀναρπάζει τὸ πῦρ, κἂν ἐπιχρίσας αὐτῷ σῶμα » προσαγάγῃς, φλέγεται. Σβέσαι δ' ὕδατι οὐχ οἷόν τε· ἐκκαίεται γὰρ μᾶλ- » λον, πλὴν εἰ πάνυ πολλῷ· ἀλλὰ πηλῷ καὶ ὄξει, καὶ στυπτηρίᾳ καὶ ἰξῷ » πνιγέντα σβέννυται. Πεῖρας δὲ χάριν φασὶν Ἀλέξανδρον ἐν λουτρῷ » περιχέαι παιδὶ τοῦ νάφθα, καὶ προσαγαγεῖν λύχνον. Φλεγόμενον δὲ » τὸν παῖδα ἐγγὺς ἐλθεῖν τοῦ ἀπολέσθαι· πλὴν πολλῷ σφόδρα κα- » ταντλοῦντες τῷ ὕδατι, ἐξίσχυσαν καὶ διέσωσαν οἱ περιεστῶτες. Ποσει- » δώνιος δέ φησι τοῦ ἐν τῇ Βαβυλωνίᾳ νάφθα τὰς πηγάς, τὰς μὲν εἶναι » λευκοῦ, τὰς δὲ μέλανος· τούτων δὲ τὰς μὲν εἶναι θείου ὑγροῦ, λέγω δὲ » τὰς τοῦ λευκοῦ· ταύτας δὲ εἶναι τὰς ἐπισπώσας τὰς φλόγας· τὰς δὲ τοῦ » μέλανος, ἀσφάλτου ὑγρᾶς, ᾧ ἀντ' ἐλαίου τοὺς λύχνους καίουσι ».

ΣΕΛΙΔ. 224 στ. 3, Θιγεῖν.] Ἐξ ΗΔ, ΑΤ, Θίγειν. Προσυπακουστέον δὲ τό, Πυρός.— Στ. 5, Πολλοί.] ΠΡΔ, ΑΤ, Πολλά.— Στ. 9, Τὸν μῦθον ἀνασώζοντες πρὸς τὴν ἀλήθειαν κ. τ. λ.] Οὐκ ἐῶντες τὸν μῦθον ἀπολέσθαι, τουτέστι ψευδῆ ὅλως καὶ μηδὲν ἕτερον ἢ μῦθον ἀποδειχθῆναι τὸ περὶ τῆς Μηδείας ἱστορούμενον. Τοῦτο γὰρ βούλεται ἡ μήπω καταχωρισθεῖσα κομψὴ φράσις, Ἀνασώζειν τὸν μῦθον πρὸς τὴν ἀλήθειαν, ἣν οὐκ ἀκόμψως ἡρμήνευσεν ὁ Ἰταλὸς μεταφραστής, διὰ τοῦ ridur volendo la favola alla verità.— Στ. 10, Τὸ τῆς Μηδείας φάρμακον, ᾧ τὸν τραγῳδούμενον στέφανον καὶ τὸν πέπλον ἔχρισεν.] Τῷ Νάφθα καὶ Πλίνιος (Β, 105) ἀνατίθησι τὴν ὑπὸ τῆς Μηδείας πυρπόλησιν τῆς τοῦ Κρέοντος θυγατρός· Ita ferunt a Medea pellicem crematam, postquam sacrificatura ad aras accesserat, corona igne rapta. Ἡ ἱστορία παρὰ Ἀπολλοδώρῳ (Α, θ,' § 28)— Στ. 13, Ἐγγύθεν.] Ἐξ ΕΔ (ᾗ συνᾴδει καὶ ὁ Ἰταλὸς μεταφραστής) οἱ ΠΡ, ΑΤ, Ἐκεῖθεν.— Στ. 16, Ἐν δὲ τοῖς ξηρότητα.] ΠΡΔ (συνᾴδουσα καὶ τῷ Α, καὶ τῷ Ἰταλῷ μεταφραστῇ), ΑΤ, Ἐν δὲ τοῖς ἄλλοις ξηρότητα.— Ἡ νοτίδα.] Ἐκ ΔΓ (συνᾳδούσης τῷ Α) ΑΤ, Καὶ νοτίδα.— Στ. 19, Γένεσις... εἴτε κ. τ. λ.] Ἐξερρυηκέναι φράσιν ὅλην τοῦ χωρίου δῆλόν ἐστιν ἐξ αὐτοῦ τοῦ, Εἴτε, καθὰ καὶ οἱ ΠΡ ἐσημειώσαντο.— Στ. 27, Τὸν δὲ κιττὸν οὐκ ἔστεξεν ἡ γῆ.] Μνημονεύει τούτου καὶ ἀλλαχοῦ (Συμποσιακ. Γ, 2) Πλούταρχος, ἐκ τοῦ Θεοφράστου (Περὶ φυτ. Δ, 4) παραλειφθείς.—

Στ. 30, Κατηγορήσουσιν.] Ἐξ ΗΔ (συνᾳδούσης τῷ Α) ΑΤ, Κατηγοροῦσιν.

ΣΕΛΙΔ. 225, στ. 3, ὅπου φησί.] Οὕτως ἅπαντες, ἀναφέροντες δηλονότι τὸ, Φησὶ, πρὸς αὐτὸν τὸν Ἀλέξανδρον, ὃν εἰκὸς ἐν τῇ πρὸς Ὀλυμπιάδα τὴν μητέρα ἐπιστολῇ, ἢ τῇ πρὸς Ἀντίπατρον, καὶ τὸ περὶ τῆς πορφύρας γεγραφέναι· ὁ δ' Α ἑτέρᾳ ἔοικεν ἐντετυχηκέναι γραφῇ τῇ, Ὅπου φασὶ, οἱ τὰ κατ' Ἀλέξανδρον ἱστορήσαντες δηλονότι.—Στ. 6, Ἄνθος.] « Ἄνθη, » τὰ χρώματα » φησὶν Ἡσύχιος.—Στ. 6, Αἴτιον δὲ τούτου φασὶν εἶναι, τὸ τὴν βαφὴν διὰ μέλιτος ΓΙΝΕΣΘΑΙ τῶν ἁλουργῶν.] Οὐδενί πω ἐντετύχηκα ἐπιβαλλομένῳ ἐξηγήσασθαι τὸ χωρίον πλὴν Βεκμάννῳ τῷ μακαρίτῃ (Περὶ εὑρημάτ. Τόμ. Β, σελ. 377). Λέγει δὲ, ὡς ἐγίνετο τοῦτο, ἐπικεχυμένῳ μέλιτι καλυπτομένης τῆς βαφῆς, deren Erhaltung dem übergegossenen Honig zugeschrieben worden, παρατιθέμενος ἐκ τῶν ἀρχαίων καὶ τὰ περὶ τῶν ἐν μέλιτι κατατιθεμένων, ἐπὶ τῷ διαμένειν ἄσηπτα, νεκρῶν σωμάτων παραδείγματα, οἷον ἦν καὶ τὸ Ἀγησιλάου, ἐν μέλιτι κομισθὲν εἰς Σπάρτην, ὥς φησι Διόδωρος ὁ Σικελιώτης (ΙΕ, 93). Οἶμαι μέντοι τούτοις οὐδὲν κοινὸν εἶναι τοῖς παραδείγμασι καὶ τῷ περὶ τῆς πορφύρας βαφῆς λεγομένῳ ὑπὸ τοῦ Πλουτάρχου· ἔλεγε γὰρ ἂν οὐ, Τὴν βαφὴν διὰ μέλιτος γίνεσθαι, ἀλλὰ, Τὴν βαφὴν διὰ μέλιτος ἀποτίθεσθαι, ἢ, Τὴν βαφὴν ἐν μέλιτι τίθεσθαι. Καὶ λέγοντος, οὐδὲν ἂν ἧττον ἠπόρησέ τις περὶ τῆς ἀποθέσεως· οὐ γὰρ, ὥσπερ σώματα νεκρὰ, ἢ ἄλλο τι τῶν ὁπωσοῦν στεῤῥοτέρων τὴν φύσιν, οὕτω καὶ βαφὰς, ἢ βεβαμμένα ἱμάτια, εἰς μέλι κατακρύπτειν ἐστὶν, ἢ ἔλαιον. Ὁ δὲ τὰ περὶ τεχνῶν ἐν τοῖς Πλουτάρχου συγγράμμασιν ἐγκατεσπαρμένα εἰς ἓν συναγαγὼν Φάκιος οὐδ' ἐμνημόνευσεν ὅλως τοῦ προκειμένου χωρίου.—Στ. 8, Καὶ γὰρ τούτων, τὸν ἴσον χρόνον ἐχόντων.] Τῶν λευκῶν, ἐξ ἐτῶν δέκα δεόντων διακοσίων συγκειμένων, καθάπερ καὶ τῶν ἁλουργῶν.—Στ. 9, Δίνων.] Ὁ τὰ Περσικὰ συγγράψας, οὗ μνημονεύει καὶ Ἀθήναιος.—Στ. 10, Ἀπὸ τοῦ Νείλου καὶ τοῦ Ἴστρου.] Παρὰ δὲ τῷ Ἀθηναίῳ (Β, σελ. 67) Νείλου μόνου μνημονεύει ὁ Δίνων.—Στ. 15, Δαρεῖος μὲν γὰρ ἐπεφεύγει.] Περιττὸς ὁ πρῶτος τῶν συνδέσμων.—Στ. 17, Δίγλωσσος.] Τὴν Περσῶν καὶ τὴν τῶν Ἑλλήνων φωνὴν ἐπιστάμενος. Ἔπιθι τὰ ἀλλαχοῦ (Ἡλιοδώρ. Β, σελ. 277) περὶ τοῦ, Δίγλωσσος, σεσημειωμένα.—Στ. 19, Τὴν Πυθίαν προειπεῖν, ὡς ΛΥΚΟΣ ἔσται καθηγεμὼν κ. τ. λ.] ΛΥΚΙΟΣ ἐστὶν ἡ παρ' ἅπασιν ἐκδεδομένη γραφὴ, ᾗ κατηκολούθησαν καὶ οἱ μεταφρασταί. Ἔδοξεν ὅμως μοι εἰς τὸ προσηγορικὸν λύκος τρέψαι τὸ ἐθνικὸν Λύκιος, καθὰ φέρεται καὶ παρὰ τῷ Πολυαίνῳ

(Δ, γ', 27, σελ. 122)· εἰ γὰρ καὶ ἐκ Λυκείας ἦν ὁ δίγλωσσος τὰ πρὸς πατρὸς, καθὰ φθὰς ὁ Πλούταρχος εἴρηκεν, ἐνθάδε μέντοι μᾶλλον οἰκεῖον ἂν εἴη τῷ Λοξίᾳ Ἀπόλλωνι τὸ λοξὸν καὶ αἰνιγματῶδες ὄνομα τοῦ ζώου.— Στ. 24, Φασί.] Ἴσ. γρ. Φησί, ὡς ἔδοξέ τῳ τῶν ΠΡ, ἵνα ἀναφέρηται πρὸς αὐτὸν τὸν Ἀλέξανδρον.—Μυρίοις ὀρικοῖς ζεύγεσι.] Δεκακισχιλίοις ζεύγεσιν ἡμιόνων. Τὸ δὲ Ὀρικοῖς ἢ, Ὀρεικοῖς (γράφεται γὰρ καὶ οὕτως) παρὰ τὸ, Ὀρεὺς, τὸ δηλοῦν τὸν ἡμίονον.—Στ. 25, Πεντακισχιλίαις.] Τρισχιλίαις φησὶν ὁ Σικελιώτης Διόδωρος (ΙΖ, 71).

ΣΕΛΙΔ. 226, στ. 3, Διήγαγε.] ΔΓ, Ἤγαγε.—Στ. 4, Ὑπὸ τὸν χρυσοῦν οὐρανίσκον.] Λέγεται καὶ Οὐρανίσκος καὶ Οὐρανὸς, ὁ τῶν σκηνῶν, θρόνων, ἢ κλινῶν ἄνωθεν ἐπιτιθέμενος ὄροφος, καὶ μάλιστα ὁ διηνθισμένος καὶ πεποικιλμένος χρυσῷ, κατὰ μίμησιν τοῦ κυρίως οὐρανοῦ, παρ' ὃν μετενήνεκται καὶ τοὔνομα. « Οὐρανὸς (φησὶν Ἡσύχιος), ὁ κατηστρισμέ-» νος (γρ. κατηστερισμένος) τόπος. Πέρσαι δὲ, τὰς βασιλείους σκηνὰς καὶ » αὐλὰς, ὧν τὰ καλύμματα κυκλοτερῆ, Οὐρανούς ». Ἡ δὲ παρ' ἡμῖν συνήθεια ἀμφοτέρας ἔσωσε τὰς λέξεις· ἰδίαν ἑκατέρᾳ συνάψασα μεταφοράν· Οὐρανίσκον μὲν γὰρ καλεῖ τὴν ἐν τῷ στόματι ὑπερῴαν, ἣν Οὐρανὸν Ἀριστοτέλης (Περὶ ζώων ἱστορ. Α, 11), ὀνομάζει· Οὐρανὸν δὲ τὸν τῆς κλίνης ὄροφον, ἐφ' ἧς ἐννοίας οὔπω κατεχωρίσθη ἐν τοῖς ἡμετέροις Λεξικοῖς.—Στ. 10, Εἰς μέθην . . . τοῖς ἑταίροις ἑαυτὸν δεδωκώς.] Ἴσως γραπτέον, Σὺν τοῖς ἑταίροις, ὡς ἡρμήνευσαν ὅ τε Α καὶ ὁ Ἰταλὸς μεταφραστής· ταὐτὸ μέντοι σημαίνει καὶ τὸ ἀπρόθετον. Σημείωσαι δὲ καὶ τὸ ἀντὶ τοῦ παρ' Εὐριπίδῃ (Φοινίσσ. 21) κατ' ἔλλειψιν τῆς ἀντωνυμίας ἐξενηνεγμένου,

Ὁ δ' ἡδονῇ δοὺς, εἴς τε βακχεῖον πεσὼν,

ἐντελῶς ἐνθάδε εἰρημένον, Εἰς μέθην ἑαυτὸν δεδωκώς· ὧν τούτῳ μόνῳ διαφέρει ἡ παρ' ἡμῖν συνήθεια, ὅτι οὔτε ἐνεργητικῶς, οὔτ' ἐλλιπῶς, ἀλλὰ κατὰ μέσην διάθεσιν ἐκφράζει τὰ τοιαῦτα, Ἐδόθη εἰς τὸν οἶνον, εἰς τὸ παιγνίδιον, εἰς τὰς ἡδονὰς, λέγουσα. — Στ. 12, Θαῒς ἡ Πτολεμαίου, τοῦ βασιλεύσαντος ὕστερον, ἑταίρα.] Ὁ Ἀθήναιος (ΙΓ, σελ. 576) γαμηθῆναί φησι Θαΐδα Πτολεμαίῳ τῷ πρώτῳ βασιλεύσαντι Αἰγύπτου, καὶ γεννῆσαι αὐτῷ τέκνα Λεοντίσκον, καὶ Λάγον, θυγατέρα δὲ Εἰρήνην, ἣν ἔγημεν Εὔνοστος, ὁ Σόλων τῶν ἐν Κύπρῳ βασιλεύς. Ἐπαινεῖται δὲ τῆς ἀνθρώπου τὸ περὶ τὰ σκώμματα εὔθικτον· πορευομένη γάρ ποτε πρὸς ἐραστὴν γράσωνα, τουτέστι τράγου δίκην κακὸν ὄζοντα τῶν μασχαλῶν, ὡς

φησιν ὁ κωμικὸς (Ἀχαρν. 852), ἐπεί τις αὐτὴν ἠρώτα ποῖ πορεύεται; εἶπεν·

Αἰγεῖ συνοικήσουσα τῷ Πανδίονος.

Λέγει μὲν γὰρ τοῦτο παρ' Εὐριπίδῃ (Μηδ. 1385) πρὸς Ἰάσονα, ἡ Μήδεια, Ἀθήναζε μέλλουσα πορεύεσθαι ἐπὶ τῷ συνοικῆσαι τῷ βασιλεῖ, ὃς ἐκαλεῖτο Αἰγεύς· ἡ δὲ Θαῒς παρεγραμμάτισε τὸ ῥηθὲν εἰς τὸ Αἰγὶ, παρὰ τὸ Αἲξ, εἰς τὸ κάκοσμον ἀποσκώπτουσα τοῦ ἐραστοῦ (Ἀθην. ΙΓ, σελ. 585).— Στ. 17, Περὶ τὴν Ἀσίαν.] Ἐκ ΔΓ προσέθηκα τὴν πρόθεσιν.— Στ. 20, Τοῦ βασιλέως.] Οὐκ ἔχω λέγειν διὰ τί, Τοιούτου βασιλέως, ἡρμήνευσεν ὁ Α, οὑτωσὶ παραφράσας, d'un tel prince comme Alexandre.— Στ. 21, Λόγος ἔχῃ.] Εἰς τὸ, Λόγον ἔχῃ, ἔτρεψαν οἱ ΠΡ· ἕτεροι δὲ εἰς τὸ, Λόγος ἥκῃ, τρέπειν παρῄνουν.

ΣΕΛΙΔ. 227, στ. 1, Οἱ μὲν οὕτω.] Γραπτέον, οἶμαι, Οἱ μὲν οὖν οὕτω. Ὁ νοῦς, Διὰ τὴν παρὰ τῆς Θαΐδος ἐνδοθεῖσαν ἀφορμὴν, καὶ ἀπροβουλεύτως. — Οἱ δ' ἀπὸ γνώμης.] Γνόντος καὶ προβεβουλευκότος Ἀλεξάνδρου. — Στ. 7, Ὀλίγων. Ἀρίστων, ὁ τῶν Παιόνων.] Ἐξ ΕΔ καὶ ΔΓ (ἢ συναινοῦσι καὶ οἱ μεταφρασταὶ) οἱ ΠΡ, ΑΤ, Ὀλίγων ἀρίστων. Ὁ τῶν Παιόνων. Τούτου ἴσως τοῦ Ἀρίστωνος ἔγγονος ἦν ὁ τοῦ Αὐτολέοντος Ἀρίστων, ὃν Λυσίμαχος πρὸς Παίονας ἐπὶ τὴν πατρῴαν βασιλείαν κατάγειν προσεποιεῖτο (Πολυαίν. Στρατηγημ. Δ, ιϛ', 3, σελ. 145).— Στ. 17, Κομίσας.] Εἰς τὸ, Κομίσεις, τρεπτέον εἶναί τις τῶν ΠΡ ὑπέλαβεν· οὐ κακῶς, εἰ καὶ τὸ Πρόσθες εἰς τὸ, Προσθεὶς, ἔτρεπε.— Στ. 22, Ἔβαλλε.] Ἐξ ΗΔ, ΑΤ, Ἔβαλε.— Εἰπόντος δέ.] Περιττὸς ὁ σύνδεσμος.— Στ. 24, Πρωτέᾳ.] Παρὰ τὴν Πρωτέας εὐθεῖαν, ὡς καὶ παρὰ τῷ Ἀθηναίῳ (Δ, σελ. 129). Αὕτη δὲ παρὰ τὴν Πρωτεὺς (Ἀθην. ϛ', σελ. 258), καθὰ καὶ παρὰ τὴν Δρομεὺς, ὁ κυριωνυμούμενος Δρομέας (Ἀθην. Δ, σελ. 132), καὶ Λυγκεὺς καὶ Λυγκέας, ἄμφω κύρια (Ἀθην. Δ, σελ. 128, Καὶ ΙΓ, σελ. 560), καὶ ὁ παρὰ μὲν τῷ Πολυαινῷ (Στρατηγημ. Δ, ϛ', 1, σελ. 128) Ἀμοιβεὺς, παρὰ δὲ τῷ Αἰλιανῷ (Ποικ. ἱστορ. Γ, 30) Ἀμοιβέας, ὁ κιθαρῳδὸς, καὶ ἄλλα τοιαῦτα, ἐφ' ὧν ἡ ὀνομαστικὴ ἑνικὴ εἰς τὸν τῆς αἰτιατικῆς πληθυντικῆς τύπον μετεπλάσθη, κατὰ τὸν παρακμάζοντα μάλιστα ἑλληνισμόν. Καὶ τότε μὲν πεφεισμένως, καὶ ἐπὶ κυρίων μόνον ὀνομάτων· νῦν δὲ καὶ Ὁ βασιλέας, καὶ Ὁ ἱερέας, καὶ ἄλλα οὐκ ὀλίγα ὁμοιόσχημα τέτριπται ἐν τῇ παρ' ἡμῖν συνηθείᾳ. Οὐ μόνον δὲ αἱ εἰς ευς ὀνομαστικαὶ ἔπαθον τοῦτο, ἀλλ' εἰσὶν αἳ καὶ τῶν εἰς ης, ὡς ὁ παρὰ Πλουτάρχῳ (Περὶ τῶν ὑπὸ τοῦ θ. βραδ. τιμω-

ρευμ. § 1, 2, καὶ 3) Πατροκλῆς, καὶ Πατροκλέας, κατὰ τὸ ἐν τῇ συνηθείᾳ, Ὁ Ἡρακλέας.— Στ. 29, Ἡλίκον εἶχεν ὄγκον.] Ἐξ ΗΔ, (συναδούσης τῷ Α), ΑΤ, ἑνικῶς γεγραμμένου, Ἡλίκον εἶχεν ὄγκον· οὐ γὰρ πρὸς τὸν Ἀλέξανδρον τὸ ῥῆμα, ἀλλὰ πρὸς τὸ Πλούτων.

ΣΕΛΙΔ. 228, στ. 1, Ἄλλως (φησὶν) εὖ ποίει τοὺς φίλους, καὶ ἐνδόξως ἄγε]. Ἐκ ΔΓ (συναδούσης τῷ Α καὶ τῷ Ἰταλῷ μεταφραστῇ), ΑΤ, Ἄλλως (φησὶν) οὐ ποίει τοὺς φίλους καὶ ἔνδοξος [ἐν ἀλλ. Ἐνδόξους] ἄγε. Καὶ εἰ μὲν ΠΡ οὕτω διωρθώκασι τὴν γραφὴν, Ἄλλως, φησὶν, εὖ ἐποίεις τοὺς φίλους, καὶ ἔνδοξος ἐγένου· ἀλλ' ἴσως τοιαύτη ἦν ἡ γνησία, ἄλλοτε (φησὶν) εὖ ἐποίεις τοὺς φίλους, καὶ ἐνδόξως ἦγες.— Στ. 12, Τὸν περὶ Σοῦσα, ἐν ᾧ λέγεται.] Ἐξ ΕΔ, ΑΤ, Ἐν ᾧ λέγεται, τῶν περὶ Σούσων (ΔΓ. Σοῦσα). Ὁ νοῦς, Τὸν οἶκον τοῦ Βαγώου τὸν ὄντα περὶ τὰ Σοῦσα· εἰκὸς γὰρ τὸν Βαγώαν, μέγα δυνάμενον παρὰ τῷ Δαρείῳ, πολλοὺς οἴκους κεκτῆσθαι.— Στ. 17, πλὴν ἅπαξ ποτὲ κ. τ. λ.] Πρὸς τὸ ἀνωτέρω, Οὐκ εἴα δὲ πολυπραγμονεῖν· τουτέστιν, Οὐκ ἐσυγχώρει τῇ μητρὶ, ἀλλ' ἐπέπληττεν, ὁσάκις Ἀντίπατρος ἔγραφεν αὐτῷ κατ' αὐτῆς· πλὴν ἅπαξ ποτὲ ἀνεπιτίμητον εἴασεν, ἀλογήσας τῆς μακρᾶς ἐπιστολῆς Ἀντιπάτρου.— Στ. 22, Ἄγνωνα.] Μνημονεύει τούτου καὶ Ἀθήναιος (ΙΒ, σελ. 539) καὶ Αἰλιανὸς (Ποικ. ἱστορ. Θ, 3).— Ἀργυροῦς ἐν ταῖς κρηπῖσιν ἥλους φορεῖν.] Οἱ γὰρ ἀγροικότεροι σιδηροῦς ἐφόρουν· καὶ τούτους αἰνίττεται Θεόφραστος ἐν τῷ Περὶ ἀγροικίας (Χαρακτ. Δ), λέγων, « Καὶ εἰς τὰ ὑποδήματα δὲ ἥλους ἐγκροῦσαι ». Οἱ δὲ κομψότεροι, ἢ μᾶλλον ἀσωτότεροι ἀργυροῦς ἐνέκρουον· καὶ προήχθη ἐπὶ τοσοῦτον ἡ περὶ ταῦτα σπουδὴ, ὡς καὶ τῶν ἀργυρῶν εὐτέλειαν καταγνῶναι. Ἐπὶ γὰρ τῶν Ἀλεξάνδρου διαδόχων, πολλοὶ τῶν ὑπ' ἐκείνοις στρατευομένων χρυσοῦς ἐνέκρουον ἥλους ταῖς κρηπῖσι, ὡς ἱστόρηκεν Οὐαλέριος Μάξιμος (Θ, ά, 13) περὶ Ἀντιόχου τοῦ βασιλέως Συρίας. Cujus caecam et amentem luxuriam exercitus imitatus, magna ex parte aureos clavos crepidis subjectos habuit.— Στ. 23, Λεοννάτῳ.] Περδίκκᾳ καὶ Κρατερῷ, φασὶν Ἀθήναιος καὶ Αἰλιανός.— Στ. 24, Φιλώτᾳ.] Λεοννάτῳ, καὶ Μενελάῳ, παρὰ τῷ Ἀθηναίῳ καὶ παρὰ τῷ Αἰλιανῷ.— Στ. 25, Μύρῳ δὲ χρωμένους ἰέναι πρὸς ἄλειμμα καὶ λουτρὸν, ὅσους οὐδ' ἐλαίῳ.] Οὐκ ἔῤῥωται τὸ χωρίον. Καὶ οἱ μὲν μεταφρασταὶ τοιοῦτον αὐτοῦ τὸν νοῦν ὑπέλαβον εἶναι, Πλείους γεγονέναι τοὺς χρωμένους μύρῳ τῶν χρωμένων ἐλαίῳ· τῶν ὑπομνηματιστῶν δὲ, οἱ μὲν,

τὸν αὐτὸν τηρήσαντες νοῦν, τὸ Ἰέναι ἢ εἰς τὸ Εἶναι τρέπειν, ἢ περιγράφειν ὅλως παρήνεσαν, οἱ δὲ, πιθανώτερον ἐξηγούμενοι, μετὰ τὸ Ἐλαίῳ προσθετέον εἶναι τὸ Πρότου, ἢ τὸ Πρότερον, ᾠήθησαν, ἵν' ᾖ ὁ νοῦς, Μύρῳ χρωμένους, οἷς οὐδ' ἔλαιον ἀλείφεσθαι πρότερον ἦν. Ἴσως οὕτως γραπτέον, «Μύρῳ δὲ ΧΡΙΟΜΕΝΟΥΣ ἰέναι πρὸς ἄλειμμα » καὶ λουτρὸν, ΟΙΣ οὐδ' ἐλαίῳ ΠΡΟΤΕΡΟΝ»· ὡ τὸ ἑξῆς, Ἰέναι πρὸς ἄλειμμα καὶ λουτρὸν χριομένους μύρῳ, οἷς κ. τ. λ.— Στ. 26, Τρίπτας δέ.] Ἴσ. γρ. Τρίπτας τε. Εἰσὶ δὲ οἱ τοὺς λουομένους τρίβοντες, καὶ τοὺς ῥύπους ἀποξέοντες τῶν σωμάτων. Ἔσωσε τὴν λέξιν καὶ ἡ συνήθεια, τούτῳ μόνῳ διαφέρουσα, ὅτι Τρίπτης (χυδ. Τρίφτης) παρ' ἡμῖν οὐ μόνον ὁ τρίβων, ἀλλὰ καὶ τὸ ᾧ τρίβει ὄργανον, ἐφ' ἧς σημασίας οὔπω κατεχώρισται ἐν τοῖς Λεξικοῖς. Ἔστι δὲ τοῦτο ὡς ἐπὶ τὸ πολὺ ἐρεοῦν ἢ τρίχινον σακκίον, ᾧ περιβάλλων τὴν χεῖρα τρίβει τὸν λουόμενον. — Στ. 29, Τῶν καταπονηθέντων οἱ καταπονήσαντες ἥδιον καθεύδουσιν.] ΔΓ, Τῶν καταπονουμένων κ. τ. λ. Ὁ νοῦς, Τῶν ἡττηθέντων οἱ νικήσαντες ἥδιον καθεύδουσιν· ἐφ' ἧς σημασίας ἐχρήσατο καὶ ὁ Σικελιώτης Διόδωρος (ΙΓ, 51) «Οἱ μετὰ τοῦ Θρασυβούλου καταπεπονημένοι» Χρώμεθα δὲ καὶ μέχρι δεῦρο ἐν τῇ συνηθείᾳ τῷ Καταπονῶ· ἐπὶ τῶν παλαιόντων ὅμως ὡς ἐπὶ τὸ πολὺ, οὐκ ἐπὶ τῶν ἐκ παρατάξεως μαχομένων. Ἔστι δὲ παρ' ἡμῖν καὶ ἡ μήπω καταχωρισθεῖσα ἐν τοῖς Λεξικοῖς τροπικὴ τοῦ Καταπονῶ καὶ Καταπονοῦμαι χρῆσις, ἐπὶ τῆς ἐν ταῖς διαλέξεσι νίκης, ἢ ἥττης θατέρου τῶν διαλεγομένων. Ἐν δὲ τῷ τριγλώσσῳ Λεξικῷ καὶ αὐτὴ ἡ ἐπὶ τοῦ νικᾷν τῆς λέξεως ἐκδοχὴ παρημελήθη.

ΣΕΛΙΔ. 229, στ. 4, Ἀπειθικῶς τοῦ φιλτάτου σώματος ἅπτεσθαι τὰς χεῖρας.] Μεταβατικῶς τὸ Ἀπειθικῶς πρὸς τὸ Χεῖρας. Παρ' ἡμῖν δὲ τὸ συνώνυμον καὶ συγγενὲς Ἐκσυνειθίζω (χυδ. Ξεσυνειθίζω), καὶ τὸ μηδὲν ἧττον χρηστὸν, ἀγνοούμενον δ' ἔτι τοῖς Λεξικογράφοις, Ἀποσυνειθίζω, καὶ μεταβατικῶς ἐπὶ τοῦ, Παύω ἕτερον ἔθους, καὶ ἀμεταβάτως ἐπὶ τοῦ, Παύομαι αὐτὸς ἔθους.— Στ. 5, Τοῦ κρατεῖν πέρας ἡμῖν ἐστι κ. τ. λ.] Ἐπὶ τοῦ Κεφάλαιον, ἢ Κορωνὶς, ἐνθάδε τὸ Πέρας, ὡς ἄριστα ἡρμήνευσεν ὁ Α, le comble de nostre victoire. Οὕτως καὶ ἐν τοῖς ἑξῆς (§ 43, σελ. 231) λέγοντα παράξει Δαρεῖον, «Τοῦτό μοι πέρας γέγονε δυστυχίας ἁπάσης ». —Στ. 9, Καλῶς.. πρὸς τὸν λέοντα ἠγώνισαι περὶ τῆς βασιλείας.] Ἀστεῖον καὶ ὄντως Λακωνικὸν τὸ ἀπόφθεγμα. Ἔστι γὰρ ὁ νοῦς, Καταπονήσας τὸν λέοντα ἔδειξας ἀξιώτερος εἶναι βασιλεύειν ἐν ἀνθρώποις, ἤπερ ἐκεῖνος ἐν τοῖς

θηρίοις.— Στ. 10, Κυνήγιον.] Ἀπαραλλάκτως ὡς καὶ ἡ συνήθεια.— Στ. 12, Τῷ λέοντι συνεστῶτος.] Τῷ λέοντι μαχομένου.— Στ. 14, Λεωχάρης.] Ὁ καὶ τὴν Ἰσοκράτους εἰκόνα κατασκευάσας (ἴδ. Ἰσοκράτ. Μέρ. Β, σελ. ϛ').— Στ. 21, Τὰ μὲν μικρότατα κ. τ. λ.] Ἀπόδοσιν τοῦ, Μὲν, τούτου, τῶν ΠΡ τις ὑπέλαβεν εἶναι τὸν ἐν ἀρχῇ τοῦ ἐχομένου κεφαλαίου (§ 42, σελ. 230). Δέ· ἡμῖν δὲ μᾶλλον ἀρέσκει διαγράφειν αὐτόν.— Στ. 23, Ἔγραψε] ΔΓ, Ἔπεμψε· ἣν μεταμέλει μοι μὴ προελομένῳ τῆς ἐκδεδομένης παρ' ἅπασι. Πολὺ γὰρ τὸ Πέμπω οὐδετέρως, ἢ μᾶλλον ἐλλειπτικῶς τοῦ Ἀγγελον, ἢ Ἐπιστολὴν, παρὰ τοῖς δοκίμοις, ὧν τὰ παραδείγματα συναγήοχεν ὁ Στέφανος ἐν τῷ Θησαυρῷ.— Στ. 25, Γράψον θ' ὅπως.] Ἐξ ΗΔ, ΑΤ, Γράψον τὸ πῶς [ΔΓ. Γράψοντε πῶς]. Τῶν δὲ ΠΡ τις παρήνει γράφειν, Γράψον, ὅπως τ'.— Στ. 28, Παιζόντων αὐτῶν.] Τῶν περὶ Ἀλέξανδρον.— Ἰχνεύμονα.] Ἐν Αἰγύπτῳ μάλιστα ἐπιπολάζει ὁ Ἰχνεύμων, ζῶον προσόμοιον τῇ Ἰκτίδι (ἴδ. Πλουτάρχ. Μέρ. Γ, Ἀκολ. αὐτοσχ. στοχ. σελ. λθ'. μυσὶ καὶ κροκοδείλοις πολέμιον. Mangouste ὀνομάζει τὸν Ἰχνεύμονα ὁ Γάλλος φυσιολόγος Βυφῶν· τὸ δ' ἑλληνικὸν ὄνομα, παρὰ τὸ Ἰχνεύειν, καθὰ καὶ ἡ προσόμοιος αὐτῷ Ἰκτὶς, Furo τοῖς Ῥωμαίοις καὶ Furet τοῖς Γάλλοις ὠνόμασται ἀπὸ τοῦ Ἑλληνικοῦ φώρ, παρ' ὃ τὸ Φωρᾷν (Γαλλ. Fureter) συνώνυμον τῷ Ἰχνεύειν. « Ἰχνεύει, ἐρευνᾷ, ζητεῖ », φησὶν Ἡσύχιος, καὶ « Ἰχνευταί, οἱ νῦν Ἰχνεύμονες λεγόμενοι » καὶ πάλιν « Φωρᾷν, τὸ τὰ κλέψιμαῖα ζητεῖν· καὶ Φωριᾷν· Φώραν δὲ τὴν ἔρευναν. Φωράσαντες, εὑρόντες τὰ » ΚΑΛΑ » ὅπου γραπτέον... εὑρόντες τὰ ΚΛΑΠΕΝΤΑ.

ΣΕΛΙΔ. 230, στ. 5, Ὅπως χρήσεται.] Ἐξ ΗΔ (συναδούσης τοῖς μεταφρασταῖ), ΑΤ, Ὅπως χρήσηται. Ἔστι γὰρ οὐχ, Ἵνα χρήσηται, ἀλλὰ, Τίνι τρόπῳ χρήσεται.— Στ. 9, Εὐρύλοχος] Ἀντιγένην ἀλλαχοῦ (Περὶ τῆς Ἀλεξ. τύχ. ἢ ἀρετ. Β, § 7) τοῦτον ὀνομάζει Πλούταρχος.— Αἰγαῖος.] ΔΓ, Ἐγχαῖος. Καὶ τὸ μὲν Αἰγαῖος εἴη ἂν ἀπὸ Αἰγῶν τῶν ἐν Μακεδονίᾳ, ἐν αἷς καὶ Φίλιππος ὁ πατὴρ Ἀλεξάνδρου ὑπὸ Παυσανίου δολοφονηθεὶς ἀπέθανε (Ἰωσήπ. Ἰούδ. Ἀρχαιολογ. ΙΑ, 8). Τὸ δὲ Ἐγχαῖος οὐδὲν ὅλως σημαίνει· ὑπονοεῖν ὅμως παρέχει μήποτε ἐγέγραπτο, Ἐχιναῖος, ἀπὸ Ἐχίνου, πόλεως Ἀκαρνανίας, ἢ ἀπὸ τῶν πλησίον Ἐχινῶν, τῶν συνηθέστερον Ἐχινάδων νήσων καλουμένων.— Στ. 10, Φωραθείς.] Ἐλεγχθείς. « Φωράσας, ἐλέγξας » φησὶν Ἡσύχιος, καὶ, « Φωρᾶσθαι (γρ. Φωράσεσθαι), ἐλεγχθήσεσθαι ».— Στ. 14, Ἢ δώροις, ἢ λόγοις.]

ΔΓ, ἢ λόγοις, ἢ ἔργοις.—Στ. 15, Ἐλευθέρων.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἐλευθέρας.—Στ. 16, Ἐπιστέλλων.] ΠΡΔ (ἴσ. οὐκ ἀναγκαία), ΑΤ, Ἐπιστολῶν.—Στ. 26, Διαβολαί, διὰ τῶν ἀληθῶν πάροδον καὶ πίστιν ἐπὶ τὰ ψευδῆ λαβοῦσαι.] Ἐξ ΗΔ καὶ τὸ Πάροδον, καὶ ὁ τούτῳ προσαφθεὶς σύνδεσμος, ΑΤ, Διαβολαί, διὰ τῶν ἀληθῶν παρόδων πίστιν κ. τ. λ. Οἱ ΠΡ παρῄνουν διαγράφειν θάτερον τῶν δύο ὀνομάτων, γράφοντας, Διαβολαί, διὰ τῶν ἀληθῶν πάροδον ἐπί, ἤ, Διαβολαὶ διὰ τῶν ἀληθῶν πίστιν ἐπί. Πιστοῦται δὲ τὴν διόρθωσιν παράλληλον ἕτερον χωρίον (Περὶ παιδ. ἀγωγ. § 18) Πλουτάρχου, « Ἰατροὶ » τὰ πικρὰ τῶν φαρμάκων τοῖς γλυκέσι χυμοῖς καταμιγνύντες, τὴν τέρ» ψιν ἐπὶ τὸ συμφέρον πάροδον εὗρον ».

ΣΕΛΙΔ. 231, στ. 2, Ἐπιμετρήσας ταῖς μισθοφοραῖς.] Παρὰ τὰς ὀφειλομένας μισθοφορὰς ἐπιχορηγήσας· ὅθεν καὶ Ἐπίμετρον, τὸ παρὰ τὸ συμπεφωνημένον ἐκ περιουσίας προστιθέμενον τοῖς πεπρασκομένοις ἐν τῇ μετρήσει, ὃ καὶ Ἐπιμετρὶς ἐκαλεῖτο. Καὶ διορθούσθω κατὰ πάρεργον Ἡσύχιος· « Ἐπιμετρίδα, τὸ ἐπίμετρον, ὃ προσάπτεται τῷ ΧΙΤΩΝΙ ». Δῆλον γάρ, οἶμαι, ὅτι γραπτέον ΧΟΙΝΙΚΙ· μέτρου γὰρ εἶδος ὁ Χοῖνιξ, παρ' ὃ καὶ ὁ Παρακρουσιχοίνικος ἐν τῇ κωμῳδίᾳ, ὁ ἐκ τοῦ ἐναντίου μηδ' αὐτὸ τὸ ἐντελὲς ἀποδιδοὺς μέτρον, ἀλλὰ παραλογιζόμενος ἐν τῇ μετρήσει τοῦ χοίνικος (Ἴδ. Ἡσύχ. καὶ Φώτ. λεξ. Παρακρουσιχοίνικος).—Στ. 3, Γενομένην.] Οὐκ οἶδα τί παθόντες οἱ ΠΡ ἔγραψαν οὕτως, ΑΤ, Γινομένην. Εἴασα τὴν γραφήν, διὰ τὸ ἀδιάφορον, ἐνθάδε γοῦν, τῆς χρονικῆς σημασίας.—Στ. 5, Κατὰ τὴν ἄνυδρον.] Οὕτως ἔγραψα (ἐκ τοῦ Πολυαίνου Δ, γ', 25, σελ. 121) ΑΤ, Κατὰ τὴν ἀνυδρίαν.—Στ. 11, Κἂν ἐκείνους ἀπολέσωμεν.] Τρεπτέον τόν, Κἂν, εἰς τὸν Ἂν. —Στ. 14, Ἀπέδωκεν,] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἐπέδωκεν.—Στ. 29, Τοῦτό μοι πέρας γέγονε δυστυχίας ἁπάσης.] Ἔπιθι τὰ ἀνωτέρω (σελ. 437) σημειωθέντα.

ΣΕΛΙΔ. 232, στ. 12, Ἐξάθρην.] Ὀξάθρην τοῦτον ὑπὸ Διοδώρου τοῦ Σικελιώτου, καὶ τοῦ Κοΐντου Κυρτίου, Ὀξυάρτην δὲ ὑπὸ τοῦ Ἀρριανοῦ ὀνομάζεσθαι ἐσημειώσαντο οἱ ΠΡ.—Στ. 18, Πολλοῖς ἔτεσιν ἔμπροσθεν τῆς Ἀλεξάνδρου στρατείας ἱστορήκασιν, ὅτι τεσσάρων κόλπων κ. τ. λ.] Ἀλλ' Ἀλέξανδρον, καὶ σὲ δὲ προσέτι, Πλούταρχε, Ἀριστοτέλει μᾶλλον ἔδει πεισθῆναι (Μετεωρολογ. Β, Ι), καὶ Ἡροδότῳ (Α, 202 καὶ 203), τὴν Κασπίαν θάλασσαν ἐφ' ἑαυτῆς εἶναι, μηδ' ἐπικοινωνεῖν τῇ ἔξω θαλάσσῃ, διαῤῥήδην ἀπο-

φηναμένοις. Τίνες δὲ καὶ εἰσὶν οἱ πολλοῖς ἔτεσιν ἔμπροσθεν Ἀλεξάνδρου ἱστορηκότες τὴν Κασπίαν θάλασσαν συνάπτειν τῇ ἔξω θαλάσσῃ; καὶ πῶς ἔλαθε τοῦτο τὸν Ἀλεξάνδρου διδάσκαλον Ἀριστοτέλη; Ἀλλὰ ταῦτα μὲν ἐπὶ τοῦ παρόντος ἐάσθω, ἄλλως τε καὶ ἐξὸν τῷ βουλομένῳ πληρεστέραν τὴν περὶ αὐτῶν ἀναλέξασθαι γνῶσιν ἐκ τῶν νεωτέρων γεωγράφων, οἷός ἐστιν ὁ Γάλλος Δαμβίλλης, ὁ περὶ τῆς Ἡροδότου γεωγραφίας ἰδίᾳ πραγματευσάμενος Ἄγγλος Ῥεννέλλος (The Geographical System of Herodotus, etc., σελ. 193), ὁ τὴν Ἑλλήνων τε καὶ Ῥωμαίων γεωγραφίαν διὰ μακρῶν ἐξηγησάμενος Γερμανὸς Μάννερτος (Geographie der Griechen und Roemer, Τόμ. Δ, σελ. 336-346), καὶ ἄλλοι· μεταβῶμεν δὲ ἐπὶ τὰ ἑξῆς.

ΣΕΛΙΔ. 233, στ. 5, Παντάπασι βαρβαρικήν.] Οὕτως ὁ Α, καὶ ὁ Λατῖνος μεταφραστής, τὸ Παντάπασι πρὸς τὸ Βαρβαρικήν· ὁ δ' Ἰταλὸς πρὸς τὸ Προσήκατο.—Στ. 6, Ἀναξυρίδας.] Ἐν τοῖς εἰς τὸ τέταρτον βιβλίον τοῦ Στράβωνος Γαλλιστὶ γεγραμμένοις ὑπομνήμασι (Strabon vol. II, pag. 62-63) ἐξήλεγκταί μοι διὰ μακρῶν ἡ τῶν γραμματικῶν πλάνη, ἑλληνικῶς τὸ Ἀναξυρὶς ἐτυμολογεῖν ἐπιβαλομένων παρὰ τὸ, Ἀνασύρω, κατὰ τροπὴν, ὡς αὐτοῖς ἀρέσκει, τοῦ ξ εἰς τὸ σ. Ἔοικε γὰρ ἡ Ἀναξυρὶς, καθὰ καὶ τὸ συνώνυμον Σαράβαρα, Ἀσιανῆς διαλέκτου ὄνομα εἶναι, ὅπερ εἰκὸς τηρῆσαι τοὺς Ἕλληνας, καθὰ καὶ ἕτερα οὐκ ὀλίγα σημαντικὰ πραγμάτων ἀγνοουμένων τέως αὐτοῖς, οἷά εἰσιν ἡ Κάμηλος, ὁ Ἐλέφας, ὁ Ψιττακὸς, ὁ Παράδεισος, ὁ Παρασάγγης, τὰ Πιστάκια ἢ Φιστάκια, καὶ ἄλλα (ἰδ. ἀνωτέρ. σελ. 417 καὶ 431). « Ἀναξυρίδες, φημινάλια [ἐκ τοῦ Ῥωμ. feminalia], βρακία βαρβαρικὰ, ἐνδύματα ποδῶν, ὑποδήματα βαθέα, ἢ βασιλικὰ » φησὶν Ἡσύχιος. Καὶ αὖθις ὁ αὐτὸς, « Σαράβαρα, τὰ περὶ τὰς κνημίδας ἐνδύματα »· καὶ πάλιν, « Σκελεαὶ, τὰ τῶν σκελῶν σκεπάσματα. Πάρθοι, Σαράβαρα ». Ἐξ ὧν δῆλον, ὅτι τὰ Σαράβαρα (ἢ ὡς ἑτέροις ἔδοξε, Σαράβαλλα) ξενικόν ἐστιν ὄνομα, ὡς καὶ ἡ Ἀναξυρὶς, καὶ τῇ Ἀναξυρίδι συνώνυμον, ἢ γοῦν εἶδος ἐκείνης. Εἰ τοίνυν οὐδεὶς πω τῶν γραμματικῶν ἐνεθάῤῥησε τὰ Σαράβαρα ἑλληνικὸν ἀποφήνασθαι ὄνομα, καί περ κατατεταγμένον παρὰ τοῖς Ἑβδομήκοντα, οὐδὲ τὴν Ἀναξυρίδα χρὴ τῶν Ἀσιανῶν ἀφαιρούμενον δωρεῖσθαι τοῖς Ἕλλησιν, οἷς ἄμεινον ἦν ἴσως μήτε τοὔνομα, μήτε τὸ πρᾶγμα μαθεῖν τὴν ἀρχήν. Ἐν γὰρ τῷ Προφήτῃ Δανιὴλ (γ', 21) οἱ μὲν Ἑβδομήκοντα, τὰ κατὰ τοὺς τρεῖς παῖδας ἱστοροῦντες, φασὶν, « Ἐπεδήθησαν σὺν τοῖς σαραβάροις αὐτῶν », ὁ δὲ Σύμμαχος, Σὺν ταῖς ἀναξυρίσιν εἶπε,

τὴν αὐτὴν Χαλδαϊκὴν ἑρμηνεύων λέξιν. Πιστοῦται δὲ τὸ λεγόμενον, καὶ ἡ νῦν τῶν Τούρκων φωνὴ καὶ ἡ χρησαμένη παρ' ἐκείνης ἀμφοτέρας τὰς λέξεις ἡμετέρα, τὴν μὲν Ἀναξυρίδα Τσαξὺρ (τὸ παρ' ἡμῖν Σαξύριον ἢ Τσαξύριον) ὀνομάζουσα, τὰ δὲ Σαράβαρα, Σαλβὰρ (τὸ παρ' ἡμῖν Σαλβάριον), καθάπερ καὶ τὴν γυναικείαν ἀναξυρίδα, Τσιντιὰν ἐκεῖνοι, ἡμεῖς δὲ Τσιντιόνιον. Ἐξεληλάσθω τοίνυν τῶν Λεξικῶν ἡ γελοία τῆς ἀναξυρίδος ἐτυμολογία.— Κάνδυν.] Ξενικὴ λέξις καὶ αὐτή. « Κάνδυς, » χιτὼν Περσικός, ὃν ἐμπορποῦνται οἱ στρατιῶται », φησὶν Ἡσύχιος.— Στ. 7, Τιάραν.] Ξενικὸν ὄνομα καὶ τοῦτο, ἡ Τιάρα, τῶν μὲν ἀπὸ τῆς Περσῶν, τῶν δ' ἀπὸ τῆς Ἀράβων φωνῆς παραγόντων. Παρ' Ἡροδότῳ δὲ (Α, 132) ἀρσενικῶς, Ὁ τιάρας.— Ἐν μέσῳ τινὰ τῆς Περσικῆς καὶ τῆς Μηδικῆς.] Ἀρέσκει με ἡ ἐξήγησις, καὶ διόρθωσις, ἣν ὁ τὸν Ἀλεξάνδρου καὶ τὸν Καίσαρος βίον ἐκδοὺς ὀλίγοις ἔτεσι πρόσθεν, Σχεμιδῆρος (Schmieder) προβάλλει, φάσκων, τὸ μὲν Περσικῆς ὡς συνώνυμον τοῦ Μηδικῆς ἐκληπτέον, αὐτὸ δὲ τοῦτο τὸ Μηδικῆς εἰς τὸ Μακεδονικῆς τρεπτέον εἶναι. Πιστοῦται δὲ τὴν καὶ διόρθωσιν ἑτέρῳ Πλουτάρχου (Περὶ τῆς Ἀλεξ. τύχ. ἢ ἀρετ. Α, § 8) χωρίῳ τῷδε, « Ἐκ » τοῦ Μακεδονικοῦ καὶ Περσικοῦ τρόπου μεμιγμένην τινὰ στολὴν ἐφόρει ».—Στ. 8, Ἐκείνης.] Τῆς Περσικῆς.— Ταύτης.] Τῆς Μακεδονικῆς.— Στ. 13, Ἐπιχωρεῖν.] Πολύβιος (Δ, 17, § 8,) ἐχρήσατο πρῶτος τῇ λέξει ἐπὶ τοῦ, Συγχωρεῖν.— Στ. 14, Πρὸς ἅπασι τοῖς ἄλλοις.] Ὁ μικρὸν ἀνωτέρω μνημονευθεὶς Σχεμιδῆρος, ταῖς τέσσαρσι ταύταις λέξεσι ἀνθυποβάλλειν οἴεται δεῖν τὰς δύο ταύτας, Πρὸς Μαρακάνδοις, ἐκ παραλλήλων ἑτέρων Πλουτάρχου δύο χωρίων (Περὶ τῆς Ἀλεξ. τύχ. ἢ ἀρετ. Α, § 2, καὶ Β, § 9) πιστούμενος τὴν ὑπόνοιαν. Ἡμῖν δὲ τέως ἐπέχειν ἐφείσθω.—Στ. 19, Ὀρεξάρτην.] Τοῦτον Ἀῤῥιανὸς (Γ, 30 et Ζ, 16) ὁτὲ μέν, Ὀρξάντην, ὁτὲ δὲ Ὀξυάρτην, ὀνομάζει τὸν ποταμόν· ἕτεροι δὲ (Στράβ. ΙΑ, σελ. 507) Ἰαξάρτην καλοῦσιν. Εἴη δ' ἂν τὸ ἀληθὲς ὄνομα Ἰξάρτης παρὰ τὸ Ἰκ-Σάρτε, ὅ φασι τῇ τῶν Μογόλων φωνῇ, Μέγαν ποταμόν, σημαίνειν.— Στ. 20, Ἐπὶ σταδίους ἑκατόν.] Ἀλλαχοῦ δὲ (Περὶ τῆς Ἀλεξ. τύχ. ἢ ἀρετ. Β, § 9), Πεντήκοντα καὶ ἑκατόν, εἴρηκε.—Στ. 23, Κλείταρχος.] Εἷς τῶν ἱστορησάντων τὰ κατ' Ἀλέξανδρον, συγγραφεὺς ἀδόκιμος, περὶ οὗ ταυτά φησιν ὁ κριτικὸς Λογγῖνος (Γ, § 2), « Φλοιώδης γὰρ ὁ ἀνήρ, καὶ φυσῶν κατὰ τὸν » Σοφοκλέα,

» Σμικροῖς μὲν αὐλίσκοισι, φορβειᾶς δ' ἄτερ »,

— Πολύκριτος.] Οὗ μνημονεύει καὶ Πλίνιος καὶ ἄλλοι. Ἐνδέχεται μέντοι καὶ γραφικῶς ἡμαρτῆσθαι τὸ Πολύκριτος ὧδε, ἀντὶ τοῦ Πολύκλειτος, οὗ καὶ Στράβων καὶ Ἀθήναιος μνημονεύουσιν, ὡς ἱστορηκότος τὰ κατ' Ἀλέξανδρον.— Στ. 24, Ὀνησίκριτος.] Ὁ Ἀλεξάνδρου ναύαρχος, περὶ οὗ φησι Στράβων (ΙΕ, σελ. 698), ὡς, «Οὐκ Ἀλεξάνδρου μᾶλλον ἢ τῶν παραδόξων ἀρχικυ» βερνήτην προσείποι τις ἄν. Πάντες μὲν γὰρ οἱ περὶ Ἀλέξανδρον τὸ θαυμα» στὸν ἀντὶ τἀληθοῦς ἀποδέχονται μᾶλλον· ὑπερβάλλεσθαι (ἴσ. ὑπερβαλέσθαι) » δὲ δοκεῖ τοὺς τοσούτους ἐκεῖνος τῇ τερατολογίᾳ ».— Ἀντιγένης.] Ὁ αὐτὸς Ἀντιγένει τῷ ἑτεροφθάλμῳ, οὗ μνημονεύσει ἐν τοῖς ἑξῆς (§ 70, σελ. 257).— Ἴστρος.] Οὐκ ἔχω λέγειν εἰ ὁ Καλλιμάχου δοῦλος καὶ μαθητής ἐστιν οὗτος, περὶ οὗ ἔπιθι τὸν Σουΐδαν (λέξ. Ἴστρος) καὶ τὸν Οὐόσσιον (Περὶ τῶν Ἑλλην. Ἱστορικ. Δ, 12).— Ἀριστόβουλος.] Ὧ κατηκολούθησεν ἐν πολλοῖς ὁ Ἀρριανός.— Στ. 25, Χάρης ὁ εἰσαγγελεύς.] ΔΓ, Θεαγγελεύς· ἣν οὐκ ὀρθῶς ποιοῦντες προείλοντό τινες, ἐν οἷς ἐστι καὶ ὁ Ἰταλὸς μεταφραστής. Μιτυληναῖος γὰρ ἦν ὁ Χάρης, ὡς αὐτὸς ἐν τοῖς ἑξῆς (§ 54, σελ. 242) ἐρεῖ Πλούταρχος· τὸ δὲ τοῦ Εἰσαγγελέως ὄνομα καὶ ἔργον ἐξήγηται ἀλλαχοῦ (Ἡλιοδώρ. Β. σελ. 348).— Πτολεμαῖος.] Ὁ Λάγου, ὁ βασιλεύσας ὕστερον Αἰγύπτου.— Ἀντικλείδης.] Ὁ Ἀθηναῖος ἴσως, οὗ μνημονεύει Πλίνιος καὶ Ἀθήναιος, καὶ αὐτὸς ὁ Πλούταρχος ἐν τῷ Νικίου βίῳ (§ 23, Μερ. Γ, σελ. 289).— Στ. 26, Φίλων ὁ Θηβαῖος.] Ἴσως ὁ τὰ Αἰθιοπικὰ συγγράψας, οὗ μνημονεύει καὶ Στράβων (ἴδ. Οὐόσσιον Περὶ Ἑλλην. Ἱστορικ. Γ, 30, σελ. 402).— Φίλιππος ὁ Θεαγγελεύς.] Ἐξ ΕΔ. ΑΤ, Φίλιππος ὁ εἰσαγγελεύς. Ἦν γὰρ οὗτος ἐκ Θεαγγέλων, Καρικῆς πόλεως, ἱστορίας συγγραφεὺς ἐπιγραφομένης Καρικά, ὥς φησι Στράβων (ΙΔ, σελ. 662),— Στ. 27. Ἑκαταῖος ὁ Ἐρετριεύς.] Δύο οἶδεν Ἑκαταίους ἐν τοῖς μάλιστα ἐπισήμους συγγραφεῦσι ἡ ἱστορία, τὸν Μιλήσιον, οὗ καὶ Ἡρόδοτος μνημονεύει, καὶ τὸν Ἀλεξάνδρῳ συνακμάσαντα Ἑκαταῖον τὸν Ἀβδηρίτην, τὸν τὰ Αἰγυπτιακά, καὶ τὰ Ἰουδαϊκὰ συνταξάμενον (ἴδ. Οὐόσσιον Περὶ Ἑλλην. Ἱστορικ. Α, 10, σελ. 52). Ἢ τοίνυν ἡμάρτηται τοῦ χωρίου ἡ γραφή, ὡς ἔδοξέ τισι (ἴδ. Creuzer, Historicor. Graecor. Antiq. fragment. (σελ. 85) ἢ καὶ τρίτον τοῦτον τὸν Ἐρετριέα Ἑκαταῖον συγκαταλεκτέον τοῖς προειρημένοις, καὶ τὸν αὐτὸν ὑποληπτέον εἶναι τῷ παρὰ τῷ Ἀθηναίῳ (Β, σελ. 70 Τομ. Β, σελ. 270, μετὰ τῶν σημειώσ. καὶ Τομ. Α, σελ. 468) Ἑκαταίῳ Νησιώτῃ ἐπικαλουμένῳ, ὡς ἕτεροι βούλονται.— Φίλιππος ὁ Χαλκιδεύς.] Παρὰ τὸν Πλούταρχον οὐδεὶς ἕτερος μνημονεύει τούτου.—

Στ. 28, Δοῦρις ὁ Σάμιος.] Ὃν Θεοφράστου γεγονέναι μαθητὴν (ὥσπερ καὶ τὸν ἀδελφὸν αὐτοῦ Λυγκέα) ἀπεδείξαμεν ἀλλαχοῦ (Θεοφράστ. χαρακτηρ. Γαλλ. μετάφρ. Προλεγομέν. σελ. IV) διορθώσαντες τὴν ἡμαρτημένην Ἀθηναίου γραφήν· ἣν διόρθωσιν ἀπεδείξατο καὶ ὁ τελευταῖος ἐκδότης τοῦ Ἀθηναίου (Σημειώσ. εἰς τὸν Ἀθήν. Τόμ. Β, σελ. 387).

ΣΕΛΙΔ. 234, στ. 8, Τὸ μὲν ἄλλο πλῆθος εἴασε κατὰ χώραν· τοὺς δ' ἈΡΊΣΤΟΥΣ ἜΧΩΝ ἘΝ ὙΡΚΑΝΊᾼ μεθ' ἑαυτοῦ, δισμυρίους πεζοὺς καὶ τρισχιλίους ἱππεῖς, ΠΡΟΣΈΒΑΛΕ, λέγων κ. τ. λ.] ΔΓ... προσέλαβε (ἄλλ. ἔλαβε) λέγων. Οὐκ ἐῤῥῶσθαι τὸ προκείμενον χωρίον ὑπειλήφασιν οἱ ΠΡ, καὶ θεραπεῦσαι ἄλλοι ἄλλως ἐπεβάλοντο. Οἱ μὲν γὰρ τὴν τελευταίαν λέξιν εἰς τὸ Λόγον τρέπειν καὶ τῷ Προσέβαλε συνάπτειν παρῄνεσαν· οἱ δὲ τὸ, Ἐν Ὑρκανίᾳ, διαγράφειν ὅλως δεῖν ᾠήθησαν, διὰ τὸ τὸν Ἀλέξανδρον οὐκ ἐν Ὑρκανίᾳ ταῦτα δημηγορῆσαι, ἀλλ' ἐν τῇ Παρθυαίᾳ διατρίβοντα καὶ εἰς Ὑρκανίαν ἰέναι παρασκευαζόμενον, ἢ δῆλον ἐκ τοῦ Κοΐντου Κυρτίου (ς' 2-4). Ὁ δ' Α καὶ ὁ Ἰταλὸς μεταφραστὴς οὕτως ἡρμήνευσαν, ὥσπερ ἂν εἰ ἔδει τὸ, Ἐν Ὑρκανίᾳ, εἰς τὸ, Εἰς Ὑρκανίαν, μεταποιῆσαι, καὶ ἐξ ἧς κατέχει χώρας εἰς τὴν πρὸ τοῦ, Προσέβαλε, μετατοπίσαι. Ἴσως οὕτως ἔγραψε Πλούταρχος· Τὸ μὲν ἄλλο πλῆθος εἴασε κατὰ χώραν· τοὺς δ' ἈΡΊΣΤΟΥΣ, ΟΥ̓Σ ΕἾΧΕ μεθ' ἑαυτοῦ, δισμυρίους πεζοὺς καὶ τρισχιλίους ἱππεῖς, ΠΡΟΣΈΛΑΒΕ, λέγων. Καὶ εἶεν ἂν οἱ ἄριστοι, οἱ ὑπ' αὐτῷ Ἀλεξάνδρῳ τεταγμένοι, ὧν αὐτὸς Ἀλέξανδρος ἐστρατήγει.—Στ. 10, Ὡς νῦν μὲν αὐτοὺς ἐνύπνιον τῶν βαρβάρων ὁρώντων ... ἐπιθησομένων εὐθὺς κ.τ.λ.] Καὶ τοῦτο δυσπαρακολούθητόν πως ἐστὶ τὸ χωρίον. Ἄμεινον ἂν ἴσως ἔγραψε Πλούταρχος, « Ὡς νῦν μὲν αὐτῶν ἐνύπνιον τοὺς » βαρβάρους ὁρώντων· ἂν δὲ μόνον... ἐπιθησομένους εὐθύς ».— Στ. 13, Ἀπιέναι γε τοῖς βουλομένοις ἔφησε μαρτυράμενος.] ΔΓ, Ἀπιέναι τε τοῖς : Ἀφεῖναί γε τοῖς. Κατάλληλον ἐξ ἀκαταλλήλου τὸ χωρίον δοκῶ μοι πεποιηκέναι, τὸ, Ἔφη καὶ μαρτυράμενος, τρέψας εἰς τὸ, Ἐφῆκε μαρτυράμενος. Ὁ νοῦς, Συνεχώρησε τοῖς βουλομένοις ἀπελθεῖν, μαρτυράμενος κ.τ.λ. —Στ. 15, Ἐθελοντῶν.] Ἐξ ΕΔ (παρὰ τὸ Ἐθελοντής) ΑΤ, Ἐθελόντων (παρὰ τὸ Ἐθέλων).—Στ. 21, Ὁμοίου τε.] ΠΡΔ, ΑΤ, Ὁμοιοῦτο.—Στ. 26, Ἐπιστάτας.] Ἐπὶ τοῦ διδασκάλους, ἐνθάδε ἡ λέξις, καθὰ καὶ ἐν ἄλλοις (Ἰσοκράτ. Β, σελ. 324) σεσημείωται. Κἀκεῖ μὲν ἔλεγον, ὡς καὶ νῦν λέ-

γω, τοῦ πραγματεύοντος ἑλληνισμοῦ εἶναι τὴν χρῆσιν· ἔστι γε μήν πως καὶ τὸ τοῦ Σοφοκλέους (Ἠλεκτρ. 75-76),

——————— Καιρὸς γὰρ, ὅσπερ ἀνδράσι
Μέγιστος ἔργου παντός ἐστ' ἐπιστάτης,

ἐπὶ ταύτης ἐκδέξασθαι τῆς ἐννοίας, τὴν παρ' ἡμῖν ἀνανοήσαντας παροιμίαν, « Ὁ καιρὸς εἶναι διδάσκαλος ». Ἄλλως δὲ τὸ Ἐπιστάτης σημαίνει παρ' ἡμῖν, ὡς καὶ παρὰ τοῖς ἀρχαίοις, τὸν ἡγεμόνα τινὸς ἔργου, τὸν ὡτινιοῦν ἐφεστηκότα πράγματι καὶ φροντίζοντα τῆς ἐκτελέσεως αὐτοῦ· παρ' ὃ καὶ ῥήματα, Ἐπιστατῶ, καὶ Ἐπιστατεύω, χρηστὰ καὶ νῦν, ὡς καὶ πάλαι.—Στ. 27, Ἐν Χορτάνου.] Ἐκ ΔΓ (ἢ διορθώσεως), ΑΤ, Ἐν χρόνῳ τινί. Παρέλιπεν ὅλως τὰς λέξεις ὁ Α· ὁ δ' Ἰταλὸς μεταφραστὴς διὰ τοῦ in certa occasione ἡρμήνευσεν αὐτάς. Ἕτεροι δὲ, Ἐν Χορτακάνοις, δεῖν γράφειν ὑπετόπασαν (Ἀσιανῇ πόλει οὕτω καλουμένῃ, ἧς μνημονεύει ὁ Σικελιώτης Διόδωρος), ἢ Ἐν Ἀρτικήνῃ. Προειλόμην τὸ Ἐν Χορτάνου, τουτέστιν, Ἐν τῇ οἰκίᾳ τοῦ Χορτάνου, δόξαν τοῦτο καί τινι τῶν ἐπισήμων κριτικῶν (ἴδ. Διοδωρ. Σικελ. ΙΗ, 3, μετὰ τῶν σημειώσ.) Ἔοικε γὰρ ὁ αὐτὸς εἶναι καὶ ὁ παρὰ τῷ Κοίντῳ Κυρτίῳ (Η, 4) καλούμενος Κοωρτάνος (Cohortanus), οὗ ἐν τῇ χώρᾳ παραγενόμενος Ἀλέξανδρος ἔγημε Ῥωξάνην, Ὀξυάρτου θυγατέρα, μίαν οὖσαν τῶν τριάκοντα παρθένων Περσίδων, ἃς Ὀξυάρτης, Ἀλεξάνδρῳ χαριζόμενος, παρὰ τὸν πότον εἰσελθεῖν παρεσκεύασεν. Ἀλλ' ὅμως τοῦτό με μάλιστα, ὁ τῶν τριάκοντα φημὶ παρθένων ἀριθμὸς, ὑπονοεῖν ποιεῖ, μήποτε Πλούταρχος ἔγραψεν, Ἐν χορῷ τινὶ, τουτέστιν, Ἐν χορῷ παρθένων τινί. Οὐδὲ γὰρ εἰκὸς Πλούταρχον οὕτως ἀποτόμως παρεμβαλεῖν τὸ Χορτάνου ὄνομα, ἀνδρὸς ἀγνώστου, μήτε χώραν, μήθ' ἡγεμονίαν, μήτ' ἄλλο τι τῶν προσόντων ἐκείνῳ γνωρισμάτων προσδηλώσαντα, ὥσπερ ἂν εἰ καὶ περὶ Ἡφαιστίωνος ἢ Φιλώτα, ἤ τινος ἄλλου τῶν πᾶσι δήλων Ἀλεξάνδρου ἑταίρων ἐποιεῖτο τὸν λόγον. Προστίθει δὲ, ὅτι οὐδ' ἐν τῇ Χορτάνου, ἀλλ' ἐν τῇ Ὀξυάρτου οἰκίᾳ ὁ πότος ἦν παρ' ὃν Ἀλέξανδρος τὴν Ῥωξάνην ἴδε.

ΣΕΛΙΔ. 235, στ. 20, Ἀξίωμα.] Ὑπόληψιν, δόξαν· ὥσπερ ἤδη προσεσημείωται (σελ. 365).— Στ. 22, Οὕτω.] Λείπει ἔν τινι τῶν ἐκδόσεων.— Στ. 23, Λέγεται γοῦν·] Ἐξ ΗΔ, ΑΤ. Λέγεται δ' οὖν. Ἔστι δὲ τὸ, Γοῦν, ἐνθάδε ἀντὶ τοῦ Γάρ.— Στ. 27, Καὶ τοῦτο δή.] Ἐξ ΗΔ (συνᾳδούσης τῷ Α καὶ τῷ Λατίνῳ μεταφραστῇ), ΑΤ, Καὶ τότε δή. Ἀναφέρεται γὰρ πρὸς τὸ, Ὄγκῳ

φρονήματος, ὥσπερ ἂν εἰ ἔλεγε Καὶ τοῦτον δὴ τὸν ὄγκον.

ΣΕΛΙΔ. 236, στ. 3, Σωμάτων.] Ἴσον ἐνθάδε δύναται τῷ Αἰχμαλώτων. Χρῶνται δὲ τῇ Λέξει ἁπλῶς ἐπὶ τῶν δεδουλωμένων ἢ πολέμου νόμῳ, ἢ καὶ τῇ δ' ἀργυρίου ὠνῇ. Ὁ γὰρ μηκέτι τῇ ἑαυτοῦ ψυχῇ χρῆσθαι δυνάμενος, εἰκότως ἀψύχῳ σώματι παρεικάζεται.—Στ. 5, Πυδναῖον... Ἀντιγόνη.] Πελλαίαν, οὐ Πυδναίαν γεγονέναι Πλούταρχος εἴρηκεν ἀλλαχοῦ (Περὶ τῆς Ἀλεξ. τύχ. ἢ ἀρετ. Β, § 7) τὴν Ἀντιγόνην.—Στ. 17, Καὶ πρὸς ὀργήν.] Περιττὸς ἔδοξέ τῳ τῶν ΠΡ, κἀμοὶ συνδοκεῖ, ὁ Καὶ σύνδεσμος.—Στ. 23, Δίμνος.] Δίμνον ὑπὸ τοῦ Σικελιώτου Διοδώρου, καὶ Δύμνον ὑπὸ τοῦ Κοΐντου Κυρτίου τοῦτον ὠνομάσθαι ἐσημειώσαντο οἱ ΠΡ. — Χαλαίστρας.] Χαλάστρας γραπτέον εἶναί φασι διὰ μονοφθόγγου, ὡς φέρεται καὶ παρὰ τῷ Βυζαντίῳ Στεφάνῳ καὶ παρ' ἑτέροις. Ἡρόδοτος Χαλέστρην, ἰωνικῇ δηλονότι τροπῇ τοῦ α εἰς τὸ ε, κατὰ τὸ Ὁραω Θρέω, καὶ τὸ Βάραθρον Βέρεθρον. Ὁ δὲ Σικελιώτης Διόδωρος οὐδετέρως, Τὸ Χάλεστρον, εἶπε. Ἔστι δὲ Μακεδονίας πόλις περὶ τὸν Θερμαϊκὸν κόλπον ἡ Χαλάστρα, καὶ λίμνη ὁμώνυμος, παρ' ἣν καὶ τὸ ἀλλαχοῦ (Μύθ. Αἰσωπ. συναγ. σελ. 416) σεσημειωμένον Χαλαστραῖον.— Χαλεπῶς.] Διαγραπτέα μοι, ὥσπερ καὶ τοῖς ΠΡ, ἔδοξεν ἡ λέξις. — Στ. 26, Βαλείνῳ.] ΔΓ, Κεβαλίνῳ. Κεβαλῖνον ὀνομάζουσι τὸν ἄνδρα καὶ Διόδωρος ὁ Σικελιώτης καὶ ὁ Κύρτιος.— Στ. 28, Ὁ δ'.] ΔΓ, Ὁ δὲ Φιλιώτας.

ΣΕΛΙΔ. 237, στ. 1, Ἐποίησεν.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ἐποίησαν. — Καθ' ὑποψίαν.] Ἐξ ΕΔ (συναδούσης τῷ Ἰταλῷ μεταφραστῇ) οἱ ΠΡ, ΑΤ. Καθ' ὑπεροψίαν.— Στ. 2, Πρὸς ἕτερον.] ΔΓ, Πρὸς μέτριον: Πρὸς Μέτρωνα. Καὶ αὕτη ἡ τελευταία ἔοικεν εἶναι ἡ γνησία· Μέτρωνα γὰρ ὀνομάζει τοῦτον καὶ ὁ Κύρτιος.— Στ. 13. Ἀφιέμενον.] Ἐκ ΔΓ, ΑΤ, Ἀφικόμενον.— Στ. 15, Ἀναπετάσαντος.] Ἐκ ΔΓ (συναδούσης τῷ Α) οἱ ΠΡ, ΑΤ, Ἀναπετάσαντες.— Στ. 17, Τῶν ἑταίρων.] Τουτέστι τῶν Ἀλεξάνδρου ἑταίρων. ΔΓ. Τῶν ἐχθρῶν (τῶν τοῦ Φιλώτου δηλονότι). — Στ. 22, Τοῦ Φιλώτα.] Ἀνωτέρω δέ, Τοῦ Φιλώτου, ἴσως ἀντιγραφέων πλημμελείᾳ.

ΣΕΛΙΔ. 238. στ. 4, Τῶν κατὰ Φιλώταν.] Ἐξ ΗΔ, ΑΤ, Τῶν κατὰ Φιλώτα. —Στ. 6, Εὑρίσκομεν.] Ἐκ ΔΓ, ΑΤ, Εὑρίσκοντες. Ὁ Α ἡρμήνευσεν, Εὑρήσομεν· ὁ δ' Ἰταλὸς μεταφραστής, Εὑρίσκουσι.—Στ. 7, Πρόφασιν τῷ Κλείτου δαίμονι παρασχόντος.] ΔΓ, Πρόφασιν τῷ Κλείτου θανάτῳ δαί-

μνος [γρ. τοῦ δαίμονος] παρασχόντος.— Στ. 15, Ἐκθύσασθαι.] Ἐξιλάσασθαι, ὥσπερ ἐξηγεῖται Ἡσύχιος.— Στ. 21, Νεανικοῦ.] Σφοδροῦ.— Συῤῥαγέντος.] Συγκροτηθέντος.— Στ. 27, Τραχὺς ὢν καὶ αὐθάδης.] ΔΓ (γνησία, οἶμαι), Τραχὺς ὢν ὀργὴν καὶ αὐθάδης.

ΣΕΛΙΔ. 239, στ. 3, Σπιθριδάτου.] Ἰδὲ ἀνωτέρω (§ 16, σελ. 414). — Εκτρέποντα.] Ἐπιτρέποντα, γράφειν δεῖν ὑπενόησέ τις τῶν ΠΡ. — Στ. 12, Ξαινομένους.] Δερομένους, μαστιγουμένους. Τὸ Ξαίνω, συνώνυμόν πως τῷ Κτενίζω (ὅθεν καὶ Ξάνια, τὰ κτένια, παρ' Ἡσυχίῳ), ἐλέγετο μὲν κυρίως ἐπὶ τῆς τῶν ἐρίων ἐργασίας, καθὰ καὶ λέγεται νῦν ἐν τῇ παρ' ἡμῖν συνηθείᾳ· μεταφορικῶς δὲ καὶ ἐπὶ τοῦ, Δέρω, ἢ Μαστιγῶ. Παραπλησίως δὲ καὶ οἱ Γάλλοι τὸ παρ' αὐτοῖς Peigner, ὅπερ ἐστὶ Κτενίζειν, ἐπὶ τὸ Αἰκίζειν καὶ Δέρειν μετήνεγκαν, οἷον ἐν τῷ Peigner quelqu' un à la Turque, Ξαίνειν τινὰ Τουρκικῶς· Τουρκικὰ γὰρ παρ' αὐτοῖς καλεῖται πάντα τὰ βίαια καὶ ἄνομα. Ἔχει δὲ ἡ παρ' ἡμῖν συνήθεια καὶ συνώνυμον τοῦ κυριολέκτου Ξαίνω, τὸ Λαναρίζω, ὃ δοκεῖ μὲν παρὰ τὸ Ῥωμαϊκὸν Λανάριος (Lanarius) ὅ ἐστιν Ἐριουργὸς, παρῆχθαι, ἔστι μέντοι πολλῷ μᾶλλον παρὰ τὸ Ἑλληνικὸν Ἰωνικὸν Λῆνος, καὶ Δωρικὸν Λᾶνος, παρ' ὃ τὸ ἡμέτερον Λανάρα, τὸ ἐργαλεῖον ᾧ ξαίνουσι τὰ ἔρια, καὶ τὸ Λαναρίζω, καὶ τὸ τῶν Ῥωμαίων Lana (Γαλλ. Laine) τὸ ἔριον, καὶ ὁ Lanarius, ὃν οἱ Βυζαντινοὶ συγγραφεῖς, Λανάριον ἐκάλουν, ἡμεῖς δὲ νῦν Λαναριστήν. « Λῆνος, τὸ ἔριον, οἱ ἀρχαῖοι » φησὶ Φώτιος· ὁ δὲ σχολιαστὴς τοῦ Ἀπολλωνίου (Ἀργοναυτικ. Δ, 177), « Λήνεσσιν, τοῖς ἐρίοις· » ὅθεν καὶ Λανάριοι καλοῦνται οἱ κτενισταί »,—Στ. 25, Ἀριστοφάνους.] Ἀριστόνου, γραπτέον εἶναι παρήνεσαν πάνυ πιθανῶς τινὲς τῶν κριτικῶν.

ΣΕΛΙΔ. 240, στ. 5, Οἴμοι! κ. τ. λ.] Ἐκ τῆς Εὐριπίδου Ἀνδρομάχης τὰ ἔπη, ὧν τὴν ἀρχὴν μόνην παρέθετο Πλούταρχος· εἰκὸς γὰρ τὸν Κλεῖτον, ἔξω γενόμενον ἑαυτοῦ, καὶ τὰ ἑξῆς (Ἀνδρομ. 694-703) ἐπισυνάψαι,

Οἴμοι! καθ' Ἑλλάδ' ὡς κακῶς νομίζεται.
Ὅταν τροπαῖα πολεμίων στήσῃ στρατὸς,
Οὐ τῶν πονούντων τοὔργον ἡγοῦνται τόδε,
Ἀλλ' ὁ στρατηγὸς τὴν δόκησιν ἄρνυται.
Ὃς εἷς μετ' ἄλλων μυρίων πάλλων δόρυ,

Οὐδὲν πλέον δρῶν ἑνὸς, ἔχει πλείω λόγον.
Σεμνοὶ δ' ἐν ἀρχαῖς ἥμενοι κατὰ πτόλιν,
Φρονοῦσι δήμου μεῖζον, ὄντες οὐδένες.
Οἱ δ' εἰσὶν αὐτῶν μυρίοι σοφώτεροι,
Εἰ τόλμα προσγένοιτο, βούλησίς θ' ἅμα.

—Στ. 7, Παράγοντα τὸ πρὸ τῆς θύρας παρακάλυμμα.] Νοητῶς μὲν ἔχει τὸ χωρίον· ἔστι γὰρ, Τὴν πρὸ τῆς θύρας ἠρτημένην αὐλαίαν (ἣν οἱ τουρκοχυδαΐζοντες Μπερντὲν καλοῦσι) παρασπῶντα, καταφανῆ τὴν εἴσοδον ποιεῖν. Ἐνδέχεται μέντοι κομψότερον γεγραφέναι τὸν Πλούταρχον, Παροίγοντα τὸ πρὸ τῆς θύρας παρακάλυμμα, καθάπερ εἴρηκε καὶ ὁ κωμικὸς (Εἰρ. 30),

Τηδὶ παροίξας τῆς θύρας . . , . . ,

ὅ ἐστι, Παρανοίξας.— Στ. 25, Πάθους.] Ἐκ ΔΓ, ΑΤ, Πένθους. — Ὁ δ' Ἀνάξαρχος, ἰδίαν τινὰ πορευόμενος ἐξ ἀρχῆς ὁδὸν ἐν φιλοσοφίᾳ κ. τ. λ.] Πεπλανημένην, καὶ ἀλλοτριωτάτην φιλοσοφίας ὁδόν· φέρει γὰρ ἐπὶ τὸ ψεῦδος, τῆς φιλοσοφίας ἐπὶ μόνην ὁδηγούσης τὴν ἀλήθειαν.— Στ. 29, Ἀνθρώπων νόμον καὶ ψόγον δεδοικώς.] Ἀνθρώπων νόμος καὶ ψόγος ἐστὶν, ὃν τὰ φιλοσοφοῦντα ἔθνη opinion publique, ὡς ἄν τις φαίη, Κοινοδοξίαν, καλοῦσιν, ἧς οὐδὲ τοὔνομα ἔγνωσται ἐν τοῖς τυραννουμένοις ἔθνεσιν· οὐ γὰρ ἂν ἐτυραννοῦντο. Ὁ γὰρ καθάπαξ καταφρονήσας τῆς περὶ αὐτοῦ τῶν ἀρχομένων δόξης καὶ κρίσεως ἡγεμὼν, καὶ τὸν ἐξ αὐτῆς ἀποσεισάμενος χαλινὸν, ἐπὶ πᾶν εἶδος ἀνομίας τοῦ λοιποῦ φέρεται καὶ φέρει τοὺς ὑπ' αὐτῷ.

ΣΕΛΙΔ. 241, στ, 1, Νενίκηκεν.] Κρεῖττον εἶναι τῶν ἄλλων, προτετιμῆσθαι πάντων ὀφείλει.— Στ. 3, Τὴν Δίκην ἔχει πάρεδρον ὁ Ζεὺς, καὶ τὴν Θέμιν, ἵνα πᾶν κ. τ. λ.] Ἅπαν μὲν οὖν τοὐναντίον ἐχρῆν συλλογίσασθαι καὶ συμπερᾶναι ἐκ ταύτης τῆς παρεδρείας, ἵνα δηλονότι μηδὲν ὁ κρατῶν τολμᾷ πράττειν ἄδικον ἢ ἀθέμιτον. Ἀλλ' ἔχουσιν οἱ τῶν κολάκων λόγοι, ὥσπερ ἐμπεφυκυῖαν κῆρα, τὸ ἀσυλλόγιστον.— Στ. 10, Τοῦ περιέχοντος.] Τοῦ ἀέρος.— Στ. 11, Μετέχοντα δόξης τοῖς λέγουσι.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Μετέχοντα δόξης· τοῖς δὲ λέγουσι.— Τἀκεῖ.] Τὰ κατὰ τὴν Ὑρκανίαν καὶ τὴν τῶν Πάρθων χώραν. —Στ. 14, Ταῦτ' ἐκείνων.] Τὰ Παρθικὰ τῶν Ἑλληνικῶν — Στ. 15, Δάπιδας.] Τοὺς καὶ Τάπητας καλουμένους. Εἰσὶ δὲ τὰ ἐν τῇ συνηθείᾳ Ἐπεύχια ἢ Πεύκια λεγόμενα (Πρόδρ. Ἑλλ. Βιβλ. σελ. 318). Καὶ ὁ μὲν Τάπης

ἀρχαιότερον τοῦ Δάπιδος ὄνομά ἐστι, καὶ εἰς ἁπάσας, ὡς εἰπεῖν, τὰς νεωτέρας τῶν Εὐρωπαίων γλώσσας διὰ τῆς Λατινίδος (tapes) εἰσέφρησεν. Ἐοίκασι δ' ἀμφότερα ξενικὰ εἶναι, ἀπὸ τῆς Ἀσίας εἰς τὴν Ἑλλάδα μετακομισθέντα, ὥσπερ καὶ ἡ Ἀναξυρὶς, καὶ ἡ Κίδαρις, καὶ ἄλλα πολλά. Τὸ γὰρ ἐτυμολογεῖν τὸν μὲν Δάπιδα, «παρὰ τὸ ἐν δαπέδῳ στρώννυσθαι», τὸν δὲ Τάπητα «παρὰ τὸ Θάλπω, Θάλπης, καὶ μεταθέσει τοῦ θ εἰς τὸ τ καὶ ἀποβολῇ τοῦ λ, » Τάπης ἢ Δάπης, ἢ παρὰ τὸ Θάπτω, Θάφης καὶ Τάπης, ἢ παρὰ τὸ » Πατῶ, Πάτης καὶ Τάπης (Ἐτυμολογ. σελ. 248, καὶ 746)», γέλωτα, καὶ τοῦτον ἄσβεστον, παρασχεῖν, οὐ μὴν καὶ διδάξαι τὶ τῶν χρησίμων, πέφυκεν. Ἐάσθω τοίνυν ταῦτά τε καὶ τὰ τοιαῦτα τοῖς καλοῖς καὶ γενναίοις Γραμματικοῖς· οἷς δὲ σκοπὸς πρόκειται τὴν Ἑλλάδα ἐπὶ τὸ φιλοσοφεῖν ἐν ἅπασι προτρέψασθαι, τοῦτο λελέχθω, καὶ ὡς γραμμικὴ ἀπόδειξις πεπιστεύθω, ὅτι δίχα φιλοσοφίας, οὐκ ἔστι καλῶς ἑλληνίζειν, ὥσπερ οὐδὲ καλῶς ζῆν, οὐδ' ὅλως ἐν οὐδενὶ τῶν δεόντων οὐδὲν κατορθοῦν. — Στ. 22, Τὴν πατρίδα.] Τὴν Ὄλυνθον· ἐκεῖθεν γὰρ ἦν ὁ Καλλισθένης. — Στ. 26, Τοῖς γινομένοις.] ΔΓ, Τοῖς βουλομένοις (ἐξ ἀμείνονος ἴσως, Τοῖς βουλευομένοις). — Στ. 28, Μισῶ σοφιστὴν, ὅςτις οὐχ αὑτῷ σοφός.] Ἀντὶ τοῦ, Οὐδ' αὐτῷ, ἔγραψα διορθώσας, Οὐχ αὑτῷ, καθάπερ αὐτὸς Πλούταρχος ἀλλαχοῦ (Εἰ καλῶς εἴρητ. τὸ Λάθ. βιώσ. § 1) φαίνεται γεγραφώς. Ὁ δὲ στίχος ἐξ Εὐριπίδου, ὥς φησι Κικέρων (Ἐπιστολ. πρὸς τοὺς συνήθ. Ζ, 6, καὶ ΙΓ, 15), ὃς καὶ εἰς τὴν Ῥωμαίων φωνὴν παρέφρασεν αὐτὸν οὑτωσί, Qui ipse sibi sapiens Prodesse non quit, nequidquam sapit.

ΣΕΛΙΔ. 242, στ. 4, Εὖ λέγειν.] Ἐκ ΔΓ, ΑΤ, Εὐλογεῖν. Οὕτω γὰρ καὶ παρ' Εὐριπίδῃ (Βάκχ. 266-267) γέγραπται,

Ὅταν λάβῃ τις τῶν λόγων ἀνὴρ σοφὸς
Καλὰς ἀφορμὰς, οὐ μέγ' ἔργον εὖ λέγειν.

— Στ. 11, Ἔλλαχε.] Ὥσπερ καὶ ἐν τῇ Λυσάνδρου καὶ Σύλλα συγκρίσει (Πλουτάρχ. Μέρ. Γ, σελ. 173). Ἀλλαχοῦ δὲ (Πλουτάρχ. Γ, σελ. 274, καὶ Περὶ Φιλαδελφ. § 2), Ἔμμορε, εἶπεν. — Στ. 16, Στροῖβον.] Οὐκ ἐτόλμησα παραδέξασθαι τὴν διόρθωσιν, Στροῖβον, καίπερ οὖσαν πιθανὴν, καὶ παραινέτην ἔχουσαν τὸν ἐν τοῖς μάλιστα πιθανωτάτοις τῶν κριτικῶν (Σημ. εἰς τὸ Περὶ διαλέκτ. Γρηγορ. Κορίνθ. σελ. 420), διὰ τὸ σπάνιον (ἴσως δὲ καὶ μοναδικὸν) τοῦ κυρίου τούτου ὀνόματος. — Στ. 19, Κάτθανε καὶ Πάτρο-

πλος κ. τ. λ.] Ἐκ τοῦ Ὁμήρου (Ἰλιάδ. Φ, 107).— Στ. 21, Λόγῳ.] Ἐκ ΔΓ, ΑΤ, Λέγων. Ἑτέρα ΔΓ, Λέγειν.— Στ. 23, Ἀκρύφα πάντες... ἠγανάκτουν.] Ἐνδέχεται μὲν καὶ γραφικῶς ἡμαρτῆσθαι, ἀντὶ τοῦ, Διὰ κρύφα πάντες ἠγανάκτουν· ἐνδέχεται δὲ καὶ οὕτως πρὸς αἰτιατικὴν συνάψαι Πλούταρχον τὸ Ἀγανακτῶ. Καὶ σπανιωτέρα μὲν ἡ πρὸς αἰτιατικὴν ἀπρόθετος σύνταξις αὕτη, οὐ μὴν ἐνδεὴς παραδειγμάτων δοκίμων, ἃ συνείλεχεν ὁ τὸν Πλάτωνος ἔναγχος ἐκδοὺς Φαίδωνα Εἰνδόρφιος (σελ. 34). Τοιοῦτόν ἐστι καὶ τὸ συνώνυμον Δυσχεραίνω· οὐ μόνον γὰρ, Δυσχεραίνω τούτοις, ἢ ἐπὶ τούτοις, ἀλλὰ καὶ Δυσχεραίνω ταῦτα, ἐλλειπτικῶς δηλονότι τῆς Διά.

ΣΕΛΙΔ. 243, στ. 5, Προσκεκύνηκε.] ΔΓ, Προσεκύνησε.— Στ. 9, Ὑπογενομένης.] Ἐξ ΗΔ, ΑΤ, Ὑπογινομένης.— Στ. 17, Προβαλόντι.] Ἐξ ΕΔ, ΑΤ, Προβάλλοντι.— Στ. 18, Εἶπεν.] ΠΡΑ, ΑΤ, Εἰπεῖν. Ἔστι δὲ, Τῷ Ἑρμολάῳ προβαλόντι, Πῶς ἄν.. εἶπεν ὁ Καλλισθένης κ. τ. λ.— Στ. 24, Τοὺς παῖδας.] Οἱ μὲν ἐξεδέξαντο, Τοὺς παῖδας (τουτέστι τοὺς δούλους) τοῦ Ἑρμολάου· οἱ δὲ, πιθανωτέρως, αὐτὸν τὸν Ἑρμόλαον καὶ τοὺς περὶ αὐτὸν, παῖδας ὄντας Ἀλεξάνδρου, τοὺς αὐτοὺς τοῖς νῦν ἐν ταῖς ἡγεμονικαῖς αὐλαῖς καλουμένοις Pages.

ΣΕΛΙΔ. 244, στ. 7, Ἐν Μαλλοῖς *Ὀξυδράκαις*.] Διττὴ φέρεται περὶ τοῦ τραύματος τούτου γνώμη. Οἱ μὲν γὰρ φασιν Ἀλέξανδρον ἐν Ὀξυδράκαις τρωθῆναι, οἷον Διόδωρος ὁ Σικελιώτης (ΙΖ, 98), Παυσανίας (Α, 6), Λουκιανὸς (Νεκρ. διαλογ. ιδ', § 5), καὶ Κόϊντος Κύρτιος (Θ, 4 καὶ 5). Ἕτεροι δὲ ἐν Μαλλοῖς, ὧν ἐστι Στράβων (ΙΕ, σελ. 701), καὶ μάλιστα Ἀῤῥιανὸς (Ϛ', 11, § 6), ὃς καὶ διαῤῥήδην ἐξελέγχει τὴν γνώμην ταύτην ὡς οὖσαν ψευδῆ, «Αὐτίκα ἐν Ὀξυδράκαις τὸ πάθημα τοῦτο γενέσθαι Ἀλεξάνδρῳ ὁ πᾶς λόγος » κατέχει· τὸ δὲ, ἐν Μαλλοῖς ἔθνει αὐτονόμῳ Ἰνδικῷ ξυνέβη, καὶ ἥ τε πόλις » Μαλλῶν ἦν, καὶ οἱ βαλόντες Ἀλέξανδρον, Μαλλοί· οἱ δὴ ἐγνώκεσαν μὲν » ξυμμίξαντες τοῖς Ὀξυδράκαις, οὕτω διαγωνίζεσθαι· ἔφθη δὲ διὰ τῆς ἀνύ» δρου ἐπ' αὐτοὺς ἐλάσας, πρίν τινα ὠφέλειαν αὐτοῖς παρὰ τῶν Ὀξυδρακῶν » γενέσθαι, ἢ αὐτοὺς ἐκείνους τι ἐπωφελῆσαι». Καὶ ταῦτα μὲν ὁ Ἀῤῥιανὸς, ὁ μάλιστα πάντων πιστεύεσθαι δίκαιος. Ἐδήλωσε δὲ καὶ Στέφανος ὁ Βυζάντιος τὸ διττὸν τῆς φήμης, λέγων, « Ὀξυδράκαι, ἔθνος Ἰνδικὸν, ὑφ' ὧν σώσας » Ἀλέξανδρον Πτολεμαῖος, σωτὴρ ἐκλήθη. Οἱ δὲ, ψεῦδος τὸ περὶ τῶν Ὀξυδρακῶν». Ὁ δ' ἡμέτερος Πλούταρχος ποτέρας ἦν γνώμης δηλώσει ἐν τοῖς ἑξῆς (§ 63, σελ. 250) «Πρὸς δὲ τοῖς καλουμένοις Μαλλοῖς... μικρὸν ἐ-

« δήσει κατακοπῆναι»· συνᾴδοντα λέγων, οἷς ἀλλαχοῦ Περὶ τῆς Ἀλεξ. τύχ. ἢ ἀρετ. Α, § 2, καὶ Β, § 9) εἴρηκε, καίπερ ὑποβὰς (Αὐτ. Β, § 13), οἷον ἐπιλαθόμενος τῶν εἰρημένων κἀκεῖ, ἐν Ὀξυδράκαις πάλιν ἔφη γενέσθαι τὸ τραῦμα. Τούτων οὕτως ἐχόντων, ἐν τῷ προκειμένῳ Πλουτάρχου χωρίῳ, οἱ μὲν παρῄνεσαν γράφειν, Ἐν Μαλλοῖς καὶ Ὀξυδράκαις, οἱ δὲ, Ἐν Μαλλοῖς ἢ Ὀξυδράκεις, οἱ δὲ μόνον, Ἐν Μαλλοῖς, διαγράφοντας, τὸ, Ὀξυδράκαις, ὡς διάφορον γραφὴν, ἢ διόρθωσιν.— Στ. 8, Ὑπέρπαχυν γενόμενον καὶ φθειριάσαντα.] Τῆς μὲν Καλλισθένους φθειριάσεως ἐμνημόνευσε Πλούταρχος καὶ ἀλλαχοῦ (Μέρ. Γ, Σύλλ. § 36, σελ. 170). Τὴν δ' ἄγαν παχύτητα ἐκδεκτέον, ὡς προηγησαμένην, οὐχ ὡς συγγενομένην τῇ φθειριάσει. Οὐκ ἀπεικὸς γὰρ ἐν εἱρκτῇ φρουρούμενον, καὶ ταῦτα ἐν γαλεάγρᾳ, εἰ χρὴ πιστεύειν Διογένει τῷ Λαερτίῳ (Ε, 5), εἰς ὄγκον πλεῖστον ἐπιδοῦναι τὸ σῶμα τοῦ Καλλισθένους, διὰ τὴν ἀκινησίαν, ὑφ' ἧς πιαίνεσθαι πέφυκε τῶν ζώων τὰ σώματα, ὥσπερ τοὐναντίον ὑπὸ τῆς γυμνασίας ἰσχναίνεται. Χωρὶς δὲ τούτου, εἰκὸς καὶ πλεονάσαι ὑγρασίᾳ τὸν Καλλισθένη, ἣν ἐν τοῖς αἰτίοις τῆς φθειριάσεως τίθησιν Ἀριστοτέλης (Περὶ ζώων ἱστορ. Ε, 25), καὶ δι' ἣν μᾶλλον τῶν ἀνδρῶν αἱ γυναῖκες φθειρώδεις, καὶ τῶν ἄλλων ζώων αἱ ὕες· « Ἐνίοις δὲ συμβαίνει τῶν ἀνθρώπων νόσημα [τῶν φθειρῶν], ὅταν ὑγρα» σία πολλὴ ἐν τῷ σώματι ᾖ· καὶ διεφθάρησάν τινες ἤδη τοῦτον τὸν τρόπον, » ὥσπερ Ἀλκμᾶνά τέ φασι τὸν ποιητὴν, καὶ Φερεκύδην τὸν Σύριον... Γί» γνονται δὲ καὶ αἱ γυναῖκες τῶν ἀνδρῶν μᾶλλον φθειρώδεις... ἔχουσι δὲ » καὶ ὕες φθεῖρας μεγάλους καὶ σκληρούς ».— Στ. 12, Μεγάλης ἡδονῆς ἐστερῆσθαι τοὺς Ἕλληνας κ. τ. λ.] Δεύτερον τοῦτο λέγει Πλούταρχος ταῦτα (ἴδ. ἀνωτέρ. § 37, σελ. 226).— Στ. 24, Καὶ τοῦ πράγματος... ἢ τὸ ἔργον.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ... ἦν τὸ ἔργον. Ὁ νοῦς, Καὶ τὸ βουλεύσασθαι τὸ πρᾶγμα μεῖζον καὶ δεινότερον ἐφάνη τοῦ ἐργάσασθαι· βουλευόμενον γὰρ πῦρ ἐνεῖναι ταῖς ἁμάξαις, εἰκὸς καὶ φοβηθῆναι τὸν Ἀλέξανδρον μὴ βαρέως ἐνέγκοιεν τοῦθ' οἱ Μακεδόνες, ἐργασαμένῳ δὲ καταμαθεῖν ἐξεγένετο, ὅτι εὐχερέστερον ἦν τὸ πρᾶγμα, ἢ αὐτὸς ὑπετόπαζε.— Στ. 28, Αὐτοί.] Ἐξ ΕΔ, ΑΤ, Αὐτοῦ.

ΣΕΛΙΔ. 245, στ. 2, Καὶ τῶν ἀποστάντων.] Ἐκ ΔΓ, ΑΤ, Καὶ τὸν ἀποστάντων. Ἕτεροι δὲ, Καὶ τὸν ἀποστάντα τῶν, γεγράφθαι ὑπετόπασαν.— Στ. 5, Ἑκατέρωθεν αὐτοῦ.] Τίνος Αὐτοῦ; οὐ γὰρ ἔχει πρὸς ὃ ἀνενεχθῇ ἡ ἀντωνυμία. Ἴσως γρ. Αὐτῆς; τουτέστι τῆς τιάρας, ὥσπερ

ἑρμήνευσε καὶ ὁ Α, ἴσως δὲ καὶ πρὸς τὸ Σχῆμα συνέταξεν, οὐ πάνυ τι ἀκριβῶς, ὁ Πλούταρχος, Ἑκατέρωθεν τοῦ σχήματος τῆς τιάρας — Στ. 15, Στιλβότητα.] Στιλπνότητα, γεγράφθαι τινὲς ὑπετόπασαν, διὰ τὸ μοναδικὸν τῆς λέξεως· πλὴν γὰρ τούτου Πλουτάρχου τοῦ χωρίου οὐδαμοῦ ἀλλαχοῦ εὕρηται ἡ Στιλβότης. Ἀλλ' ὥσπερ παρὰ τὸ Στιλπνὸς, Στιλπνότης, οὕτως ἂν εἴη, καὶ Στιλβότης παρὰ τὸ Στιλβὸς, εἴγε εὕρηται ὁ Στιλβὸς ἐπὶ τοῦ στιλπνοῦ, ὥς φησι Στέφανος ἐν τῷ Θησαυρῷ. (Πιναχ. Μέρ. Β, σελ. 62), ἐπαγόμενος μάρτυρα Σουΐδαν, παρ' ᾧ ἡ λέξις οὐχ εὕρηται. Ἀλλὰ καὶ τούτων οὕτως ἀμφιβαλλομένων, οὐ μετακινητέον τὴν γραφήν· ὥσπερ γὰρ τὸ παρὰ τῷ Ἀρριανῷ, Στιλπνόω, παρὰ τὸ Στιλπνὸς, οὗ παράγωγον ἡ Στιλπνότης, ἐγένετο, τῷ αὐτῷ λόγῳ καὶ τὸ μᾶλλον γνωστὸν Στιλβόω, προϋποτίθησι τὸν Στιλβὸν καὶ τὴν Στιλβότητα. Ἔσωσε καὶ ἡ παρ' ἡμῖν συνήθεια τὸ Στιλβόω ἐπὶ τοῦ λαμπρύνω, ἢ τοῦ λειαίνω, μεταποιήσασα εἰς τὸ Στιλβόνω, ἢ τὸ χυδαιέστερον, Σκλιβόνω.—Στ. 18, Τοῖς λουομένοις.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Τοὺς λουομένους.—Στ. 22, Στρατείας.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Στρατιᾶς.— Στ. 30, Ἀτόλμοις.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Εὐτόλμοις.

ΣΕΛΙΔ. 246, στ. 1, Σισιμίθρου.] Ἐνθάδε τε κἀν τοῖς ἑξῆς οὐ διὰ τοῦ η ἀλλὰ διὰ τοῦ ι γέγραφα τὴν παραλήγουσαν, καθὰ γράφεται, καὶ παρὰ τῷ Στράβωνι, καὶ παρὰ τῷ Κοΐντῳ Κυρτίῳ, καὶ παρὰ τῷ Ἡλιοδώρῳ, τοὔνομα τόδε· ἔστι γὰρ σύνθετον παρὰ τὸ Μίθρας, ὥσπερ καὶ ὁ Μιθριδάτης, καὶ ἄλλα (ἴδ. Ἡλιοδωρ. Β, σελ. 149 καὶ 325).— Ἄβατον οὖσαν καὶ ἀπρόσβατον.] Πλεονάζουσιν αἱ τελευταῖαι δύο λέξεις, παραλειφθεῖσαι καὶ ὑπὸ τοῦ Α, ἢ ἡ πρώτη μετὰ τῆς τρίτης· ἤρκει γὰρ τὸ Ἄβατον οὖσαν, ἢ γοῦν τὸ, Οὖσαν ἀπρόσβατον. Ἐνδέχεται καὶ γραφικῶς ἡμαρτῆσθαι ἀντὶ τοῦ, Ἄβατον οὖσαν καὶ ἀπότομον· ὅπερ ἔοικεν ὑποτοπάσαι καὶ ὁ Ἰταλὸς μεταφραστὴς εἰπὼν, Scoscesa era e tale che non si poteva salire. Μνημονεύει ταύτης τῆς πέτρας καὶ Στράβων (ΙΑ, σελ. 517). «Τὴν μὲν οὖν » Σισιμίθρου [πέτραν] πεντεκαίδεκα σταδίων ἱστοροῦσι τὸ ὕψος, ὀγδοήκοντα » δὲ τὸν κύκλον· ἄνω δὲ ἐπίπεδον, καὶ εὔγαιον, ὅσον πεντακοσίους ἄνδρας » τρέφειν δυναμένην».— Στ. 2, Τὸν Ὀξυάρτην.] Οὗτός ἐστιν ὁ Ῥωξάνης (ἴδ. ἀνωτέρ. σελ. 444), τῆς Ἀλεξάνδρῳ γαμηθείσης, πατήρ.— Στ. 7, Ἑτέρᾳ δ' ὁμοίως ἀποτόμῳ προσβάλλων, ἐν τοῖς νεωτέροις τῶν Μακεδόνων Ἀλέξανδρόν τινα καλούμενον προσαγορεύσας.] Ἐξ ΗΔ καὶ ἡ γραφὴ καὶ ἡ στίξις,

ΑΤ... Προσβαλὼν τοὺς νεωτέρους τῶν Μακεδόνων, Ἀλέξανδρόν τινα κ. τ. λ.— Στ. 11, Νύση.] Διὰ διπλοῦ ἕτεροι τοῦ σ γράφουσι, Νύσση. Δέκα πόλεις ἀριθμεῖ ὁ Βυζάντιος Στέφανος τῷ τῆς Νύσης καλουμένας ὀνόματι, ὧν ἐπίσημος μάλιστα ἡ περὶ ἧς νῦν ὁ λόγος, διὰ τὸ Διονύσου κτίσμα εἶναι μεμυθολογῆσθαι (Ἀῤῥιαν. Ἀναβ. Ἀλεξ. Ε, 1) — Στ. 15, Πόλεων.] Ἢ διαγράφειν δεῖ τὴν λέξιν, ὡς ἔδοξέ τῳ τῶν ΠΡ, ἢ γοῦν τρέπειν εἰς τὸ Πολεμίων. Περὶ γὰρ οὐ πολλῶν, ἀλλὰ μιᾶς πόλεως, τῆς Νύσης, ὁ λόγος.— Στ. 18, Πρεσβύτατον.] ΔΓ, Πρεσβύτερον.

ΣΕΛΙΔ. 247, στ. 2, Ἕτοιμος.] ΔΓ, Ἕτοιμός εἰμι.—Στ. 13, Σπεισάμενος... ἅπαντας ἀπέκτεινε.] Ὁ μὲν Ἀῤῥιανὸς (Ἀναβ. Ἀλεξ. Δ, 27) πολέμου νόμῳ φησὶν ἀποκτεῖναι τὸν Ἀλέξανδρον τοὺς ἄνδρας, παρεσπονδηκότας. Ὁ δὲ Πολύαινος (Δ, γ', 20, σελ. 119) οὕτως μιαρὸν ἔργον (εἴπερ ἀληθῶς δόλῳ ἐπράχθη, ὡς φησι Πλούταρχος), οὐκ ὤκνησεν ὅμως τοῖς Ἀλεξάνδρου συγκαταλέξαι στρατηγήμασι.—Στ. 17, Οἱ φιλόσοφοι.] Οἱ παρ' Ἰνδοῖς δηλονότι· ἦσαν δ' οὗτοι οἱ καλούμενοι Βραχμᾶνες (Ἀῤῥιαν. Ἀναβ. Ἀλεξ. ς', 17).—Στ. 21, Ἐν μέσῳ τῶν στρατοπέδων.] ΔΓ, Ἐν μέσῳ τῷ στρατοπέδῳ.—Στ. 24, Ἐθίζοντα τοὺς βαρβάρους μὴ φοβεῖσθαι.] Στρατηγικῶς δηλαδὴ, ἵνα τοὺς βαρβάρους εἴς τε τὸ ἀφοβον καὶ τὸ ἀνύποπτον καταστήσας, εὐχερέστερον ἀπατήσῃ, ὡς ἄριστα ἐξηγήσατο ὁ Α, à fin d'accoustumer les Barbares à ne s' en estonner point.—Στ. 27, Πρὸς νῆσον οὐ μεγάλην.] Ὑλώδη καὶ ἀστιβῆ νῆσον ὑπ' ἐρημίας καλεῖ ταύτην Ἀῤῥιανὸς (Ἀναβ. Ἀλεξ. Ε, 11). Καὶ διορθούσθω ἐν παρέργῳ ὁ συγγραφεὺς οὗτος. Μετὰ γὰρ τὰ περὶ τῆς νήσου, ταῦτά φησιν ἐπιτεῖλαι Κρατερῷ τὸν Ἀλέξανδρον, « Ἢν δὲ μέρος μέντοι τῆς στρατιᾶς ἀναλαβὼν Πῶρος » ἐπ' ἐμὲ ἄγῃ, μέρος δέ τι ὑπολειφθῇ αὐτῷ ἐπὶ στρατοπέδου καὶ ἐλέφαντες, » σὺ ΔῈ ΔΙΚΑΊΩΣ μένειν κατὰ χώραν »; ὅπου γραπτέον... σὺ ΔῈ ΚΑῚ ὬΣ μένειν κατὰ χώραν.

ΣΕΛΙΔ. 248, στ. 4, Αὐτὸς δὲ διανήξασθαι τὸ μέσον οὐ βεβαίως κ. τ. λ.] Ἔγραψα Διανήξασθαι ΑΤ, (ἀδιανοήτου), Δέξασθαι. Ἐκληπτέον δὲ τὸ, Διανήξασθαι οὐκ ἀποτόμως ἐπὶ τοῦ κολυμβᾶν, ἀλλ' ἐπὶ τοῦ ποσὶ διαβαίνειν καὶ διαπερᾶν, πῇ μὲν πατοῦντα τὸ ἔδαφος, πῇ δὲ καὶ μετεωριζόμενον ὑπὸ τοῦ ὕδατος, ὥσπερ ἐξεδέξατο καὶ ὁ Ἰταλὸς μεταφραστὴς, ei giunse à riva nel mezzo di quello scoscendtm ento medesimo, dove mal potea reggersi in piedi, etc—Στ. 20, Κατὰ

θάτερον.] Οὐ χρὴ τρέπειν εἰς τὸ Κατ' ἀριστερὸν, ὡς ὑπέλαβέ τις τῶν ΠΡ· αὐτὸ γὰρ τοῦτο σημαίνει τὸ Θάτερον, οὗ καὶ τὴν ἐπὶ κακοῦ ἐκδοχὴν ἀλλαχοῦ (Ἰσοκράτ. Β, σελ. 279) διὰ μακροῦ ἐσημειωσάμεθα.—Κοῖνον.] ΠΡΔ, ΑΤ, Κοινῇ. ΔΓ (συνᾴδουσα τῷ Ἰταλῷ μεταφραστῇ) Περδίκκαν· οὐκ ὀρθῶς· Κοῖνον γὰρ καὶ Ἀῤῥιανὸς (Ε, 16) ὀνομάζει,—Στ. 23, Ἕωθεν δέ.] Ἐξ ΕΔ, ΑΤ, Ὅθεν ἤδη.—Στ. 26, Τὸν Πῶρον κ. τ. λ.] Τὸ ἑξῆς καὶ ὁ νοῦς (ὡς ἐσημειώσαντο καὶ οἱ ΠΡ), Τὸν Πῶρον, μέγεθος ἔχοντα πηχῶν τεσσάρων καὶ σπιθαμῆς, ἐπὶ τοῦ ἐλέφαντος καθεζόμενον μὴ ἀποδεῖν ἱππότου κατὰ τὴν συμμετρίαν, τουτέστιν οὕτω συμμέτρως ἔχειν πρὸς τὸν ἐλέφαντα, ὥσπερ καὶ ἱππότην ἄνδρα πρὸς τὸν ἵππον. Διόδωρος δὲ ὁ Σικελιώτης πέντε φησὶ πηχέων τὸ μῆκος γεγονέναι τὸν Πῶρον, Ἀῤῥιανὸς δὲ, ὑπὲρ τὰς πέντε. Σημειοῦ δὲ, ὅπερ καὶ ἀλλαχοῦ (Προδρ. Ἑλλ. Βιβλ. σελ. 372) ἐσημειωσάμεθα, τοῦ παρακμάζοντος ἑλληνισμοῦ τὸ Πηχῶν, ἀντὶ τοῦ Πηχέων.

ΣΕΛΙΔ. 249, στ. 1, Προσμαχομένους.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Προμαχομένους. ΔΓ, Προμάχους.—Στ. 4. Ἐξῄρει.] Ἐξ ΠΔ (παρὰ τὸ Ἐξαιρῶ), ΑΤ, Ἐξῆρε (παρὰ τὸ Ἐξαίρω). Πιστοῦται δὲ τὴν διόρθωσιν αὐτὸς Πλούταρχος, ἀλλαχοῦ (Πότερ. τῶν ζώων φρονιμώτερ. § 14) τὰ αὐτὰ ἱστορηκώς, « Πώρου δὲ τοῦ βασιλέως ὁ ἐλέφας... πολλὰ τῶν ἀκοντισμάτων » ἀτρέμα καὶ φειδόμενος ἐξῄρει τῇ προβοσκίδι ».—Στ. 9, Προσέθηκε χώραν *καὶ* τοὺς αὐτονόμους καταστρεψάμενος κ. τ. λ.] Διέγραψα τὸν σύνδεσμον, δόξαν τοῦτο καί τινι τῶν ΠΡ, ᾧ συνᾴδει καὶ ὁ Ἰταλὸς μεταφραστής. Ἀλλ' οὐδ' οὕτως τεθεράπευται τὸ εἴτε γραφέων ἁμαρτία, εἴτ' αὐτοῦ Πλουτάρχου, μὴ ἐξακριβώσαντος τὰ ἱστορημένα, συγκεχυμένον χωρίον. Ὁ μὲν γὰρ Ἀῤῥιανὸς (Ε, 20. § 3-6) φησὶν, « Ἔλαβε πόλεις μὲν ἐς τριάκοντα » καὶ ἑπτά· ὧν ἵνα ὀλιγοστοὶ ἦσαν οἰκήτορες, πεντακισχιλίων οὐκ ἐλάτ» τους ἦσαν, πολλῶν δὲ καὶ ὑπὲρ τοὺς μυρίους, καὶ κώμας πλήθει τε πολ» λὰς ἔλαβε, καὶ πολυανθρώπους οὐ μεῖον τῶν πόλεων. Καὶ ταύτης τῆς χώ» ρας Πώρῳ ἄρχειν ἔδωκε ». Στράβων δὲ (ΙΕ, σελ. 686), τοὺς Μακεδόνας λέγει, « Τὰ μεταξὺ ἔθνη τοῦ τε Ὑδάσπου καὶ τοῦ Ὑπάνιος, τὸν ἀριθ» μὸν ἐννέα, πόλεις τε σχεῖν πεντακισχιλίας, ὧν μηδεμίαν εἶναι Κῶ τῆς » Μεροπίδος ἐλάττω· ταύτην δὲ πᾶσαν τὴν χώραν καταστρεψάμενον Ἀλέ» ξανδρον, παραδοῦναι Πώρῳ ».—Στ. 12, Ἄλλην δὲ τρὶς τοσαύτην, ἣς Φίλιππον... ἀπέδειξεν.] Καὶ τοῦτο ἀσυνάρτητον πρὸς τὰ ἀνωτέρω τὸ χωρίον. Διὸ καὶ παρῄνει τις τῶν ΠΡ οὐκ ἀπιθάνως γράφειν, Ἄλλης δὲ

τρὶς τοσαύτης Φίλιππον... ἀπέδειξεν.—Στ. 25, Τοῦ πρόσω.] Ἐκ ΔΓ, ΑΤ, Τὸ πρόσω.—Προελθεῖν.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Προσελθεῖν.

ΣΕΛΙΔ. 250, στ. 1, Ὀκτὼ μὲν μυριάδας ἱπποτῶν.] Ὁ δὲ Σικελιώτης Διόδωρος (ΙΖ, 93) Δισμυρίους ἱππεῖς μόνον λέγει.—Στ. 2, Ὀκτακισχίλια.] Δισχίλια, ὁ Διόδωρος.—Στ. 3, Ἑξακισχιλίους.] Τετρακισχιλίους, ὁ Διόδωρος. — Γανδαριτῶν.] Γανδαριδῶν, γράφεται παρὰ τῷ Διοδώρῳ. Ἕτεροι δὲ Γαγγαρίδας τοὺς αὐτοὺς ἐκάλεσαν, παρὰ τὸν Γάγγην δηλονότι ποταμὸν (ἴδε Σημειώσ. εἰς Διοδ. Σικελ. Β, 37). —Στ. 4, Ἀνδρόκοττος.] Σανδρόκοττος ὀνομάζεται οὗτος τῷ Στράβωνι (ΙΕ, σελ. 724).—Στ. 16, Βωμοὺς θεῶν.] Δώδεκα τῶν δώδεκα θεῶν. Ἴδε Διόδωρον τὸν Σικελιώτην (ΙΖ, 95), Ἀῤῥιανὸν (Ε, 29), καὶ Κόϊντον Κύρτιον (Θ, 3).—Πραισίων.] Οὕτως ἔγραψα, συνῳδῶς τοῖς ἀνωτέρω, ΑΤ, Πραισιαίων. Στράβων δὲ Πρασίους αὐτοὺς καλεῖ.—Στ. 18, Ἀνδρόκοττος δέ.] ΔΓ, Ἀνδρόκοττος γάρ.—Στ. 21, Διὰ μοχθηρίαν καὶ δυσγένειαν.] Κουρέως γὰρ υἱὸς ἐνομίζετο ὁ Πραισίων καὶ Γανδαριτῶν βασιλεὺς (Διοδ. Σικελ. ΙΖ, 93).—Στ. 24, Ἐκομίζετο.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἐκόμιζε.

ΣΕΛΙΔ. 251, στ. 1. Ὀλιγοστὸς ὤν.] Ὀλίγους τινὰς ἔχων μεθ' ἑαυτοῦ.— Στ. 10, Μασθόν.] Λέγεται Μαστὸς, Μασθὸς, Μασδὸς, καὶ Μαζὸς, κατὰ διαφορὰν διαλέκτου, οὐ κατὰ διάφορον ἔννοιαν, ὥς φασι Γραμματικῶν παῖδες, Μαστὸν μὲν τὸν γυναικεῖον, Μασθὸν δὲ, ἢ Μαζὸν, τὸν ἀνδρεῖον λέγοντες εἶναι, καὶ ἄλλοι ἄλλως. Ἔστι γὰρ ὁ μὲν Μαστὸς τῶν Ἀττικῶν, ὁ δὲ Μαζὸς τῶν Ἰώνων, ὃν Δωριεῖς, διαλύσαντες τὸ διπλοῦν σύμφωνον, Μασδὸν ἐκάλεσαν. Τὸ δὲ διὰ τοῦ θ Μασθὸς ἴσως μὲν καὶ αὐτὸ τῶν Δωριέων, ἴσως δὲ οὐδὲ Ἑλληνικὸν ὅλως ἐστὶ, καίπερ εὑρισκόμενον παρ' οὐκ ὀλίγοις. Ἔστι γὰρ καὶ τοιαῦτά τινα ἀντιγραφέων πλημμελήματα, ἃ τὴν ἀρχὴν ἀκρίτως ἀποδεξαμένων τινῶν, ἐπὶ τοσοῦτον ἐξενίκησαν Ἑλληνικὰ ὑπολαμβάνεσθαι, ὡς μηδὲ θεμιτὸν εἶναι τοῖς ἐκδόταις μετακινεῖν αὐτὰ ἧς ἅπαξ ἀθεμίτως κατέσχον χώρας. Καὶ ὁ μὲν Μαζὸς συγγενὲς ὄνομα ἔοικεν εἶναι τῇ Μάζῃ, παρὰ τὸ Μάζω ἢ Μάσσω, διὰ τὸ δίκην πεφυραμένων ἀλφίτων πεπυκνωμένον τοῦ μαζοῦ, ἡνίκα κενός ἐστι γάλακτος « Ἐν ᾧ γὰρ οὐκ ἔχουσι χρόνῳ τὸ γάλα, συστέλλονταί τε καὶ πυ» κνοῦνται, διαφέροντες τῶν πεπληρωμένων γάλακτος τοιαύτην διαφορὰν, » οἵαν οἱ διάβροχοι σπόγγοι τῶν σκελετευομένων (Γαλην. Περὶ τροφ. δυνάμ. Βιβλ. Γ) ». Ὁ δὲ Μαστὸς παρὰ τὸ Μέμασται τρίτον πρόσωπον τοῦ παθητικοῦ παρακειμένου τοῦ ῥήματος Μάω τοῦ δηλοῦντος τὸ μετ-

ἐπιθυμίας ζητῶ, ὥσπερ παρὰ τὸ πρῶτον, Μέμαμαι ἐσχημάτισαν οἱ Ῥωμαῖοι, διπλασιασμῷ τοῦ δευτέρου συμφώνου τὸ Mamma, τὸ δηλοῦν τὸν Μαστόν. Ἡ δὲ παρ' ἡμῖν συνήθεια τὸν μὲν κυρίως Μαστὸν ἠγνόηκε· τῷ ὑποκοριστικῷ δὲ αὐτοῦ Μαστάριον ἐχρῶντο οἱ οὐ πολλῷ πρότερον ἡμῶν γεγονότες Βυζαντινοὶ συγγραφεῖς, Μαστάρια καλοῦντες, οὐ μόνον τοὺς μαστοὺς, ἀλλὰ καὶ ἁπλῶς πάντα τὰ ἀδενώδη τοῦ σώματος, ἅπερ ἡ συνήθεια, Γαργαλίδας, καὶ Γαργαλῶνας ὀνομάζει (διὰ τὸ δυσγάργαλον μάλιστα τῶν ἀδενωδῶν τοῦ σώματος μερῶν)· ἐπεὶ καὶ οἱ ἀδένες ᾠκείωνται τοῖς μαστοῖς, καὶ οἱ μαστοὶ ἐξ ἀδένων πολλῶν συνεστραμμένων σύγκεινται, ὥς φησιν Ἱπποκράτης (Περὶ Ἀδέν. § 11), « Ἀλλὰ καὶ ἀδένες » ἐν τοῖσι στήθεσι μαζοὶ καλέονται ».—Ἐνδόντος αὐτοῦ, καὶ τὸ σῶμα κάμψαντος.] ΠΡΔ, ΑΤ, Ἐνδόντος αὐτοῦ τὸ σῶμα καὶ κάμψαντος. Ἐστιν ἴσως καὶ οὕτως διορθοῦν, Ἐνδόντος αὐτῷ τοῦ σώματος, καὶ κάμψαντος.—Στ. 12, Λιμναῖος] Τιμαῖον ὀνομάζει τοῦτον ὁ Κύρτιος (Θ, 5), Ἀβρέαν δὲ ὁ Ἀῤῥιανὸς (ς' 10).—Προέστησαν.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Προσέστησαν.—Στ. 15, Λαμβάνων.] ΔΓ, Λαβών.—Στ. 22, Ἐνὶ τῶν ὀστέων.] ΠΡΔ, ΑΤ, Ἐν ἑνὶ τῶν ὀστέων.—Στ. 23, Τὸ μὲν πλάτος τριῶν δακτύλων εἶναι, τὸ δὲ μῆκος τεσσάρων.] Ἀλλαχοῦ δὲ (Περὶ τῆς Ἀλεξ. τύχ. ἢ ἀρετ. Β, § 13), τὸ μὲν πλάτος τεσσάρων, τὸ δὲ μῆκος πέντε, φησὶ γεγονέναι.—Στ. 29, Ἀνήχθη.] Ἐξ ΗΔ (εἰκασάντων καὶ τῶν ΠΡ, καὶ συνᾴδοντος τοῦ Ἰταλοῦ μεταφραστοῦ, s' embarco) ΑΤ, Ἀνῆλθε.

ΣΕΛΙΔ. 252, στ. 1, Σάββαν.] Σάμβον τοῦτον ὀνομάζουσι Διόδωρος ὁ Σικελιώτης (ιζ', 102,), καὶ ὁ Ἀῤῥιανὸς (ς', 16)· ἄλλοι δὲ ἄλλως.—Στ. 4, Προὔγραφεν.] ΔΓ, Προὔφερεν.—Στ. 5, Ἀποκρινάμενον.] Ἐξ ΗΔ, ΑΤ, Ἀποκρινόμενον.—Στ. 14, Καλῶς ζῆν βουλόμενος αὐτὸν ἢ καλῶς ἀποθανεῖν.] Ἐκ ΔΓ, ΑΤ, Καλῶς ζῆν βουλόμενος αὐτὸν, ἢ κακῶς ἀποθανεῖν. Ὅτι δὲ προέχει ἣν προειλόμην γραφὴν, μαρτυρεῖ καὶ τὸ Σοφόκλειον (Αἴαντ. 479-480),

Ἀλλ' ἢ ΚΑΛΩΣ ζῆν, ἢ ΚΑΛΩΣ τεθνηκέναι
Τὸν εὐγενῆ χρή.—————————

—Στ. 17, Οὗτος.] Ἐκ ΔΓ, ΑΤ, Οὕτως.—Στ. 19, Μεταλαβών.] ΔΓ, Μεταβαλών· ἣν ἔοικε προελέσθαι ὁ Ἰταλὸς μεταφραστὴς, ἑρμηνεύσας, voltatosi. Ὁ δ' Α, φήσας passant oultre, τὸν νοῦν μᾶλλον ἢ τὴν λέξιν ἐξέφρασεν· ἔστι γὰρ τὸ πλῆρες, Μεταλαβὼν τὸν λόγον, Γαλλ. reprenant la

Εἰς

parole.—Στ, 20, Τῶν δὲ λοιπῶν.] ΔΓ, Τῶν δὲ λοιπῶν τριῶν.—Στ. 22, Εἴ τι πράξειεν, εἶπεν, ὃ πρᾶξαι δυνατὸν ἀνθρώπῳ μὴ ἔστιν.] Οὐ μενοῦν τοῦτο, ἀλλὰ πολὺ τούτου ῥᾷον, Εἰ μὴ παύοιτο τοὺς ἀνθρώπους εὐεργετῶν. —Στ. 25, Μέχρι τίνος ἀνθρώπῳ καλῶς ἔχοι ζῆν;] Ἐξ ΗΔ τὸ, Ἀνθρώπῳ, ΑΤ, Ἄνθρωπον· Ἑλληνικώτερον γὰρ τὸ κατὰ δοτικὴν, ὥσπερ καὶ αὐτὸς ἀλλαχοῦ (Κικέρ. § 38) ὁ Πλούταρχος εἴρηκε, « ΑΥ̓ΤΩ͂ μὲν γὰρ οὐ ΚΑ-» ΛΩ͂Σ Ἔ́ΧΕΙΝ ἐγκαταλιπεῖν, ἣν ἀπ' ἀρχῆς εἵλετο τῆς πολιτείας τάξιν ». —Στ. 30, Ἀποκρινάμενον.] Ἐξ ΕΔ, ΑΤ, Ἀποκρινόμενον.

ΣΕΛΙΔ. 253, στ. 5. Κάλανον.] Οὕτω προπαροξυτόνως γέγραφα (ΑΤ, Καλανὸν), ὡς γράφεται παρὰ τῷ Στράβωνι, Ἀῤῥιανῷ, Διοδώρῳ τῷ Σικελιώτῃ, καὶ παρ' αὐτῷ Πλουτάρχῳ ἐν τοῖς ἑξῆς (σελ. 256).—Στ. 8, Πρᾳότερον, διακούσαντα... εἰπεῖν κ. τ. λ.] Ἐξ ΕΔ διέγραψα τὸν σύνδεσμον. Τὸ δὲ Πρᾳότερον σύναπτε πρὸς τὸ, Εἰπεῖν.—Στ. 10, Λίαν δὲ τοὺς νόμους αἰσχυνόμενοι βεβιωκέναι.] Λέγειν βούλεται, ὅτι διὰ τὸ ἄγαν σέβεσθαι τὰ παρ' ἀνθρώποις νομιζόμενα, βεβιώκασι, Σωκράτης μὲν καὶ Πυθαγόρας οὐχ ὡς ἐχρῆν, Διογένης δ' ἧττον ἢ ἐχρῆν, κυνικῶς.—Στ. 18, Ξηρὰν καὶ κατεσκληκυῖαν.] Ἐκ παραλλήλου, κατὰ τὸ, Αὔη καὶ ξηρὰ (Πλουταρχ. Μέρ. Λ, σελ, 378).—Στ. 27, Σιλλοῦστιν.] Τὴν αὐτὴν ὑπέλαβόν τινες εἶναι καὶ τὴν παρὰ τῷ Ἀῤῥιανῷ (ϛ', 19) Κιλλουτὰν καλουμένην νῆσον.—Στ. 30, Ἐπευξάμενος μηδένα μετ' αὐτὸν κ. τ. λ.] Δοξομανοῦς ἡ εὐχή· ἧς ἀνθρωπικωτέρα καὶ βασιλεῖ νοῦν ἔχοντι μᾶλλον πρέπουσα, ἣν εὔξασθαί φησιν Ἀῤῥιανὸς (ϛ', 19) τὸν Ἀλέξανδρον, « Εὐχόμενος σῶον οἱ πα-» ραπέμψαι τὸν στρατὸν τὸν ναυτικόν ».

ΣΕΛΙΔ. 254, στ. 9, Πλείστους.] Γραπτέον εἶναι ὑπενόησαν οἱ ΠΡ, ἐνάρθρως, Τοὺς πλείστους, καθάπερ ἡρμήνευσε καὶ ὁ Λ, la plus part. —Στ. 11, Ἰχθύας] ΔΓ, Ἰχθῦς.—Στ. 18, Σχέδην] Ἡσυχῆ, βάδην, ὡς ἐξηγεῖται Ἡσύχιος.—Θυμέλης.] Θυμέλη κυρίως μὲν ὁ Βωμὸς, ἀπὸ τοῦ Θύειν· ἐνταῦθα δὲ Τράπεζαν, ἐφ' ἧς ἱστάμενοι ᾖδον (ἴδ. τὰς εἰς τὸν Ἡσύχιον, λέξ. Θυμέλη, σημειώσ. τῶν κριτικ.).—Στ. 19. Πλαισίῳ.] « Πλαί-» σιον... τὸ ἐκ ξύλων τετραγώνων (γρ. τετράγωνον) πῆγμα, ὅ τινες Πλιν-» θίον καλοῦσιν », φησὶ Φώτιος ἐν τῷ Λεξικῷ.—Στ. 24, Ῥυτοῖς.] Εἶδος φιάλης ἢ ποτηρίου τὸ Ῥυτόν. Ἐχρήσατο καὶ Δημοσθένης τῇ λέξει ἐν τῷ Κατὰ Μειδίου. Ἴδε Ἀθήναιον (ιά, σελ. 497) διεξοδικῶς ἱστοροῦντα τὰ περὶ τῶν Ῥυτῶν. Φώτιος δὲ καὶ ἐτυμολογεῖν ἐπεβάλετο τοὔνομα οὐκ ἐπι-

τυχῶς· « Ῥυτὰ, εἶδος φιαλῶν· τάχα δὲ οἷον ῥυτίδας καὶ συναγωγὰς ἐχου-» σῶν ». Παρὰ τὸ Ῥύω μὲν γὰρ ἑκάτερον· ἀλλ' ἡ μὲν Ῥυτὶς παρὰ τὸ Ῥύω τὸ σημαῖνον τὸ ἕλκω, τὸ δὲ Ῥυτὸν παρὰ τὸ Ῥύω, τὸ συγγενὲς τῷ Ῥέω.—Στ. 25, Θηρικλείοις.] Ἕτερον εἶδος ποτηρίου, οὕτως ὀνομασθὲν ἀπὸ τοῦ πρώτου κεραμεύσαντος Θηρικλέους τοῦ Κορινθίου (Ἀθην. ιά, σελ. 470). —Βαπτίζοντες ἐκ πίθων.] Νενοθεῦσθαί τινες ὑπέλαβον τὸ χωρίον, διὰ τὸ μὴ καλῶς λέγεσθαι, Βαπτίζειν ἐκ πίθων, ἀλλὰ τοὐναντίον, Βαπτίζειν εἰς πίθους. Λέγεται μὲν οὖν κατὰ συνεκδοχήν, καὶ ταὐτὸν ἐνθάδε σημαίνει τῷ Πληροῦντες ἐκ πίθων. Ἔστι δὲ συνεκδοχὴ, ὅταν τὸ ἑπόμενον ἀντὶ τοῦ ἡγουμένου λαμβάνωμεν, ἢ ἀνάπαλιν τὸ ἡγούμενον ἀντὶ τοῦ ἑπομένου, ὥσπερ ἐνταῦθα· πρότερον γὰρ τοῦ Πληροῦν ἐστι τὸ Βαπτίζειν ἀγγεῖόν τι τὸν ἀρύτασθαι βουλόμενον.—Στ. 30, *Ταῖς φιάλαις*.] Διέγραψα τὰς λέξεις ταύτας, δόξαν τοῦτο καί τισι τῶν ΠΡ, καὶ παραλιπόντος καὶ τοῦ Α. Ἕτερος δέ τις τρέπειν παρῄνει εἰς τὸ, Ὁ Φάλης, ὡς ἡρμήνευσε καὶ ὁ Ἰταλὸς μεταφραστὴς accompagnata era dalla figura di un Priapo. Καὶ ταῦτα μὲν περὶ τῶν νεανικῶν τούτων κώμων τοῦ νέου βασιλέως ἔγραψάν τινες τῶν ἱστορηκότων τὰ κατ' Ἀλέξανδρον· ἐγὼ δ' ἂν μᾶλλον πεισθείην Ἀῤῥιανῷ (ς', 28) λέγοντι, « Ταῦτα δὲ οὔτε Πτολεμαῖος » ὁ Λάγου, οὔτε Ἀριστόβουλος ὁ Ἀριστοβούλου ἀνέγραψαν, οὐδέ τις ἄλλος, » ὅντινα ἱκανὸν ἄν τις ποιήσαιτο τεκμηριῶσαι ὑπὲρ τῶν τοιούτων· καί μοι » ὡς οὐ πιστὰ ἀναγεγράφθαι ἐξήρκεσαν ». Οὐ δὲ γὰρ εἰκὸς, καίπερ ὑπὸ τῶν κολάκων ἤδη διεφθορότα τὴν γνώμην, ἐπὶ τοσοῦτον ἐκδεδιῃτῆσθαι τὸν Φιλίππου, ὥστε χαίρειν φράσαντα τῇ προσηκούσῃ μάλιστα τοῖς βασιλεῦσι σεμνότητι τὸν τοῖς κιναίδοις οἰκεῖον ἐπανελέσθαι βίον.

ΣΕΛΙΔ. 255, στ. 2, Γεδρωσίας.] Ἐπλανήθη ἐνθάδε ὁ Πλούταρχος, Γεδρωσίας, λέγων, δέον εἰπεῖν Καρμανίας, ὥσπερ ἔδοξε τοῖς κριτικοῖς. —Στ. 11. Περὶ τὴν Ἀραβίαν.] Παρὰ τὴν Ἀραβίαν γραπτέον εἶναί τις τῶν ΠΡ εἴκασε μάλα πιθανῶς. —Στ. 15, Τὸ περὶ Μαλλοὺς τραῦμα.] Ἀντὶ τοῦ Τραῦμα, φέρεται παρὰ πᾶσι, Στράτευμα· ὁ τῶν κριτικῶν οἱ μὲν εἰς τὸ Πάθημα, ἢ Ἥττημα, οἱ δὲ εἰς τὸ Στράγγευμα (τουτέστι, διατριβήν), οἱ δὲ εἰς τὸ Τραῦμα τρέπειν παρῄνουν. Προειλόμην τὴν τελευταίαν ταύτην διόρθωσιν, οὐ μόνον διὰ τὸ πλησιεστέραν εἶναι τῇ ἡμαρτημένῃ γραφῇ, ἀλλ' ὅτι καὶ συνᾴδει οἷς ἐν τοῖς πρόσθεν (§ 55, σελ. 244) εἴρηκε Πλούταρχος, « Ἐν αἷς δ' ἡμέραις Ἀλέξανδρος ἐν Μαλλοῖς

ἘΤΡΩΘΗ.— Στ. 19, Ἐνεποίησε.] Ἐξ ΗΔ ἡ προσθήκη τῆς προθέσεως.— Στ. 28, Ὀξυάρτην.] Ὀξάθρην τοῦτον Ἀῤῥιανὸς (γ', 19) καλεῖ.

ΣΕΛΙΔ. 256, στ. 2, Καθεῖρξε τὸν Ἀβουλίτην.] Καὶ ἀπέκτεινεν ὕστερον, καθὰ καὶ τὸν υἱὸν (Ἀῤῥιαν. ζ', 4).— Πολύμαχος.] Οὐδεμίαν τούτου μνήμην ποιοῦνται, Κύρτιος, Στράβων καὶ Ἀῤῥιανὸς, ἱστορηκότες ὅμως κἀκεῖνοι τὰ περὶ τῆς διορύξεως τοῦ Κύρου τάφου. Ἀῤῥιανὸς δὲ φησιν (ς, 29) ὅτι « Ἀλέξαν-» δρος ξυλλαβὼν τοὺς μάγους τοὺς φύλακας τοῦ τάφου ἐστρέβλωσεν, ὡς » κατειπεῖν (ἴσ. γρ. κατείποιεν) τοὺς δράσαντας· οἱ δὲ οὐδὲν οὔτε » σφῶν οὔτε ἄλλου κατεῖπον στρεβλούμενοι, οὐδὲ ἄλλῃ πῃ ξυνηλέγ-» χοντο (ἴσ. γρ. ἐξηλέγχοντο) ξυνειδότες τῷ ἔργῳ· καὶ ἐπὶ τῷδε » ἀφείθησαν ἐξ Ἀλεξάνδρου ».—Στ. 11, Ὦ ἄνθρωπε... περικαλύπτει.] Παρὰ τῷ Ἀῤῥιανῷ (Ἀναβάσ. Ἀλεξάνδ. ς', 29) οὕτω φέρεται ἡ ἐπιγραφή· « Ὦ ἄνθρωπε, ἐγὼ Κῦρός εἰμι ὁ Καμβύσου, ὁ τὴν ἀρχὴν Πέρσαις καταστη-» σάμενος, καὶ τῆς Ἀσίας βασιλεύσας. Μὴ οὖν φθονήσῃς μοι τοῦ μνήματος ». ἧς ἡ παρὰ τῷ Στράβωνι (ΙΕ, σελ. 730) τούτοις μόνον διαφέρει, ὅτι ἐλλείπει ταῖς λέξεσιν, Ὁ Καμβύσου, καὶ φέρει Κτησάμενος (ὥσπερ ὁ Πλούταρχος), ἀντὶ τοῦ Καταστησάμενος, Καὶ Βασιλεὺς, ἀντὶ τοῦ Βασιλεύσας.— Στ. 12, Ὅθεν.] Ἐκ ΔΓ, ΑΤ, Πόθεν.— Στ. 13, Μὴ οὖν.] Γράφε, Μή μοι οὖν.— Στ. 16, Τὴν ἀδηλότητα καὶ τὴν μεταβολήν.] Ὥσπερ ἂν εἰ καὶ ἔλεγε, Τὴν ἀδηλότητα τῆς μεταβολῆς, τῶν ἀνθρωπίνων δηλονότι πραγμάτων. — Στ. 19, Κατασπείσας ἑαυτοῦ.] Σπονδὰς ἑαυτοῦ καταχέας.— Καὶ τῶν τριχῶν ἀπαρξάμενος.] Ὁμοίως τοῖς Ἕλλησιν οἱ τοῦ σφραγησομένου ἱερείου τρίχας ἐκτέμνοντες τοῦ μετώπου εἰς πῦρ ἔβαλλον πρὸ τοῦ τῆς θυσίας κατάρξασθαι· διὸ καὶ ἀπαρχαὶ ἐλέγοντο. Δηλοῖ δὲ καὶ Ὅμηρος (Ὀδυσσ. γ', 446),

Εὔχετ' ἀπαρχόμενος, κεφαλῆς τρίχας ἐν πυρὶ βάλλων.

— Στ. 21, Ἡδέως γενέσθαι.] Σημειοῦ τὴν φράσιν τοῦ παρακμάζοντος Ἑλληνισμοῦ, ἰσοδυναμοῦσαν τῇ παῤ ἡμῖν, Εὐθυμῶ, ἢ Ἐκραθυμῶ (χυδ. Ξεραθυμῶ ἢ Ξεφαντόνω, ἴδ. Πρόδρ. Ἑλλ. Βιβλιοθ. σελ. 303, καὶ Ἡλιοδώρ. Β, σελ. 291). Ἐχρήσατο Πλούταρχος καὶ ἀλλαχοῦ (ἴδ. Στεφ. Θησαυρ· Ἑλλην. γλ. Α, σελ. 1432), καὶ πρὸ τοῦ Πλουτάρχου οἱ τῶν Ἀποκρύφων καλουμένων τῆς Παλαιᾶς διαθήκης βιβλίων συγγραφεῖς, ἐξ ὧν ἀπόχρη τοῦτο μόνον παραθέσθαι (Τωβ. ζ', 9) μαρτύριον, « φάγε, πίε, καὶ ἡδέως γίνου ».— Στ. 22, Αὐτὸν δ' ἐκεῖνον... ὄψεσθαι.] Τὸν Ἀλέξανδρον ὁ Κάλανος

όψεσθαι.— Στ. 27, Ἄλλος Ἰνδός.] Ὁ καλούμενος Χηγὰν, περὶ οὗ ἔπιθι τὸν Δαμασκηνὸν Νικόλαον (Προδρ. Ἑλλ. Βιβλ. σελ. 270).

ΣΕΛΙΔ. 257, στ. 1, Ἀκρατοποσίας.] Περὶ τῆς μωρᾶς ταύτης ἀκρατοποσίας ἔπιθι καὶ τὸν Αἰλιανὸν (Ποικ. ἱστορ. Β. μά, σελ. 36).— Στ. 2, Τὸ νικητήριον, στέφανον ταλάντου.] Ἐξ ΕΔ καὶ ἡ στίξις καὶ ἡ γραφὴ ΑΤ, Τὸ νικητήριον στέφανον τάλαντον. ΔΤ. Τὸν νικητήριον στέφανον τάλαντον· ἀνθ' ἧς οἱ ΠΡ ἔγραψαν ἀπιθάνως πάνυ, Τὸ νικτήριον, στέφανοντ' [τουτέστι τριακοσίων] ταλάντων, τὰ μωρὰ δηλονότι βραβεῖα, ἀποφήναντες μακρῷ μωρότερα. Ἣν προειλόμην διόρθωσιν ἐξέφρασαν καὶ οἱ μεταφρασταὶ, ὧν ὁ Ἰταλὸς εἴρηκε Ottenuta così avendo in premio la corona ch' era del valor di un talento. Ἔπιθι καὶ τὸν Ἀθήναιον (ί, σελ. 437).— Στ. 7, Στάτειραν.] Σεσημείωται τοῖς ΠΡ, συνᾴδειν τὸν Πλούταρχον καὶ ἑτέροις πολλοῖς περὶ τοῦ ὀνόματος τῆς Δαρείου θυγατρὸς, Ἀῤῥιανοῦ μόνου Βαρσίνην αὐτὴν καλοῦντος.— Διανέμων δὲ τὰς ἀρίστας τοῖς ἀρίστοις.] Ἐς ὀγδοήκοντα, κατ' Ἀῤῥιανὸν (ζ', 4), ἐνενήκοντα καὶ δύο, κατὰ τὸν Ἀθήναιον (ιβ', σελ. 538), ἐνενήκοντα, κατὰ τὸν Αἰλιανὸν (Ποικ. ἱστ. ή, 7, σελ. 101).— Στ. 9, Γάμον ἄλλον ἑστιάσας.] Ἐξ ΗΔ τὸ Ἄλλον, ΑΤ, παρ' ἅπασι Καλόν. Ὁ δὲ νοῦς, Δεύτερον τοῦτον γάμον, ἄλλον παρὰ τὸν τῶν ἑταίρων.— Ἐννακισχιλίων.] Ὑπὲρ τοὺς μυρίους φησὶν Ἀῤῥιανὸς (ζ', 4,).— Στ. 12, Διαλύσας.] ΔΓ (ἀμείνων) Διέλυσε — Στ. 14, Ἀντιγένης.] Ταῤῥίαν, οὐκ Ἀντιγένην, ἀλλαχοῦ (Περὶ τῆς Ἀλεξ. τύχ. ἢ ἀρετ. Β, 7) φησὶ Πλούταρχος τοῦτο προσποιήσασθαι.

ΣΕΛΙΔ. 258, στ. 14, Καὶ διδόντες λόγον.] ΔΓ, Καὶ διαδόντες λόγον. Οὐδετέρα τῶν γραφῶν ἔῤῥωται. Εἰκὸς δὲ μετατετοπίσθαι ἐνθάδε τὰς λέξεις ἐκ τῶν κατωτέρω, ὡς ἔδοξέ τινι τῶν ΠΡ, οὕτω πως γράψαντος τὴν ἀρχὴν Πλουτάρχου, Ἐταπεινοῦντο καὶ εὕρισκον αὐτούς... Τέλος δὲ, δόντες [ἑαυτοῖς] λόγον, καὶ συμφρονήσαντες ἐβάδιζον κ. τ. λ.— Στ. 20, Προσεστῶτες.] Ἐξ ΗΔ, ΑΤ, Προεστῶτες. Ἔστι δὲ Πρὸς τῇ σκηνῇ ἑστῶτες.— Κοίρανον.] Ἡγεμόνα, βασιλέα, κατὰ τὸ Ὁμηρικὸν (Ἰλιάδ. Β, 204),

Οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω.

Ἐνδέχεται μέντοι τὸν Πλούταρχον γεγραφέναι, Κάρανον, τὸ διπλοῦν αἰνιττόμενον τοῦ ὀνόματος νόημα· οὐ μόνον γάρ ἐστι κύριον, ᾧ ἐκαλεῖτο ὁ

Ἀλεξάνδρου πρόγονος, καὶ πρῶτος βασιλεύσας Μακεδόνων, ὄνομα, ὥσπερ ἀνωτέρω (§ 2, σελ. 185) Πλούταρχος εἴρηκεν, ἀλλὰ καὶ ταὐτὸν προσηγορικῶς σημαίνει τῷ Κοίρανος, παρὰ τὸ Κάρα δηλονότι τὸ σημαῖνον τὴν κεφαλήν· ὅθεν καὶ ῥῆμα Καρανόω παρ' Αἰσχύλῳ (Χοηφ. 524),

Καὶ πῆ τελευτᾷ καὶ καρανοῦται λόγος;

τουτέστι κεφαλαιοῦται· οὐδὲ γὰρ πείθομαι τοῖς λέγουσι Περσικὸν εἶναι τοὔνομα, ὡρμημένοις ἴσως ἐκ τούτου, ὅτι παρὰ τῷ Ξενοφῶντι (Ἑλληνικ. Α, 4. § 1) Κάρανος ὁ Κῦρος καλεῖται, τουτέστιν ἡγεμὼν αὐτοκράτωρ, καὶ οἷον κεφαλὴ τῶν ὑπ' ἐκείνῳ στρατευομένων. Ἔστι γὰρ Κάρηνον, οὐδετέρως, ἡ κεφαλή, ὡς τὸ παρ' Ὁμήρῳ (Ὕμν. εἰς Ἀθην. 8) τοῦ Διὸς Ἀθάνατον κάρηνον, καὶ κατὰ Δωριέων διάλεκτον Κάρανον, ἀλλ' εἴη ἂν καὶ ἀρσενικῶς, Ὁ Κάρηνος καὶ Κάρανος, κατὰ τὸ, Ὁ δόρπος καὶ Τὸ δόρπον, Ὁ ζυγὸς καὶ Τὸ ζυγὸν, καὶ ἄλλα πλεῖστα διττοκλιτούμενα, καὶ λέγοιτο, Κάρανος στρατοῦ, παραπλησίως τῷ παρὰ τοῖς Γάλλοις, Chef d' une armée.— Στ. 22, Ἐδάκρυε.] ΔΓ, Ἐδάκρυσε. — Στ. 30, Τεχνιτῶν.] Τοὺς σκηνικοὺς κατ' ἐξοχὴν, τουτέστι τοὺς ἐν θεάτροις ἀγωνιζομένους ἐνθάδε σημαίνει, οὓς καὶ εἰδικωτέρως, Περὶ Διόνυσον τεχνίτας, καὶ Διονυσιακοὺς ἐκάλουν (Γαλλιστὶ Artistes du théâtre.)

ΣΕΛΙΔ· 259. στ. 2, Δίαιταν, ἀλλ' ἅμα τῷ τὸν ἰατρὸν κ. τ. λ.] Ἐκ ΔΓ οἱ ΠΡ προσέθηκαν τὸ, Ἅμα, ΑΤ, Δίαιταν, ἀλλὰ τῷ τὸν ἰατρόν· ἄμεινον δ' ἂν γράφοις δίχα τοῦ συνδέσμου, Δίαιταν, ἅμα τῷ τὸν ἰατρόν.—Στ. 3. Γλαῦκον.] Γλαυκίαν, τὸν ἄθλιον τοῦτον ἰατρὸν Ἀῤῥιανὸς (Ζ, 14) ὀνομάζει· καὶ καλῶς ποιῶν οὐ πείθεται τοῖς ἱστορήσασιν οὕτως ἀπηνὲς ἔργον Ἀλέξανδρον ἐξεργάσασθαι. Ἔοικε δὲ ὁ αὐτὸς εἶναι καὶ ὁ ἐμπειρικὸς ἰατρὸς Γλαυκίας, ὁ καί τινα τῶν Ἱπποκράτους ὑπομνηματισάμενος, οὗ καὶ Κέλσος καὶ Γαληνὸς μνημονεύουσιν οἱ ἰατροί. —Στ. 7, Ἵππους τε κεῖραι... καὶ ἡμιόνους.] Πέρσας μιμούμενος ἐκέλευσε τοῦτ' Ἀλέξανδρος, ὡς ἐσημειώσαντο οἱ ΠΡ, παραθέμενοι ἅ φησιν Ἡρόδοτος, (Θ, 24) περὶ τοῦ ἐπὶ Μασιστίῳ πένθους τῶν βαρβάρων, « Σφέας τε αὐτοὺς κείροντες, καὶ τοὺς ἵππους καὶ τὰ ὑποζύγια». — Στ. 13. Κοσσαίων.] Ἐξ ΕΔ ἡ τροπὴ τῆς πτώσεως καὶ τοῦ ἀριθμοῦ, ἐκ δὲ Ἀῤῥιανοῦ καὶ Διοδώρου τοῦ Σικελιώτου ἡ γραφὴ τῆς πρώτης συλλαβῆς, ΑΤ, Κουσσαῖον.—Στ. 15. Ταφήν.] Ἐκ ΔΓ, ΑΤ, Τάφον

— Στ. 16, Ἀπὸ μυρίων ταλάντων.] ὅσων καὶ Ἀῤῥιανὸς (Ζ, 14) ἱστόρηκε. Διόδωρος δὲ καὶ Ἰουστῖνος, Ἀπὸ μυρίων καὶ δισχιλίων εἰρήκασιν, ὡς ἐσημειώσαντο οἱ ΠΡ. —Στ. 18, Στασικράτην.] Δεινοκράτην τοῦτον ὀνομάζεσθαι παρὰ τῷ Βιτρουΐῳ ἐσημιώσαντο οἱ ΠΡ.—Στ. 23, Ἐξεργάσεσθαι ] Ἐξ ΕΔ, ΑΤ, Ἐξεργάσασθαι. —Στ. 29, Ἀφῖκτο.] Ἐξ ΗΔ, ΑΤ, Ἀφίκετο. Μαρμυροῦσι δὲ τῇ διορθώσει καὶ οἱ μεταφρασταί, καθ' ὑπερσυντελικὸν χρόνον ἑρμηνεύσαντες τὸ ῥῆμα, πρὸς δὲ καὶ παράλληλον χωρίον Πλουτάρχου (Καισαρ. § 41, σελ. 303) τοδί· « Ἀφράνιος δὲ (νεωστὶ γὰρ ἐξ Ἰβηρίας ἀφῖκτο κακῶς στρατηγήσας), διαβαλλόμενος κ. τ. λ. ».

ΣΕΛΙΔ. 260, στ. 3, Εἶδε.] ΔΓ, Ὁρᾷ.— Στ. 7, Πυθαγόραν.] Διὰ διφθόγγου τὴν πρώτην ὁ Ἀῤῥιανὸς, Πειθαγόραν.— Στ. 15, Οἱ σφαιρίζοντες.] Γραπτέον, Οἱ συσφαιρίζοντες, ὥσπερ εἴκασέ τις τῶν ΠΡ, καὶ ἡρμήνευσεν ὁ Α, qui jouoient avec lui. — Στ. 26, Ἠφάνισεν.] Ἀπέκτεινε δηλονότι, ὥς φησι Διόδωρος ὁ Σικελιώτης (ΙΖ, 116).— Στ. 28, Ἰόλαος.] Κατωτέρω δὲ (§ 77, σελ. 263), ὡς ἀπὸ τῆς Ἰόλας (οὐκ Ἰόλλας, ὥς τινες γράφειν κἀνταῦθα παρῄνουν) εὐθείας. Καὶ τὰ μὲν εἰς αος κοινά, τὰ δὲ εἰς ας, ὡς καὶ ἀλλαχοῦ (Ἰσοκράτ. Β, σελ. 264) σεσημείωται περὶ τῶν παρὰ τὸ Λαὸς συντεθειμένων, κατὰ συγκοπὴν εἰσὶ δωρικὴν, οἷον Ἀρχέλαος καὶ Ἀρχέλας, Ἀγησίλαος καὶ Ἀγησίλας· Εὕρηται δὲ καὶ ὁ Νικόλαος, Σπαρτιάτης ἀνὴρ, ὁ τοῦ Βούλιος, Νικόλας, ὁμοίως τῇ παρ' ἡμῖν συνηθείᾳ, καλούμενος παρ' Ἡροδότῳ (Ζ, 137).

ΣΕΛΙΔ. 261, στ. 8, Μακρὰν ἥκουσι τῶν ἐλέγχων.] Οἱ γὰρ ἔλεγχοι ἐν τῇ Μακεδονίᾳ ἦσαν, ἡ δὲ κατηγορία ἐν Βαβυλῶνι ἐγίνετο, ὅπου μὴ παρὼν Ἀντίπατρος οὐκ εἶχεν ἀπολογεῖσθαι.— Στ. 9, Ἀναγελάσας.] Οὐχ ἁπλῶς τὸ Γελᾷν σημαίνει ἐνθάδε ἡ λέξις, ἀλλὰ τὸ Καταγελᾷν τουτέστι τὸ μετὰ χλευασμοῦ γελᾷν καταμωκώμενον τοῦ λέγοντος· ὅθεν καὶ ἡ παρ' ἡμῖν συνήθεια, ἐπὶ τοῦ χλευάζω καὶ καταγελῶ τέταχε καὶ τὸ Ἀναγελῶ καὶ τὸ Περιγελῶ, καὶ αὐτὸ προσέτι τὸ ἁπλοῦν Γελῶ, οἷον, Τὸν ἀναγέλασε, τὸν ἐπεριγέλασεν, ἢ τὸν ἐγέλασεν ὅλος ὁ κόσμος. Τοῦτο δὲ τὸ ἁπλοῦν σημαίνει παρὰ ταῦτα καὶ τὸ Ἀπατῶ, διὰ τὸν παρακολουθοῦντα δηλονότι γέλωτα τῶν ἀπατώντων ἐπὶ τῇ τῶν ἀπατωμένων εὐηθείᾳ τε καὶ εὐπιστίᾳ, κατὰ τὸ ὑπὸ τοῦ Θεόγνιδος (Παραινεσ. 59) περὶ τῶν πονηρῶν εἰρημένον·

Ἀλλήλους δ' ΑΠΑΤΩΣΙΝ, ἐπ' ἀλλήλοισι ΓΕΛΩΝΤΕΣ,

— Στ. 10, Εἰς ἑκάτερον τῶν λόγων.] Τὸν Κρείττω λόγον καὶ τὸν Ἥττω λεγόμενον, τουτέστι τὸν δυνάμενον ταὐτὸ καὶ δίκαιον καὶ ἄδικον, καὶ ψευδὲς καὶ ἀληθές, καὶ καλὸν καὶ αἰσχρὸν ἀποδεικνύναι. Ταῦτα μέντοι οὐκ Ἀριστοτέλους, ἀλλὰ τῶν σοφιστῶν ἦσαν εὑρήματα, τῶν καλουμένων Ἀντιλογικῶν ἢ Ἐριστικῶν, οὓς Ἀριστοτέλης πολλαχοῦ, καὶ Πλάτων, καὶ Ἰσοκράτης (ἴδ. Ἰσοκράτ. Β, 159-160 καὶ 236), μηδὲν ὑγιὲς λέγοντας ἐξήλεγξαν, ὁ δὲ χαριέστατος Ἀριστοφάνης (Νεφελ. 889-1104) καὶ κομιδῇ γελοίους ἀπέδειξεν. Εἰσηγητὴς δὲ τούτων Πρωταγόρας ὁ Ἀβδηρίτης, « Ὃν Εὔδοξος ἱστορεῖ τὸν ἥσ- » σω καὶ κρείσσω λόγον πεποιηκέναι, καὶ τοὺς μαθητὰς δεδειχέναι (γρ. Τοὺς » μαθητὰς δεδιδαχέναι, ἢ Τοῖς μαθηταῖς δεδειχέναι) » τὸν αὐτὸν ψέγειν καὶ ἐπαινεῖν (Στεφ. Βυζαντ. λέξ. Ἄβδηρα) ».— Οἰμωξομένου γ', ἄν.] ΠΡΔ, ΑΤ, Οἰμωξόμενοι ἄν. ΔΓ, Οἰμωξομένων ἄν· Οἰμώξει μὲν οὖν, ἄν. Προειλόμην τὴν διόρθωσιν Οἰμωξομένου (τοῦ Ἀριστοτέλους δηλονότι) τῶν τριῶν ἑτέρων γραφῶν, ὡς τῶν μὲν δύο (Οἰμωξόμενοι καὶ Οἰμωξομένων) οὐκ ἐχουσῶν πρὸς ὃ συναφθεῖεν, τῆς δὲ τρίτης (Οἰμώξει) οὐδὲ καθαρῶς ἑλληνικῆς οὔσης, εἴτ' εἰς Ἀριστοτέλην, εἴθ', ὡς ἔδοξέ τινι τῶν ΠΡ, εἰς Ἀντίπατρον, ἀναφέροιτο. Οἰμώξεται γάρ, οὐκ Οἰμώξει, λέγειν φιλοῦσι, καθὰ καὶ ἐν πλείστοις ἄλλοις ῥήμασιν, ὧν τὸν μὲν ἐνεστῶτα κατ' ἐνεργητικήν, τὸν δὲ μέλλοντα κατὰ μέσην διάθεσιν ἐκφέρουσι.— Στ. 12, Οὕτω ] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Αὐτῷ.— Στ. 16, Κραδανθῆναι.] Σεισθῆναι, τιναχθῆναι, ταραχθῆναι, ὡς ἐξηγεῖται Ἡσύχιος· ὅθεν καὶ Κραδασμὸν γῆς τὸν σεισμὸν Ἐπίκουρος (παρὰ Διογ. Λαερτ. ί, 105) ἐκάλει.— Στ. 22, Μαντευόντων.] Σημειοῦ τὸν μήπω καταχωρισθέντα ἐν τοῖς Λεξικοῖς ἐνεργητικὸν τύπον τοῦ Μαντευόντων, ὅμοιον τῷ τε ἐν ἄλλοις (Πλουτάρχ· Μέρ. Β, σελ. 456) σημειωθέντι τοῦ Προμαντεύων καὶ τῇ παρ' ἡμῖν συνηθείᾳ. Ἀποθετικῶς γὰρ ἐκφέρειν οἱ δόκιμοι φιλοῦσι τὴν ἐνεργητικὴν σημασίαν, Μαντεύομαι λέγοντες καὶ Προμαντεύομαι — Στ. 24, Καταφρόνησις.] ΔΓ, Περιφρόνησις.— Ἡ δεισιδαιμονία, δίκην ὕδατος ἀεὶ πρὸς τὸ ταπεινούμενον, καὶ ἀναπληροῦν ἀβελτερίας καὶ φόβου τὸν Ἀλέξανδρον γενόμενον.] Ὅτι μὲν οὐκ ἔῤῥωται τὸ χωρίον, καὶ τυφλῷ δῆλον· ἄλλοι δ' ἄλλως αὐτὸ διορθοῦν ἐπεβάλοντο, οἱ μὲν δεῖν γράφειν φάσκοντες, Ἡ δεισιδαιμονία, δίκην ὕδατος ἀεὶ πρὸς τὸ ταπεινούμενον ῥέουσα καὶ ἀναπληροῦσα τῶν γενομένων, οὐκ οἶδ' ὅπως συναρτῶντες, πλὴν εἰ μὴ διαγράφειν ὅλως ἐβούλοντο τὰ λοιπά. οἱ δέ, Ἡ δει-

δεισιδαιμονία, δίκην ὕδατος, ἀεὶ πρὸς τὸ ταπεινούμενον καὶ κάταντες ῥέουσα, ἀβελτερίας καὶ φόβου τὸν Ἀλέξανδρον ἀνεπλήρου, καλῶς μὲν τῷ νῷ, οὐκ ἀσφαλεῖ δὲ, οὐδὲ τοῖς παραδεδομένοις τῆς κριτικῆς ἐπιστήμης κανόσιν οἰκεία, τῇ θεραπεία· ἄλλοι δὲ παραβολώτερον, ἀνωτέρω τὸ ἕλκος λανθάνειν ὑποτοπάσαντες, πυρὶ τὸ λεγόμενον καὶ σιδήρῳ θεραπεύειν ἐθάῤῥησαν, γράφοντες, Καὶ μαντευόντων μεστὸν ἦν τὸ βασίλειον, καὶ ἀναπληρούντων ἀβελτερίας καὶ φόβου τὸν Ἀλέξανδρον. Οὕτως ἄρα δεινὸν μὲν ἀπιςία... ἡ δεισιδαιμονία, δίκην ὕδατος ἀεὶ πρὸς τὸ ταπεινούμενον παραγενόμενον. Τῶν δέ τις ἐμοὶ φίλων ὁμογενῶν οὕτως ᾤετο δεῖν γράφειν, Δεινὴ δ' αὖθις ἡ δεισιδαιμονία δίκην ὕδατος ἀεὶ πρὸς τῷ ταπεινοῦν καὶ ἀναπληροῦσα ἀβελτερίας καὶ φόβου τὸν Ἀλέξανδρον, τὸ τῆς ἑπομένης μετοχῆς (Γενόμενον) ἀσυνάρτητον οὐδ' αὐτὸς ἔχων ὅπως θεραπεύσειε. Γραπτέον ἴσως, Ἡ δεισιδαιμονία, ἣ, δίκην ὕδατος ἀεὶ πρὸς τὸ ταπεινούμενον καταῤῥέοντος, ἀνεπλήρου ἀβελτερίας κατάφοβον τὸν Ἀλέξανδρον γενόμενον.—Στ. 27, Καίπερ χρησμῶν.] ΔΓ, Καὶ χρησμῶν· Καὶ περὶ χρησμῶν. Ἐμοὶ δὲ ἄμεινον ἔδοξε, ὥσπερ καί τινι τῶν ΠΡ, διαγράφειν ὅλως τὸ, Καίπερ.— Στ. 30 Μηδίου.] Μήδειον τοῦτον ὀνομάζει παρ' Ἀθηναίῳ (σελ. 434) ἡ Νικοβούλη, τὰ κατ' Ἀλέξανδρον ἱστορήσασα καὶ αὐτή. Ἦν δὲ Μήδιος Θεσσαλὸς τὸ γένος, καὶ ὥς φησιν Ἀῤῥιανὸς (Ζ, 24), τῶν ἑταίρων Ἀλεξάνδρου ὁ πιθανώτατος.

ΣΕΛΙΔ. 262, στ. 2, Σκύφον Ἡρακλέους.] Εἰς δέον ἐσημειώσατό τις τῶν ΠΡ, ἐκ τοῦ Μακροβίου (Κρονικ. Ε, 21), Κάνθαρον μὲν ὀνομάζεσθαι τὸ ποτήριον, ᾧ Διόνυσος ἔπινε, Σκύφον δὲ, ᾧ Ἡρακλῆς. Ἐχώρει δὲ τὸ θανάσιμον τοῦτο ποτήριον δύο χόας, ὥς φησιν Ἔφιππος (παρ' Ἀθην. σελ. 434). Λέγεται δὲ διγενῶς, Ὁ σκύφος καὶ Τὸ σκύφος· ἔτι δὲ καὶ Σκύπφος προσθέσει τοῦ π (Ἀθην. σελ. 498), Τοῦτο δὲ τὸ πφ τῶν προσβορείων Εὐρωπαίων οἱ μὲν δι' ἑνὸς, οἱ δὲ διὰ διπλοῦ φ, οἱ δὲ δι' ἑνὸς, οἱ δὲ διὰ διπλοῦ π ἐξήνεγκαν· Scif γὰρ Esquif, Sciff, Squiffo, Ship, Skeppe, ἐν διαφόροις φωναῖς τὴν αὐτὴν ἔχοντα σημασίαν τοῦ Πλοίου, λέγεται παρ' ἐκείνοις. Εἰκὸς γὰρ καὶ παρὰ τοῖς Ἕλλησι τὸ ἀρχαῖον ταὐτὸ σημαίνειν τὸ Σκύφος τῇ Σκάφῃ ἢ τῇ Σκαφίδι, τουτέστιν ἀγγείῳ ξυλίνῳ κεκοιλαμένῳ, μικρῷ μὲν, οἵῳ ποτηρίῳ χρῆσθαι, μεγίστῳ δὲ, καὶ νηῒ, οἷα ἦσαν τὰ παρὰ τοῖς

ἀρχαίοις μονόξυλα πλοῖα· « Τὸ δὲ σκύφος ὠνομάσθη ἀπὸ τῆς σκαφίδος » φησί τις παρ' Ἀθηναίῳ (σελ. 499)· ὅθεν ἐστὶν ἐξηγεῖσθαι καὶ τὸν περὶ Ἡρακλέους ἄτοπον μῦθον, τὸν λέγοντα, ὅτι ποτηρίῳ διέπλευσε τὸν ὠκεανὸν, ἐπὶ τὰς Γηρυόνου βόας ὁρμῶν (Ἀθην. Τομ. Δ, σελ. 211). Τοῦτο γὰρ τὸ ποτήριον, τὸ Ἡρακλέους πλοῖον, Ἀλέξανδρος μὲν ὁ Αἰτωλὸς (παρὰ Εὐσταθ. εἰς Διονύσ. τὸν Περιηγ. 558) Λέβητα χάλκεον ὀνομάζει, Εὐφορίων δὲ Χαλκεῖαν ἄκατον. Καὶ σημείωσαι, ὅτι καὶ ἡ Ἄκατος καὶ πλοῖον ἐσήμαινε, καὶ ποτηρίου εἶδος ἦν, οὕτω καλούμενον, ὥσπερ καὶ τὸ Σκύφος. —Στ. 3, Διαλγής.] Ἐπιτείνει ἡ Δια, καθὰ καὶ ἡ Περὶ ἐν τῷ Περιαλγής.—Στ. 5, Ἐξόδιον.] Σεσημείωται ἤδη ἀλλαχοῦ (Ἡλιοδώρ. Β, σελ. 367) τοδὶ τὸ χωρίον, καὶ ὡς ἐντεῦθεν ἡ παρ' ἡμῖν συνήθεια ἠρανίσατο τὸ Ἐξόδιον, ἐπὶ τῆς τῶν ἀποιχομένων ἐκφορᾶς καὶ κηδείας, καὶ προσέτι ἐπὶ τοῦ ἐπ' αὐτοῖς θρήνου. Νῦν δὲ παραβεβλήσθω τούτῳ καὶ ἕτερον Πλουτάρχου (Πελοπίδ. § 34, Μέρ. Β, σελ. 197) χωρίον, « Τὴν Διονυσίου ταφὴν, οἷον τρα» γῳδίας μεγάλης, τῆς τυραννίδος ἐξόδιον θεατρικὸν γενομένην ».—Στ. 9, Ἐν δὲ ταῖς ἐφημερίσιν.] Ἃς ἀνέγραψαν Εὐμένης τε ὁ Καρδιανὸς καὶ Διόδοτος ὁ Ἐρυθραῖος, ὥς φησιν Ἀθήναιος (σελ. 434).—Τὰ περὶ τὴν νόσον.] Ἐξ ΗΔ ἡ προσθήκη τοῦ πρώτου ἄρθρου.—Στ. 10, Ὀγδόῃ ἐπὶ δεκάτῃ.] Παρέλιπε τὴν ἑπτακαιδεκάτην, ἀφ' ἧς ἤρξατο ἡ νόσος· ἦν δὲ ἡ ἐπιοῦσα τῆς ἐν ᾗ πρὸς Μήδιον ἐκώμασεν, ὡς εἴρηκεν ἀνωτέρω Πλούταρχος.—Στ. 12, Διημέρευσε.] Ἐξ ΗΔ (συναδούσης τοῖς μεταφρασταῖς), ΑΤ, Διημέρευε. —Στ. 16, Τῇ δεκάτῃ φθίνοντος.] Τουτέστι τῇ εἰκοστῇ πρώτῃ.—Στ. 18, Βαρέως ἔσχε.] Καθὰ ἐν τῇ συνηθείᾳ λέγομεν Ἐβάρυνεν ὁ ἄῤῥωστος, καὶ Ἐβάρυνεν ἡ ἀῤῥωστία. — Τὴν ἐπιοῦσαν ἡμέραν.] Τὴν ἐννάτην φθίνοντος, τουτέστι τὴν εἰκοστὴν δευτέραν —Στ. 21, Ἑβδόμῃ.] Τουτέστιν εἰκοστῇ τετάρτῃ· παρέλιπε γὰρ τὴν ὀγδόην φθίνοντος, τουτέστι τὴν εἰκοστὴν τρίτην.—Στ. 23, Ταξιάρχους.] Χιλιάρχας, φησὶν Ἀῤῥιανὸς (Ζ, 25).—Στ. 25, Τῇ ἕκτῃ.] Τῇ εἰκοστῇ πέμπτῃ.—Στ. 26, Ὁμοίως δὲ καὶ τὴν πέμπτην.] Τουτέστι, τὴν εἰκοστὴν ἕκτην.—Στ. 30, Ταύτης δέ τῆς ἡμέρας.] Τουτέστι τῆς εἰκοστῆς ἕκτης. Ἕτεροι μέντοι γράφειν (ἐκ ΔΓ) δεῖν φασὶν, Τετάρτης δ' ἡμέρας, ἵν' ἔχῃ νοεῖσθαι ἡ τετάρτη φθίνοντος, τουτέστιν ἡ εἰκοστὴ ἑβδόμη.

ΣΕΛΙΔ. 263, στ. 3, Τῇ δὲ τρίτῃ φθίνοντος.] Τουτέστι τῇ εἰκοστῇ ὀγδόῃ. — Στ. 7, Μηνύσεως.] ΔΓ. Ζητήσεως. — Στ. 8, Τοῦ Ἰόλα.] Τουτέστι, τοῦ Ἰολάου (ἴδ. ἀνωτέρ. σελ. 461), ὡς καὶ ἐν τῷ παρ' ἡμῖν

συνηθείᾳ, Τοῦ Νικόλα, ἀντὶ τοῦ, Τοῦ Νικολάου.— Σι. 14. Νωνάκριδι.] Ἐξ ΗΔ, ΑΤ, Νωνακρίδι. Νώνακρις γὰρ προπαροξυτόνως καλεῖται ἡ Ἀρκαδικὴ πόλις αὕτη, ἐν ᾗ τὸ μυθευόμενον τῆς Στυγὸς ὕδωρ, ὀλίγον ἐκ πέτρας στάζον, καὶ εἰς τὸν Κρᾶθιν ποταμὸν ἐμπῖπτον (Ἡροδότ. ς', 74 καὶ Παυσαν. ή, 18). Ἐκ τούτου δὲ καὶ τὸ ἐν Ἅδου Στυγὸς ὕδωρ ἐμυθεύθη, καθ' οὗ ὀμνύασιν οἱ παρ' Ὁμήρῳ θεοὶ (Ἰλιάδ. ό, 37-38),

Καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, ὅς τε μέγιστος
Ὅρκος δεινότατός τε πέλει μακάρεσσι θεοῖσιν,

ὥσπερ κατὰ τῆς Ἀρκαδικῆς Στυγὸς οἱ ἄνθρωποι.— Εἰς ὄνου χηλήν.] Πλίνιος δὲ (λ', 16) καὶ Βιτρούβιος (ή, 3) εἰς ἡμιόνου, Παυσανίας δὲ (ή, 18) εἰς ἵππου χηλήν, φησίν· Ἀντίγονος δ' ὁ Καρύστιος (Ἱστορ. παραδόξ. 174) μόνα τὰ κεράτινα ἀγγεῖα στέγειν τὸ Στυγὸς ὕδωρ ἱστόρηκε. Καὶ ταῦτα μὲν τὰ μυθικά, θαύματα μωροῖς· νῦν δὲ οὐδὲν ἔγνωσται τηλικαύτην ἔχον δηλητήριον δύναμιν ὕδωρ.— Σι. 22, Δυσζήλως.] Ζηλοτύπως.— Σι. 24, Προσαγαγοῦσα μετὰ τῆς ἀδελφῆς ἀπέκτεινε.] Τὸ μὲν Προσαγαγοῦσα, ἐστὶ πρὸς ἑαυτὴν ἐλθεῖν ποιήσασα· τὸ δέ, Μετὰ τῆς ἀδελφῆς ἀπέκτεινε, εἰκότως ἄν τις μέμψαιτο ὡς οὐ σαφῶς εἰρημένον. Ἐστι γάρ, καὶ ἀντὶ τοῦ, Ἡ Ῥωξάνη μετὰ τῆς ἰδίας ἀδελφῆς, τουτέστιν, ὑπὸ τῆς ἰδίας ἀδελφῆς βοηθουμένη, ἀπέκτεινε τὴν Στάτειραν, ἐκδέξασθαι τὸ λεγόμενον (καθὰ τις ἐξεδέξατο τῶν ΠΡ, ὃς ἴσως διὰ τοῦτο, καὶ τὸ Προσαγαγοῦσα ἔτρεψεν εἰς τὸ Προσαγαγοῦσαν), καὶ ἀντὶ τοῦ, Ἡ Ῥωξάνη προσαγαγοῦσα ἀπέκτεινεν αὐτήν τε τὴν Στάτειραν, καὶ τὴν ἀδελφὴν τῆς Στατείρας, ὡς ἡρμήνευσαν ὅ, τε Α καὶ ὁ Ἰταλὸς μεταφραστής, καὶ ὡς ἑρμηνευτέον εἶναί μοι δοκεῖ. Εἴη δ' ἂν ἡ τοιαύτη σύνταξις τοῦ παρακμάζοντος ἑλληνισμοῦ· οἷόν ἐστι καὶ τὸ τοῦ Ἀχιλλέως Τατίου (Ἐρωτικ. Α, σελ 35) «Τοῦτο μὲν ἔσβεσεν ἡ πονηρὰ τύχη ΜΕΤΑ σοῦ», ὅ ἐστιν, οὐ Τοῦτο ἔσβεσαν ἡ πονηρὰ τύχη καὶ σύ, ἀλλά, Ἡ πονηρὰ τύχη ἔσβεσε τοῦτο καὶ σέ. Τὰ γὰρ διὰ τῶν τῇ Μετὰ ἢ τῇ Σὺν συναπτομένων πλαγίων πτώσεων δηλούμενα, ἐὰν ᾖ, ἢ εἶναι νομίζηται, ἔμψυχα, ἥ τε πρὸς ἣν φέρονται εὐθεῖαν ἐνεργητικῷ συντάσσηται ῥήματι, συνεργοῦντα καὶ αὐτὰ τῷ ἐνεργοῦντι προσώπῳ νοεῖται. Αὐτίκα Ἰσοκράτης (Πρὸς Δημόνικ. σελ. 3), «Τίμα τὸ δαιμόνιον ἀεὶ μέν, » μάλιστα δὲ ΜΕΤΑ τῆς πόλεως» τουτέστιν, ἡνίκα οἱ πολῖται τιμῶσι, τίμα καὶ σὺ τὸ δαιμόνιον. Οὕτω καὶ Θουκυδίδης(Α, 127), «Ἤλασε δὲ [τοὺς ἐναγεῖς]

» καὶ Κλεομένης ὁ Λακεδαιμόνιος ὕστερον ΜΕΤΑ Ἀθηναίων στασιαζόντων» ὅ, μηδὲν δέον, ὁ σχολιαστὴς ὡς ἀμφίβολον χρῆζειν ὑπέλαβεν ἑρμηνείας, «Πότερον, ἤλασε μετὰ τῶν στασιαζόντων Ἀθηναίων, τουτέστι καὶ τοὺς στασιάζοντας, ἵνα μὴ ὦσιν ἐν τῇ πόλει οἱ ἀλιτήριοι, ἢ ἤλασε μετὰ τῶν Ἀθηναίων, » ὅτε ἐστασίαζον, ἵνα μὴ ὦσιν ἐν τῇ πόλει οἱ ἀλιτήριοι· ὅπερ ἄμεινον ». Παραπλησίως ἠπόρηται τοῖς σχολιασταῖς καὶ τὸ Ὁμηρικὸν τόδε (Ἰλιάδ. ό, 26),

Τὸν σὺ ΞΥΝ Βορέῃ ἀνέμῳ, πεπιθοῦσα θυέλλας.

« Ἄδηλον γὰρ εἴτε αὐτὴ [ἡ Ἥρα] καὶ ὁ Βοῤῥᾶς ἀνέπεισαν τὰς θυέλλας, εἰ » αὐτὴ ἔπεισε καὶ τὸν βοῤῥᾶν καὶ τὰς θυέλλας» (Εὐστάθ. σελ. 1003). Ἀλλ' ἄμεινον ἐνθάδε τὸ πρῶτον, ὅτι Ἥρα καὶ Βορέας ἔπεισαν τὰς θυέλλας, ἐπεὶ ἔμψυχος εἶναι ἐμπιστεύετο τοῖς πάλαι ὁ Βορέας, οὗ καὶ τοὺς παῖδας ὕστερον Ἡρακλῆς μνησικακήσας ἀνεῖλε· πλὴν εἴτις φαίη ποιητικῇ ἀδείᾳ τοῦτο πεφράσθαι, οἷόν ἐστι καὶ τὸ παρὰ Πινδάρῳ (Πυθ. 137-139) παράδειγμα τόδε,

Ματρὶ, τὰν κοῦραι παρ' ἐμὸν πρόθυρον
ΣΥΝ Πανὶ μέλπονται θαμὰ
Σεμνὰν θεὸν ἐννύχιαι,

ὅπου τὸ ἀμφίβολον ἐπιλύσασθαι βουλόμενος ὁ σχολιαστὴς φησίν, « Οὐχ ὅτι » αἱ κόραι σὺν τῷ Πανὶ χορεύουσι καὶ ἀνυμνοῦσι τὴν Ῥέαν, ἀλλὰ τὴν Ῥέαν καὶ τὸν Πᾶνα ἀνυμνοῦσι »· καὶ τὸ παρὰ τῷ Κωμικῷ Ἀριστοφάνει (Βατρ. 1511),

Νὴ τὸν Ἀπόλλω, στίξας αὐτοὺς
καὶ ξυμποδίσας,
μετ' Ἀδειμάντου τοῦ λευκολόφου
κατὰ γῆς ταχέως ἀποπέμψω,

τουτέστιν, Ἐγὼ στίξας αὐτοὺς καὶ τὸν Ἀδείμαντον κατὰ γῆς ἀποπέμψω. Ἀμφίβολα γὰρ ταῦτα καὶ ἐπίμεμπτα γίνεται, διὰ τὸ ἔμψυχον τῶν συναπτομένων τῇ προθέσει πλαγίων· ἐπεὶ ὅταν ἄψυχα ᾖ, οὐδὲν κωλύει καὶ οὕτω συντάττειν, οἷόν ἐστι τὸ τοῦ Θουκυδίδου (Β, 24), « Τριήρεις τε ΜΕΤ' αὐτῶν » ἐξαιρέτους ἑκατὸν ἐποιήσαντο . . . ὧν μὴ χρῆσθαι μηδεμιᾷ ἐς ἄλλο τι ἢ ΜΕΤΑ τῶν χρημάτων, κ. τ. λ. »· ἄψυχα γὰρ ὄντα τὰ χρήματα οὐ συγχωρεῖ

ἑτέρως ἐκδέξασθαι τὸ λεγόμενον, ἢ ὅτι ἐξαιρέτους ἐποιήσαντο τριήρεις καὶ ἐξαίρετα χρήματα, καὶ ὅτι ἔδοξεν αὐτοῖς μὴ χρῆσθαι μήτε ταῖς τριήρεσι μήτε τοῖς χρήμασι κ. τ. λ. Τοιοῦτον καὶ τὸ τοῦ Ἀνακρέοντος (Ὠδ. 53),

Στεφανηφόρου ΜΕΤ' ἦρος
Μέλπομαι ῥόδον θερινόν·

ἀψύχου γὰρ ὄντος τοῦ ἦρος, νοητέον ἐπάναγκες ὡς, Ἀνακρέων μέλπει τὸ ἔαρ καὶ τὸ ῥόδον, οὐχ ὡς, ὁ Ἀνακρέων καὶ τὸ ἔαρ μέλπουσι τὸ ῥόδον. Ἔστι μέντοι, καὶ ἐμψύχου ὄντος τοῦ συναπτομένου τῇ προθέσει, οὐδὲν ἧττον ἀμφιβολίας ἀπηλλάχθαι τὸν νοῦν, ἐὰν αὐτοπαθῶς ἐνεργῇ τὸ ἐνεργοῦν πρόσωπον, τουτέστιν, ἐὰν ἡ πρὸς ἣν ἡ μετάβασις γίνεται τῆς ἐνεργείας πτῶσις, μία τῶν ἐπιταγματικῶν οὖσα τυγχάνῃ ἀντωνυμιῶν, οἷον ἐπὶ τοῦδε τοῦ παραδείγματος (Ἀριστοφαν. Νεφέλ. 1449).

Οὐδέν σε κωλύσει ΣΕΑΥΤΟΝ ἐμβαλεῖν
ἐς τὸ βάραθρον ΜΕΤΑ Σωκράτους.

Κωλύει γὰρ ἡ ἐπιταγματικὴ ἑτέρως νοεῖσθαι τὸ λεγόμενον, ἢ ὅτι ἀμφοτέρους ἐμβαλεῖν ἑαυτοὺς εἰς τὸ βάραθρον κελεύει· ἐπεὶ οὐκ ἔστιν εἰπεῖν, Οὐδὲν κωλύει ὅπως σὺ καὶ Σωκράτης ἐμβαλεῖς σεαυτὸν κ. τ. λ., ὥσπερ ἦν εἰπεῖν ἐπὶ τοῦ προτέρου ἀριστοφανείου παραδείγματος, Ἐγὼ καὶ ὁ Ἀδείμαντος στίξαντες αὐτοὺς κατὰ γῆς ἀποπέμψομεν.— Στ. 27, Τὸν Ἀῤῥιδαῖον, ὥσπερ δορυφόρημα τῆς βασιλείας, ἐφελκόμενος.] Φιλίππου υἱὸς ἦν ὁ Ἀῤῥιδαῖος (Διοδωρ. Σικελ. ΙΗ, 1). Ἡ δὲ παραβολὴ ἀπὸ τῆς σκηνῆς· ἐκεῖ γὰρ οἱ βασιλεῖ ἢ τῶν ἐν τέλει τινὶ παρεπόμενοι θεράποντες καὶ δορυφόροι, καθὰ καὶ νῦν φιλεῖ γίνεσθαι ἐπὶ τῶν παρὰ τοῖς Εὐρωπαίοις θεάτρων, τοῦ πιθανοῦ μόνου χάριν παρέπονται, οὐκ ἀγωνιζόμενοι, οὐδέ τι λέγοντες ὅλως, ἀλλ' ὡς Ἀριστοφάνης (Βατρ. 940) φησί,

Πρόσχημα τῆς τραγῳδίας γρύζοντες οὐδὲ τουτί.

Διὸ καὶ Κενά, ἢ Κωφὰ πρόσωπα, καὶ Δορυφορήματα (Ἡσύχ. λέξ. Δορυφόρημα) ἐκαλοῦντο, καθὰ καὶ Λουκιανὸς (Πῶς δεῖ ἱστορ. συγγρ. § 4) φησίν, « Ὡς μὴ μόνος ἄφωνος εἴην ἐν οὕτω πολυφώνῳ τῷ καιρῷ, μη- » δ' ὥσπερ κωμικὸν δορυφόρημα κεχηνὼς σιωπῇ παραφεροίμην» καὶ πάλιν (Τοξαρ. ἢ φιλ. § 9), «Αἱ πολλαὶ ἐκεῖναι τραγῳδίαι, τοῖς κενοῖς τούτοις » καὶ κωφοῖς προσωπείοις ἐοικότας ὑμᾶς ἀπολίπουσαι, ἃ διῃρημένα (γρ. διηρ-

» μένα) τὸ στόμα, καὶ παμμέγεθες κεχηνότα, οὐδὲ τὸ σμικρότατον φθέγγε-» ται». Ἐλέγοντο δὲ καὶ Ἔ κ σ κ ε υ α· «Ἔσκευα (φησὶν Ἡσύχιος), τὰ πα-» ρεπόμενα πρόσωπα ἐπὶ σκηνῆς», τουτέστι τὰ πρόσωπον μὲν, οὐ μὴν ὡρισμένην σκευὴν, Ἡρακλέους, φέρ' εἰπεῖν, Ἀγαμέμνονος, Αἴαντος, ἤ τινος τῶν τοιούτων, ἔχοντα, ἀλλ' ἀσκεύως ἐπιτήδευμα τι μαγείρου, δούλου, θεράποντος, ἢ στρατιώτου ἐμφαίνοντα· σκευὴ γὰρ ἐλέγετο, οὐ μόνον τὸ προσωπεῖον, ἀλλ' ἡ ὅλη στολὴ, καὶ ἔτι ἡ τοῦ σώματος διάθεσις τοῦ ὑποκριτοῦ, ἐμφερὴς τῇ στολῇ καὶ σωματικῇ διαθέσει τοῦ ὃν ὑπεκρίνετο (ἴδ. Ἀριστοφάν. Βατραχ. 46-47 καὶ 108, Ἀχαρν. 435-478, καὶ Πολυδεύκ. Βιβλ. 4. κεφ. 19 § 3). Ἐκαλεῖτο δὲ καὶ ΠΑΡΕΙΣΑΚΤΑ ΠΡΟΣΩΠΑ τὰ μὴ σκευὴν ἔχοντα, ὡς ἔστιν ἀναλέξασθαι ἐκ τοῦδε Ἱπποκράτους τοῦ χωρίου (Νομ. § 1) ἐν ᾧ τοὺς κακοὺς τῶν ἰατρῶν τοῖς ἐπὶ σκηνῆς κωφοῖς προσώποις προσφυῶς παρεικάζει, λέγων, «Ὁμοιότατοι γὰρ εἰσιν οἱ τοιοίδε τοῖσι ΠΑΡΕΙΣΑΓΟΜΕΝΟΙ-» ΣΙ ΠΡΟΣΩΠΟΙΣΙ ἐν τῇσι τραγῳδίῃσιν· ὡς γὰρ ἐκεῖνοι σχῆμα μὲν καὶ » στολὴν καὶ πρόσωπον ὑποκριτοῦ ἔχουσιν, οὐκ εἰσὶ δὲ ὑποκριταὶ, οὕτω καὶ » οἱ ἰητροὶ (γρ. καὶ ἰητροὶ) φήμῃ μὲν πολλοὶ, ἔργῳ δὲ πάγχυ βαιοί». Περὶ γὰρ τῶν κωφῶν λεγομένων προσώπων εἶναι τὸν λόγον ἐνθάδε τῷ Ἱπποκράτει, δῆλον μὲν αὐτόθεν, δῆλον δὲ καὶ ἐξ ὧν φησὶν Ἰσοκράτης (Συμμαχ. § κδ', Μέρ. Α, σελ. 174) περὶ τῶν ἐπὶ σκηνῆς παίδων τῶν ἐν πολέμῳ τεθνηκότων, «Ἐπειδὰν πλῆρες ᾖ τὸ θέατρον... ΠΑΡΕΙΣΗΓΟΝ τοὺς παῖδας τῶν ἐν τῷ » πολέμῳ τετελευτηκότων κ. τ. λ.» Οὐ γὰρ ἀγωνισομένους εἰσῆγον, ἀλλ' ὡς κωφὰ πρόσωπα δεικνύντες μόνον τοῖς θεωμένοις. Ὃ τοίνυν φησὶ Πλούταρχος περὶ τοῦ Περδίκκου τοιοῦτόν ἐστιν, ὡς αὐτὸς μὲν εἶχε πᾶν τὸ κράτος, καὶ ἦν ταῖς ἀληθείαις βασιλεὺς, τὸν δὲ τοῦ Φιλίππου υἱὸν, τὸν Ἀρριδαῖον, ὄνομα μόνον καὶ πρόσχημα βασιλέως ἔχοντος, συνεπήγετο, ὥσπερ οἱ ἐν θεάτροις ὑποκριταὶ τὰ κωφὰ πρόσωπα.— Στ. 29, Κοινῆς.] Πόρνης δηλαδή· ὅθεν καὶ «Κοινίον, πορνεῖον» παρ' Ἡσυχίῳ.

## Γ. ΙΟΥΛΙΟΣ ΚΑΙΣΑΡ.

ΣΕΛΙΔ. 265, στ. 9, Προῆλθεν.] Ἐξ ΕΔ, ΑΤ, Προσῆλθεν.—.Οὔπω *πάνυ* μειράκιον ὤν.] Ἐξ ΗΔ ἡ περιαίρεσις τοῦ ἐπιῤῥήματος.— Ταύτης μὲν ἐκπεσεῖν αὐτὸν Σύλλας παρεσκεύασε.] Ἐκώλυσε δηλαδὴ γενέσθαι ἱερέα. Ἕτεροι μέντοι (ὡς καὶ οἱ ΠΡ ἐσημειώσαντο), οὐ λαβεῖν τὴν ἱερωσύνην κωλῦσαι, ἀλλ'

λ' ἤδη εἰληφότα παρὰ Κίννα τε καὶ Μαρίου, ἀφελέσθαι ἱστορήκασι.— Στ. 15, Ἔκλεπτεν.] Ἴσον ὧδε δύναται τῷ Ἔκρυπτεν.—Στ. 22, Φαρμακοῦσσαν.] Ἐξ ΗΔ, ὁ διπλασιασμὸς τοῦ σ· ἔστι γὰρ παρὰ τῷ Φαρμακόεσσα. Οὕτω δὲ γράφεται καὶ παρὰ τῷ Βυζαντίῳ Στεφάνῳ, ὃς παρὰ ταύτην ὑπὲρ Μίλητον κειμένην Φαρμακοῦσσαν νῆσον (ἣ τανῦν Φαρμάκο καλεῖται) καὶ ἑτέρας δύο, τὰς πρὸς τῇ Σαλαμῖνι κειμένας, Φαρμακούσσας φησὶ καλεῖσθαι. Πολύαινος δὲ (Στρατηγημ. Η, κγ', 5, σελ. 264), οὐ περὶ τὴν Φαρμακοῦσσαν ἁλῶναι τὸν Καίσαρα φησὶν, ἀλλὰ περὶ τὸν Μαλέαν, εἶτα κατασχόντας τοὺς ἑλόντας λῃστὰς εἰς Μίλητον, τειχῶν ἔξω προσορμίσασθαι.

ΣΕΛΙΔ. 266, στ. 1, Ἐπὶ τὸν τῶν χρημάτων πορισμόν.] Οἱ ΠΡ προσέθεκαν τὸ πρῶτον τῶν ἄρθρων.— Στ. 14, Ναυλοχοῦντας.] «Ναυλοχεῖν (φησὶ » Φώτιος), ναῦς λοχᾷν καὶ ἐνεδρεύειν· Θουκυδίδης ἑβδόμῳ. Καὶ Ναυλόχιον, » ὁ τοιοῦτος τόπος, ᾧ λιμένες ἔνεισιν· Ναυλόχιον ἐν τῷ μέσῳ, Ἀριστο» φάνης, Βαβυλωνίοις». Ἐπιθὶ καὶ τὰ σημειωθέντα εἰς τὸν Ἡλιόδωρον (Β, σελ. 174).— Ἐποφθαλμιῶντος.] Ἐξηγησάμεθα καὶ ταύτην καὶ τὰς αὐτῇ συνωνύμους λέξεις διὰ μακρῶν ἐν ταῖς εἰς τὸν Θεόφραστον Γαλατικαῖς σημειώσεσι (σελ. 261).— Ἐπὶ σχολήν.] Λείπουσιν αἱ λέξεις αὗται ἔν τισι τῶν ἐκδόσεων. Ἐν ἄλλαις δὲ κακῶς εἰς τὸ Ἐπιστολὴν μετεποιήθησαν. Τὸ, Ἐπὶ σχολὴν ἐξέφρασε καὶ ὁ Α, pour y estudier καὶ ὁ Ἰταλὸς μεταφραστής, alla scuola.— Στ. 26, Πρὸς Ἀπολλώνιον τὸν τοῦ Μόλωνος.] Ἐνθάδε τε καὶ ἐν τῷ Κικέρωνος βίῳ (§ 4) οὐκ Ἀπολλώνιον τὸν τοῦ Μόλωνος, ἀλλ' Ἀπολλώνιον τὸν Μόλωνα, χρῆναι φάναι τὸν Πλούταρχον οἱ ΠΡ ἐσημειώσαντο· οὗ γὰρ ἤκουσαν Καῖσαρ καὶ Κικέρων ἐν Ῥόδῳ Ἀπολλωνίου, οὐκ ἦν υἱὸς Μόλωνος, ἀλλ' ἐπεκαλεῖτο Μόλων, ὡς ἱστορήκασι Συετώνιος, Κυντιλιανὸς, καὶ αὐτὸς ὁ Κικέρων.— Στ. 27, Σοφιστεύοντος.] Ταὐτὸν ὧδε δύναται τῷ Διδάσκοντος, ἢ Σχολαρχοῦντος, ὡς καὶ τὸ παρὰ τοῖς Γάλλοις Professer ἀμεταβάτως ἔσθ' ὅτε λεγόμενον· καθὰ καὶ Σοφιστὴν ὠνόμαζον τὸν Γαλατιστὶ Professeur καλούμενον, περὶ οὗ ἐπιθὶ τὰς εἰς τοὺς Θεοφράστου χαρακτῆρας Γαλατικὰς σημειώσεις (σελ. 195). Ἐντεῦθεν δὲ καὶ ὁ παρὰ τοῖς Βυζαντινοῖς συγγραφεῦσιν, Ἰατροσοφιστής, Prefessur du Médecine, καὶ Ἰατροσόφιον, ἐν γένει μὲν βιβλίον ἰατρικῆς, εἰδικώτερον δὲ, βιβλίον ἀναγραφὰς καὶ σκευασίας περιέχον φαρμάκων, τὰς Γαλατιστὶ καλουμένας Recettes.— Στ. 30, Ἀδηρίτως.] Ἀμάρτυρον ἔτι κεῖται παρὰ τοῖς Λεξικογράφοις τὸ ἐπίρρημα τοῦτο, ὁ Σουίδας διὰ τοῦ Ἀφιλονείκως ἑρμ-

μήνευσεν, ὥσπερ καὶ ὁ Ἰταλὸς μεταφραστὴς senza controversia Γαλατιστὶ κατὰ λέξιν sans contredit, ἢ ὡς ἐξέφρασεν ὁ Α, sans nulle doubte, τουτέστιν ἀναμφιβόλως, ἀδιστάκτως. — Τὸ δὲ πρωτεῖον, ὅπως τῇ δυνάμει καὶ τοῖς ὅπλοις πρῶτος εἴη μᾶλλον, ἀλλ' ἀσχοληθεὶς ὑφεῖναι πρὸς ὅπερ ὑφηγεῖτο κ. τ. λ.] Οὐ καθ' ἕνα τρόπον ἡμάρτηται τοῦ χωρίου ἡ γραφή, οὐδ' αἱ φερόμεναι ΔΓ, «Τῶν δὲ πρωτείων... ἀπεῖναι πρὸς ὅπερ ὑφηγεῖτο», καλῶς ἔχουσιν εἰς τὴν τούτου θεραπείαν. Διὸ οἱ μὲν τὴν στίξιν μετατρέπειν, καὶ τὸν Ἀλλὰ σύνδεσμον διαγράφειν παρῃνέκασι, τοιοῦτον ὑπολαβόντες εἶναι τὸν νοῦν, Ἀσχοληθεὶς δὲ [περὶ τοῦτο] ὅπως μᾶλλον τῇ δυνάμει καὶ τοῖς ὅπλοις πρῶτος εἴη, ὑφεῖναι τὸ [ἐν τοῖς λόγοις] πρωτεῖον, οὐκ ἐξικόμενος διὰ τὰς στρατείας καὶ τὴν πολιτείαν τῆς ἐν τῷ λέγειν δεινότητος, πρὸς ὅπερ [τουτέστι πρὸς ἣν δεινότητα] ἡ φύσις ὑφηγεῖτο· οἱ δὲ, τὸν Ἀλλὰ τρεπτέον εἶναι εἰς τὸ Ἄλλοις, φασί, καὶ τὸ Ὑφεῖναι εἰς τὸ Ἀφεῖναι, ἵν' ᾖ ὁ νοῦς, Τὸ δὲ [ἐν τοῖς λόγοις] πρωτεῖον, πρὸς ὅπερ ἡ φύσις ὑφηγεῖτο, ἀσχοληθεὶς ἀφεῖναι ἄλλοις· οὐκ ἐξικόμενος κ. τ. λ. καὶ ἄλλοι ἄλλως. Γραπτέον, οἶμαι, «Τῶν δὲ » πρωτείων, ὅπως τῇ δυνάμει καὶ τοῖς ὅπλοις πρῶτος εἴη μᾶλλον ἀσχοληθεὶς, ὑφέσθαι [οὐκ Ὑφεῖναι], πρὸς ὅπερ ἡ φύσις ὑφηγεῖτο, τῆς ἐν τῷ «λέγειν δεινότητος... οὐκ ἐξικόμενος» ἢ, «Τὸ δὲ πρωτεῖον, ὅπως τῇ » δυνάμει καὶ τοῖς ὅπλοις πρῶτος εἴη μᾶλλον ἀσχοληθεὶς, ἀφεῖναι [οὐκ Ὑφεῖναι οὐδ' Ἀπεῖναι], πρὸς ὅπερ κ. τ. λ. », ὥσπερ ἡρμήνευσεν ὁ Α, et en quitta le premier pour entendre à se faire plus tost le premier en armes, en puissance et authorité, n' estant pas arrivé jusques à tel degré de la perfection de bien dire, que sa nature l'eust peu conduire, pour avoir plus tost voulu vaquer aux guerres et au maniement d' effaires, qui enfin de compte le rendirent seigneur de l' empire Romain.

ΣΕΛΙΔ. 267, στ. 4, Ἐν τῇ ... περὶ Κάτωνος ἀντιγραφῇ ] Τῇ ἐπιγεγραμμένῃ Ἀντικάτων, ὡς αὐτὸς ἐν τοῖς ἑξῆς [§ 54, σελ. 313) ἐρεῖ Πλούταρχος.— Στ. 9, Μαρτυρίας αὐτῷ παρέσχον.] Τῷ Καίσαρι κατὰ τοῦ Δολοβέλλα.— Στ. 26, Οὕτω μικράν.] Ἐκ ΔΓ προσέθηκα τὸ ἐπίρρημα.

ΣΕΛΙΔ. 268, στ. 3, Ἐνὶ δακτύλῳ κνώμενον.] Ἐξηγησάμεθα ταῦτα ἀνωτέρω (σελ. 383).—Στ. 8, Ποπίλιον.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Πόπλιον.—

Στ. 13, Τῶν ἀνδρῶν.] Τοῦ Μαρίου καὶ τῶν περὶ αὐτὸν, ὡς ἡρμήνευσεν ὁ Α.—Στ. 15, Ἀντήχησε λαμπρῶς δεξάμενος κρότῳ.] Οὐ δεόντως οἱ ΠΡ ἔτρεψαν τὸ Λαμπρῶς εἰς τὸ Λαμπρῷ· παραπλησίως γὰρ καὶ ἀλλαχοῦ (Κικέρ. § 13) εἴρηκε Πλούταρχος, «Οἱ δ' ἱππεῖς ὑπέλαβον κρότῳ τὸν » ἄνδρα λαμπρῶς ».—Στ. 23, Βέτερι.] Ἐκ ΔΓ, ΑΤ, Βαίτωρι.—Στ. 24, Πάλιν αὐτὸς ἄρχων.] Ἐκ ΔΓ προσέθηκα τὴν ἀντωνυμίαν Αὐτός· ὁ Καῖσαρ δηλαδή.—Δτ. 25, Τρίτην ἠγάγετο γυναῖκα.] Δευτέρα γὰρ ἦν ἡ ἀποθανοῦσα Κορνηλία, τὴν δὲ πρὸ ταύτης, Κοσσυτίαν, ἧς οὐκ ἐμνημόνευσε Πλούταρχος, ζῶσαν ἀπέπεμψεν, ὡς ἐσημειώσαντο οἱ ΠΡ.

ΣΕΛΙΔ. 269, στ. 11, Διέσπαστο.] ΠΡΔ, ΑΤ, Διεσπᾶτο. Καθ' ὑπερσυντελικὸν δὲ καὶ ὁ Α, estoit dissipée.—Στ. 12, Προαγαγέσθαι.] Ἐξ ΕΔ, ΑΤ, Προσαγαγέσθαι, ὅπερ ἡρμήνευσεν ὁ Ἰταλὸς μεταφραστὴς διὰ τοῦ Cattivarsela· προέχει μέν τοι τὸ Προαγαγέσθαι, ὅ ἐστιν, εἰς φῶς ἀγαγεῖν καὶ φανερὰν ποιῆσαι, ἀντιθέτως πρὸς τὸ, Κατεπτήχει. Ὁ δ' Α οὐδέτερον ἐξέφρασε.—Στ. 18, Ἄδηλος.] ΠΡΔ, ΑΤ, Ἄδηλον.—Στ. 22, Εἰ τετιθάσσευται.] ΠΡΔ (συνᾴδουσα τῷ Α, s' il estoit assez apprivoisé), ΑΤ, Εἴτε τιθασσεύεται.—Στ. 23, Καινοτομεῖν.] Ἐκ ΔΓ (συνᾳδούσης τῷ Α), ΑΤ, Κενοτομεῖν. Οὕτω δὲ διώρθου καὶ Πόρτος.—Στ. 24, Ἀλλήλους.] Ἐκ ΔΓ, ΑΤ, Αὐτούς.

ΣΕΛΙΔ. 270, στ. 1, Ὑπονόμους.] Ὑπόνομός ἐστιν, ὃ καλοῦσιν οἱ Γάλλοι mine, οἱ δὲ Ῥωμαῖοι cuniculus, μετενεγκόντες τοὔνομα ἀπὸ τοῦ λαγωῷ παραπλησίου ζώου, ὃ κατορύσσον ὑπὸ γῆν διαιτᾶσθαι φιλεῖ. Τὸ δὲ γαιωρύχον τοῦτο ζῶον, ὁ μὲν Πολύβιος ἐξελληνίσας τὴν Ῥωμαϊκὴν, ἢ μᾶλλον Ἰβηρικὴν λέξιν (παρὰ γὰρ τοῖς Ἴβηρσι καὶ τὸ ζῶον καὶ τοὔνομα ἔγνωσαν πρῶτον Ῥωμαῖοι), Κούνικλον ὠνόμασε, ἡ δὲ παρ' ἡμῖν συνήθεια Κουνέλιον, ὥσπερ ἐν ἄλλοις (Ἰσοκράτ. Β, σελ. 317) σεσημείωται, καὶ Κουνάδιον καλεῖ· τὸν Ὑπόνομον δὲ, τουτέστι τὴν ὑπορωρυγμένην γῆν, Λαγούμιον ὀνομάζομεν, οὐ παρὰ Τούρκων εἰληφότες τὴν λέξιν (ὡς ἄν τις εἰκάσειεν ἀπὸ τοῦ παρ' ἐκείνοις Λαγούμ), ἀλλ' ἀπὸ τοῦ Λαγωοῦ, ὁμοίως τῇ Ῥωμαϊκῇ μεταφορᾷ. Ἴσως δὲ καὶ σύνθετόν ἐστι τοὔνομα, Λαγοίμιον, ὅ ἐστι Λαγωοῦ οἶμος, μεταποιηθὲν εἰς τὸ Λαγούμιον, κατὰ τὸ Προυκίον ἐκ τοῦ Προικίον παρὰ τὸ Προίξ.—Στ. 4' Ἐπηρθησαν.] ΔΓ (ἀμείνων ἴσως;), Ἐπεῤῥώσθησαν.—Στ. 12, Ὁ Κάτλος ὡς ἀπὸ μείζονος κ. τ. λ.] Ἐξ ΗΔ ἡ προσθήκη τοῦ ἐπιῤῥήματος. Ὁ νοῦς, τοσούτῳ

Ζ ζ 4

μήνευσεν, ὥσπερ καὶ ὁ Ἰταλὸς μεταφραστὴς senza controversia Γαλατιστὶ
κατὰ λέξιν sans contredit, ἢ ὡς ἐξέφρασεν ὁ Α, sans nulle doubte, του-
τέστιν ἀναμφιβόλως, ἀδιστάκτως. — Τὸ δὲ πρωτεῖον, ὅπως τῇ δυνάμει καὶ
τοῖς ὅπλοις πρῶτος εἴη μᾶλλον, ἀλλ' ἀσχοληθεὶς ὑφεῖναι πρὸς ὅπερ ὑφηγεῖτο
κ. τ. λ.] Οὐ καθ' ἕνα τρόπον ἡμάρτηται τοῦ χωρίου ἡ γραφὴ, οὐδ' αἱ φε-
ρόμεναι ΔΓ, «Τῶν δὲ πρωτείων... ἀπεῖναι πρὸς ὅπερ ὑφηγεῖτο »,
κανῶς ἔχουσιν εἰς τὴν τούτου θεραπείαν. Διὸ οἱ μὲν τὴν στίξιν μετατρέπειν,
καὶ τὸν Ἀλλὰ σύνδεσμον διαγράφειν παρῃνέκασι, τοιοῦτον ὑπολαβόντες
εἶναι τὸν νοῦν, Ἀσχοληθεὶς δὲ [περὶ τοῦτο] ὅπως μᾶλλον τῇ
δυνάμει καὶ τοῖς ὅπλοις πρῶτος εἴη, ὑφεῖναι τὸ [ἐν τοῖς
λόγοις] πρωτεῖον, οὐκ ἐξικόμενος διὰ τὰς στρατείας
καὶ τὴν πολιτείαν τῆς ἐν τῷ λέγειν δεινότητος, πρὸς
ὅπερ [τουτέστι πρὸς ἣν δεινότητα] ἡ φύσις ὑφηγεῖτο· οἱ δὲ,
τὸν Ἀλλὰ τρεπτέον εἶναι εἰς τὸ Ἄλλοις, φασὶ, καὶ τὸ Ὑφεῖναι
εἰς τὸ Ἀφεῖναι, ἵν' ᾖ ὁ νοῦς, Τὸ δὲ [ἐν τοῖς λόγοις] πρωτεῖον,
πρὸς ὅπερ ἡ φύσις ὑφηγεῖτο, ἀσχοληθεὶς ἀφεῖναι ἄλλοις·
οὐκ ἐξικόμενος κ. τ. λ. καὶ ἄλλοι ἄλλως. Γραπτέον, οἶμαι, «Τῶν δὲ
» πρωτείων, ὅπως τῇ δυνάμει καὶ τοῖς ὅπλοις πρῶτος εἴη μᾶλλον ἀσχολη-
» θεὶς, ὑφέσθαι [οὐκ Ὑφεῖναι], πρὸς ὅπερ ἡ φύσις ὑφηγεῖτο, τῆς ἐν τῷ
« λέγειν δεινότητος... οὐκ ἐξικόμενος» ἤ, «Τὸ δὲ πρωτεῖον, ὅπως τῇ
» δυνάμει καὶ τοῖς ὅπλοις πρῶτος εἴη μᾶλλον ἀσχοληθεὶς, ἀφεῖναι [οὐκ Ὑ-
φεῖναι οὐδ' Ἀπεῖναι], πρὸς ὅπερ κ. τ. λ. », ὥσπερ ἡρμήνευσεν ὁ Α,
et en quitta le premier pour entendre à se faire plus tost le pre-
mier en armes, en puissance et authorité, n' estant pas arrivé
jusques à tel degré de la perfection de bien dire, que sa nature l'eu-
st peu conduire, pour avoir plus tost voulu vaquer aux guerres
et au maniement d' effaires, qui enfin de compte le rendirent sei-
gneur de l' empire Romain.

ΣΕΛΙΔ. 267, στ. 4, Ἐν τῇ ... περὶ Κάτωνος ἀντιγραφῇ] Τῇ ἐπιγεγραμ-
μένῃ Ἀντικάτων, ὡς αὐτὸς ἐν τοῖς ἑξῆς [§ 54, σελ. 313) ἐρεῖ Πλούταρχος.— Στ. 9, Μαρτυρίας αὐτῷ παρέσχον.] Τῷ Καίσαρι κατὰ τοῦ Δολοβέλλα.— Στ. 26, Οὕτω μικράν.] Ἐκ ΔΓ προσέθηκα τὸ ἐπίρρημα.

ΣΕΛΙΔ. 268, στ. 3, Ἑνὶ δακτύλῳ κνώμενον.] Ἐξηγησάμεθα ταῦτα ἀνωτέρω (σελ. 383).—Στ. 8, Ποπίλιον.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Πόπλιον.—

Στ. 13, Τῶν ἀνδρῶν.] Τοῦ Μαρίου καὶ τῶν περὶ αὐτὸν, ὡς ἡρμήνευσεν ὁ Α.—Στ. 15, Ἀντήχησε λαμπρῶς δεξάμενος κρότῳ.] Οὐ δεόντως οἱ ΠΡ ἔτρεψαν τὸ Λαμπρῶς εἰς τὸ Λαμπρῷ· παραπλησίως γὰρ καὶ ἀλλαχοῦ (Κικέρ. § 13) εἴρηκε Πλούταρχος, «Οἱ δ' ἱππεῖς ὑπέλαβον κρότῳ τὸν » ἄνδρα λαμπρῶς».—Στ. 23, Βίτερι.] Ἐκ ΔΓ, ΑΤ, Βαίτωρι.—Στ. 24, Πάλιν αὐτὸς ἄρχων.] Ἐκ ΔΓ προσέθηκα τὴν ἀντωνυμίαν Αὐτός· ὁ Καῖσαρ δηλαδή.—Δτ. 25, Τρίτην ἠγάγετο γυναῖκα.] Δευτέρα γὰρ ἦν ἡ ἀποθανοῦσα Κορνηλία, τὴν δὲ πρὸ ταύτης, Κοσσυτίαν, ἧς οὐκ ἐμνημόνευσε Πλούταρχος, ζῶσαν ἀπέπεμψεν, ὡς ἐσημειώσαντο οἱ ΠΡ.

ΣΕΛΙΔ. 269, στ. 11, Διέσπαστο.] ΠΡΔ, ΑΤ, Διεσπᾶτο. Καθ' ὑπερσυντελικὸν δὲ καὶ ὁ Α, estoit dissipée.—Στ. 12, Προαγαγέσθαι.] Ἐξ ΕΔ, ΑΤ, Προσαγαγέσθαι, ὅπερ ἡρμήνευσεν ὁ Ἰταλὸς μεταφραστὴς διὰ τοῦ Cattivarsela· προέχει μέντοι τὸ Προαγαγέσθαι, ὅ ἐστιν, εἰς φῶς ἀγαγεῖν καὶ φανερὰν ποιῆσαι, ἀντιθέτως πρὸς τὸ, Κατεπτήχει. Ὁ δ' Α οὐδέτερον ἐξέφρασε.—Στ. 18, Ἄδηλος.] ΠΡΔ, ΑΤ, Ἄδηλον.—Στ. 22, Εἰ τετιθάσσευται.] ΠΡΔ (συνᾴδουσα τῷ Α, s' il estoit assez apprivoisé), ΑΤ, Εἴτε τιθασσεύεται.—Στ. 23, Καινοτομεῖν.] Ἐκ ΔΓ (συναδούσης τῷ Α), ΑΤ, Κενοτομεῖν. Οὕτω δὲ διώρθου καὶ Πόρτος.—Στ. 24, Ἀλλήλους.] Ἐκ ΔΓ, ΑΤ, Αὐτούς.

ΣΕΛΙΔ. 270, στ. 1, Ὑπονόμοις.] Ὑπόνομός ἐστιν, ὃ καλοῦσιν οἱ Γάλλοι mine, οἱ δὲ Ῥωμαῖοι cuniculus, μετενεγκόντες τοὔνομα ἀπὸ τοῦ λαγωῷ παραπλησίου ζώου, ὃ κατορύσσον ὑπὸ γῆν διαιτᾶσθαι φιλεῖ. Τὸ δὲ γαιωρύχον τοῦτο ζῶον, ὁ μὲν Πολύβιος ἐξελληνίσας τὴν Ῥωμαϊκὴν, ἢ μᾶλλον Ἰβηρικὴν λέξιν (παρὰ γὰρ τοῖς Ἴβηρσι καὶ τὸ ζῶον καὶ τοὔνομα ἔγνωσαν πρῶτον Ῥωμαῖοι), Κούνικλον ὠνόμασε, ἡ δὲ παρ' ἡμῖν συνήθεια Κουνέλιον, ὥσπερ ἐν ἄλλοις (Ἰσοκράτ. Β, σελ. 317) σεσημείωται, καὶ Κουνάδιον καλεῖ· τὸν Ὑπόνομον δὲ, τουτέστι τὴν ὑπορωρυγμένην γῆν, Λαγούμιον ὀνομάζομεν, οὐ παρὰ Τούρκων εἰληφότες τὴν λέξιν (ὡς ἄν τις εἰκάσειεν ἀπὸ τοῦ παρ' ἐκείνοις Λαγούμ), ἀλλ' ἀπὸ τοῦ Λαγωοῦ, ὁμοίως τῇ Ῥωμαϊκῇ μεταφορᾷ. Ἴσως δὲ καὶ σύνθετόν ἐστι τοὔνομα, Λαγοΐμιον, ὅ ἐστι Λαγωοῦ οἶμος, μεταποιηθὲν εἰς τὸ Λαγούμιον, κατὰ τὸ Προυκίον ἐκ τοῦ Προικίον παρὰ τὸ Προίξ.—Στ. 4, Ἐπήρθησαν.] ΔΓ (ἀμείνων ἴσως), Ἐπεῤῥώσθησαν.—Στ. 12, Ὁ Κάτλος ὡς ἀπὸ μείζονος κ. τ. λ.] Ἐξ ΗΔ ἡ προσθήκη τοῦ ἐπιῤῥήματος. Ὁ νοῦς, τοσούτῳ

πλέον φοβούμενος τὴν ἐκ τῆς ἀποτυχίας ἀτιμίαν, ὅσῳ μᾶλλον ἦν ἐν ἀξίᾳ καὶ τιμῇ παρὰ τοῖς Ῥωμαίοις.—Στ. 14, Προσδανεισάμενος.] Ἐξ ΕΔ, ΑΤ, Προσδανεισόμενος.—Στ. 25, Ἐξέπεσε περιπταίσας ἐλάττοσιν ἐλέγχοις.] Ὁ νοῦς, Ἐξέφυγε, διὰ τὸ ἐλαττόνως ἢ ἀπέχρη ἐλεγχθῆναι, ἧ δῆλον ἐξ ὧν ἔφη Πλούταρχος ἀλλαχοῦ (Κικέρ. § 14) περὶ τοῦ Κατιλίνα, « Αἱ δ' ἀπ' » ἀνθρώπων μηνύσεις ἀληθεῖς μὲν ἦσαν, οὔπω δ' εἰς ἔλεγχον ἀποχρῶσαι » κατ' ἀνδρὸς ἐνδόξου καὶ δυναμένου μέγα ». Μόνος τῶν μεταφραστῶν ὁ Α συνῆκε τοῦ χωρίου τὸν νοῦν, eschappa des mains de la justice à faulte de preuves suffisantes.—Στ. 29, Ἄδηλον] Ἐκ ΔΓ, ΑΤ, Ἄδηλος.

ΣΕΛΙΔ. 271, στ. 8, Ὑπάρξει.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Πράξει. Τοῦτο δὲ τὸ Πράξει, ἐξ ἀμείνονος οἶμαι γραφῆς ἐνοθεύθη τῇ Παρέξει, ὃ συνώνυμόν ἐστι τῷ Ὑπάρξει, καὶ, ὡς ἐκεῖνο, πρὸς ἀπαρέμφατον φιλεῖ φέρεσθαι ἀπροσώπως, ἢ μᾶλλον ἀφανεπροσώπως· τὸ γὰρ πλῆρες ἐστιν, Τὸ γνῶναι παρέξει ἑαυτὸ τῇ βουλῇ, ἤ, Ὁ Καιρὸς παρέξει τῇ βουλῇ γνῶναι καθὰ μετ' ὀλίγα (§ 8, σελ. 271) ἐντελῶς ἐρεῖ Πλούταρχος, « Τῷ καιρῷ » τότε παρασχόντι ».—Στ. 30, Ἀπαιτῶν.] ΔΓ, Ζητῶν.

ΣΕΛΙΔ. 272, στ. 2, Ὑπέκκαυμα.] ΔΓ, Ὑπεκκαύματα.—Στ. 5, Ἑπτακόσιαι.] Ἐκ ΔΓ, ἐπαινουμένη ὑπὸ τῶν κριτικῶν (τὰ γὰρ ἐν τῷ βίῳ Κάτωνος τοῦ νεωτέρου (§ 26) Χίλια καὶ διακόσια καὶ πεντήκοντα τάλαντα, εἰς δραχμῶν ἀναλύεται μυριάδας ἑπτακοσίας πεντήκοντα), ΑΤ, Πεντακόσιαι.—Στ. 19, Ἀγάθην κ. τ. λ.] Τὰ αὐτὰ καὶ ἐν τῷ Κικέρωνος βίῳ (§ 19).—Στ. 22, Τῶν Διονύσου μητέρων τὴν ἄρρητον.] Ἡ μὲν ῥητὴ Διονύσου μήτηρ, Σεμέλη ἦν· ἄρρητος δὲ, ἡ Διὸς θυγάτηρ Περσεφόνη, ᾗ μιγεὶς αὐτὸς ὁ Ζεὺς, ὡς ἔλεγον ἕτεροι, ἐγέννησε τὸν Διόνυσον, καθὰ ἐξηγήσατο ὁ φίλος Κλαυέριος ἐν ταῖς εἰς τὴν Ἀμιότου μετάφρασιν (Τομ. 7, σελ. 494) σημειώσεσιν, αἷς μαρτυρεῖ καὶ ὁ φερόμενος ὕμνος Ὀρφέως εἰς τὸν Διόνυσον, ἐν ᾧ φησι (στίχ. 6),

————————————— Διὸς καὶ Περσεφονείης

ἈΡΡΗΤΟΙΣ λέκτροισι τεκνωθεὶς, ἄμβροτε δαῖμον.

ΣΕΛΙΔ. 273, στ. 11, Ὡς δή.] ΠΡΔ, ΑΤ, Ὡς δέ.—Στ. 12, Παίζειν.] Ὑπενόησέ τις τῶν ΠΡ, μήποτε ἐγέγραπτο, Πλησιάζειν, ἢ Πελάζειν.—Στ. 14, Ἅβραν] Ἅβρα, προσηγορικῶς, τουτέστι θεράπαινα, ἦν, καὶ αὐτὸ τοῦτο Ἅβρα, κυριωνυμικῶς ἐκαλεῖτο, ὡς γοῦν ἔστιν εἰκάσαι ἔκ τε τοῦδε καὶ τοῦ παραλλήλου (Κικέρ. § 28) χωρίου τοῦ Πλουτάρχου, καίπερ οὐκ ἀναμφιβόλως ἐκπεφρασμένων.

ΣΕΛΙΔ. 274, στ. 10, Συγκεχυμένας τοῖς γράμμασι.] Ἐξ ΗΔ, ΑΤ, Συγκεχυμένας τοῖς πράγμασι. Μαρτυροῦσι δὲ τῇ διορθώσει τό τε παράλληλον Πλουτάρχου χωρίον (Κικέρ. § 29), καὶ ὁ Α, ἑρμηνεύσας, en lettres confuses. Ἴσως δὲ καὶ ἀντὶ τοῦ Συγκεχυμένας, γραπτέον, Συγκεχυμένοις, ἐκ τῆς ἐν τῷ Κικέρωνος Βίῳ ΔΓ.—Στ. 15, Τὴν Ἰβηρίαν.] Τὴν ἐκτὸς Ἰβηρίαν, γράφειν τινὲς παρῄνεσαν οὐκ ἀπιθάνως.—Λαβών.] Ἴσως γρ. Λαχών, ὡς ὑπενόησέ τις τῶν ΠΡ.—Δυσδιάθετον.] Ἐχρήσατο Μένανδρος τῷ ὀνόματι ἐφ' ἧς ἐννοίας οἱ Γάλλοι χρῶνται τῷ incommode, ἢ embrrrassant, φήσας,

Χαλεπόν γε θυγάτηρ κτῆμα καὶ δυσδιάθετον.

Καὶ πεπείρανται τούτου οἱ θυγατέρων εὐποροῦντες, τῆς δὲ θυγατράσιν ἀναγκαίας φερνῆς ἀποροῦντες γονεῖς.—Στ. 24, Λυπρόν.] Ἐξ ΗΔ (πρὸς τὸ Πολύχνιον) ΑΤ, Λυπρῶν (πρὸς τὸ Ἀνθρώπων). Οὕτω δὲ καὶ ἐν τοῖς Ἀποφθέγμασιν Πολίχνιον λυπρὸν (Τόμ. Α, σελ. 818, ἐκδ. Βυττεμβαχ.) εἴρηκεν, ὥσπερ καὶ Κώμας λυπρὰς ἀλλαχοῦ (Ἑπτ. σοφ. συμποσ. § 6). Ἐπὶ γὰρ γῆς, ἢ χώρας ἀφόρου οἰκείως ἂν μάλιστα λέγοιτο τὸ Λυπρόν. « Λυπρά, ψιλὰ καὶ ξηρὰ χωρία », φησὶ Γαληνὸς ἐν ταῖς Ἐξηγήσεσι. Καὶ Λυπρὴ γαῖα δὲ παρ' Ὁμήρῳ (Ὀδυσσ. ν', 243), ἐξ οὗ καὶ τὸ σύνθετον Λυπρόγαιος. Θεόφραστος δε (Χαρακτ. 4) καὶ Λυπρὸν ἀργύριον εἶπε, τὸ μὴ πολλοῦ ἄξιον, ἢ καὶ τὸ κίβδηλον, ὡς μηδ' ἐκείνου λυσιτελοῦντός τι, κατὰ τὴν ἄφορον γῆν.—Παρερχομένου.] ΠΡΔ, ΑΤ, Παρερχομένους. Ἐν δὲ τοῖς Ἀποφθέγμασι φέρεται, Περιερχομένου.

ΣΕΛΙΔ. 275, στ. 3, Ἐθνῶν τοσούτων.] Ἐκ ΔΓ, ΑΤ, Ἤδη τοσούτων.—Στ. 7, Καλλαϊκούς.] Ἰβηρικὸν ἔθνος, τὴν πρὸς ἕω τῶν Λυσιτανῶν κειμένην χώραν οἰκοῦντες (Στράβ. Γ, σελ. 152), ἣν οἱ Ῥωμαῖοι πάλαι, καί τινες τῶν ἡμετέρων Καλαικίαν, καὶ Γαλλαικίαν (Callæcia, Gallæcia) ἐκάλουν, νῦν δὲ Galice ὀνομάζουσιν οἱ Γάλλοι. Καλλαϊκοὶ δὲ ἐκλήθησαν ἀπὸ λιμένος Κάλου καὶ πόλεως ὁμωνύμου, τανῦν Porto καλουμένης. Ἐκ τούτου δὲ τοῦ Porto Cale, καὶ ἡ ἅπασα Λυσιτανία Πορτοκαλία καὶ Πορτογαλία (Γαλ. Portugal) ὠνόμασται· ὅθεν καὶ ἡ ἐν τῇ συνηθείᾳ Πορτοκαλία, τὸ ἐκεῖθεν εἰς τὴν Ἑλλάδα μετακομισθὲν δένδρον, καὶ Πορτοκάλιον, ὁ καρπός. Εἴη δ' ἂν ἐκ τῶν Καλλαϊκῶν καὶ τὸ παρ' ἡμῖν Καλάϊον ἢ Καλάγιον τὸ σημαῖνον τὸν κασσίτερον· εἰκὸς γὰρ ἐξ

ἐκείνων πρῶτον εἰς τὴν Ἑλλάδα, εἴτε διὰ τῆς Φοινίκων ἐμπορίας, εἴτ' ἄλλως, κομισθῆναι καὶ γνωσθῆναι τοῖς Ἕλλησι τὸ παρ' ἐκείνοις πλεῖστον ὂν μέταλλον τοῦτο, ἦ δῆλον ἔκ τε Διοδώρου τοῦ Σικελιώτου (Ε, 38) φάσκοντος, « Γίνεται δὲ καὶ Κασσίτερος ἐν πολλοῖς τόποις τῆς Ἰβηρίας... ὑπεράνω γὰρ » τῆς τῶν Λυσιτανῶν χώρας ἐστὶ μέταλλα πολλὰ τοῦ κασσιτέρου, κατὰ » (γρ. καὶ κατὰ) τὰς προκειμένας τῆς Ἰβηρίας ἐν τῷ ὠκεανῷ νησίδας, τὰς » ἀπὸ τοῦ συμβεβηκότος Κασσιτερίδας ὠνομασμένας », καὶ ἐκ τοῦ Στράβωνος (Γ, σελ. 147) « Τὸν δὲ καττίτερον... γεννᾶσθαι ἔν τε τοῖς ὑπὲρ τοὺς » Λυσιτανοὺς βαρβάροις, καὶ ἐν ταῖς Καττιτερίσι νήσοις ». Οἱ βάρβαροι δ' οὗτοι οἱ ὑπὲρ τοὺς Λυσιτανοὺς Καλλαϊκοί τέ εἰσι καὶ Ἄρταβοι, ὧν πρὸς ἄρκτον αἱ Καττιτερίδες κεῖνται πελάγιοι (Στράβ. Γ, σελ. 175). Ἐν τοῖς Καλλαϊκοῖς δὲ Κασσίτερον γεννᾶσθαι καὶ Πλίνιος (ΛΔ, 16) μαρτυρεῖ, Græcis adpellatum Cassiteron... nunc certum est in Lusitania gigni et in Gallæcia.—Στ. 29, Ὑποδύεται πολίτευμά τι... ἐξαπατήσαν.] ΔΓ, Ὑποδύεται πολιτεύματι... ἐξαπατήσαντι.

ΣΕΛΙΔ. 276, στ. 2, Ἀπ' ἀμφοῖν.] Ἐξ ΕΔ, ΑΤ, Ὑπ' ἀμφοῖν. — Συνενεγκάμενος.] ΔΓ, Συνεισενεγκάμενος.—Στ. 4, Οὐ γάρ... ἡ Καίσαρος καὶ Πομπηΐου διαφορὰ κ. τ. λ.] Κάτων εἴρηκε τοῦτο, ὡς ἐδήλωσεν ἐν τῷ Πομπηΐου βίῳ (ἀνωτέρ. σελ. 145, § 47) Πλούταρχος.—Στ. 28, Τῇ πρὸς τὴν σύγκλητον εὐλαβείᾳ.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Τῆς πρὸς τὴν σύγκλητον εὐλαβείας.

ΣΕΛΙΔ. 277, στ. 1, Ἐπιδραττόμενος.] Ἐξ ΗΔ, ΑΤ, Ὑποδραττόμενος. Ἐκ τούτου μόνου τοῦ χωρίου κατεχώρισεν ὁ φίλος Σνεΐδερος ἐν τῷ Λεξικῷ τὸ τέως ἀμάρτυρον Ὑποδράττομαι, ἑρμηνεύων διὰ τοῦ κρύφα δράττομαι. Ἔδοξεν ὅμως μοι προελέσθαι μετὰ τῶν μεταφραστῶν τὸ τετριμμένον καὶ παρὰ Πλουτάρχῳ καὶ παρ' ἑτέροις, Ἐπιδραττόμενος, τοῦ μοναδικοῦ, Ὑποδραττόμενος.—Στ. 11, Ἐκινδύνευσε.] Ἐξ ΗΔ, ΑΤ, Ἐκινδύνευε.

ΣΕΛΙΔ. 278, στ. 15, Οὗ κλέος ὑπουράνιον ἤνθει τότε παντοίας περὶ πόλεμον ἀρετῆς.] Ποιητικῆς ἰδέας ἀπόζει τὸ χωρίον, ὃ συνῆκαν ὅ,τε Α, καὶ ὁ Ἰταλὸς μεταφραστὴς στιχηρῶς ἑρμηνεύσαντες καὶ αὐτοί, ὁ μὲν διὰ τοῦ,

Du quel le nom jusques aux cieulx s' esleve,

ὁ δὲ διὰ τοῦ,

Di cui la gloria va fino alle stelle.

Καὶ οὗτοι μὲν ὑπέλαβον ἴσως τοῦτο Πλούταρχον αἰνίξασθαι Ὁμήρου (Ὀδυσσ. ί, 20) τὸ χωρίον,

——————— Καί μευ κλέος οὐρανὸν ἵκει·

ἔοικε δὲ μᾶλλον ἐξ ἐκείνων παρῳδῆσθαι τοῦ Ποιητοῦ (Ὀδυσσ. ί, 264-266)

Τοῦ δὴ νῦν γε μέγιστον ὑπουράνιον κλέος ἐστίν·
Τόσσην γὰρ διέπερσε πόλιν, καὶ ἀπώλεσε λαοὺς
Πολλούς, ———————————

καὶ (Ἰλιάδ. χ', 268-269),

Παντοίης ἀρετῆς μιμνήσκεο· νῦν σε μάλα χρὴ
Αἰχμητήν τ' ἔμεναι καὶ θαρσαλέον πολεμιστήν.

Εἴρηκε δὲ καὶ Εὐριπίδης (Βακχ. 970),

Ὥστ' οὐρανῷ στηρίζον εὑρήσεις κλέος·

ὅπερ ὁ πολλὰ σκώψας Εὐριπίδην Ἀριστοφάνης παρῴδησεν (Νεφέλ. 460) εἰς τό,

——————— Κλέος οὐρανομῆκες
ἐν βροτοῖσιν ἕξεις.

—Στ. 20, Καθωμάλισε.] ΔΓ, Καθωμήλισε· ἴσως ἐξ ἀμείνονος ἑτέρας τῆς Καθωμίλησε. Ἔστι δὲ τὸ μὲν Καθωμάλισε, ἐξ ἀγρίων ἡμέρους ἐποίησεν, ἀπὸ μεταφορᾶς τῶν ὁμαλιζομένων τραχέων χωρίων· τὸ δὲ Καθωμίλησε, συνώνυμόν πως τῷ ἐκολάκευσεν, ἐκήλησεν, ἢ ἐδημαγώγησεν, ὡς δῆλον ἐκ τοῦ παρὰ τῷ Ἀριστοτέλει (Πολιτικ. Ε, θ', σελ. 234, ἐκδ. Σνεϊδέρ.) « Τοὺς μὲν γνωρίμους καθομιλεῖν, τοὺς δὲ πολλοὺς δημαγωγεῖν », καὶ ἑτέρου Πλουταρχείου χωρίου (Πῶς ἄν τις διακρ. τὸν κόλ. τοῦ φίλ. § 7), ὅπου φησίν, ὡς Ἀλκιβιάδης « Τισσαφέρνην ἐδημαγώγει καὶ καθωμίλει », αὐτὸ τοῦτο ἱστορηκότος αὐταῖς λέξεσι καὶ Ἀθηναίου (ΙΒ, σελ. 535), πλὴν ὅτι Φαρνάβαζον ἀντὶ Τισσαφέρνους μνημονεύει. Καὶ ἐπεὶ πρὸς αἰτιατικὴν συνάπτεται τὸ Καθομιλῶ ἐπὶ τῆσδε τῆς σημασίας, εἰκότως ἐν τοῖς ἀμφιβαλλομένοις ἔταξεν ὁ Σνεϊδέρος τὸ τοῦ Σικελιώτου Διοδώρου (ΙΔ, 70), « Ὁ δὲ Διονύσιος... φιλανθρώποις λόγοις χρησάμενος, ΚΑΘΩΜΙΛΕΙ ΤΩ » ΠΛΗΘΕΙ, καί τινας μὲν δωρεαῖς ἐτίμα κ. τ. λ. ». Κατευθυνέσθω τοίνυν καὶ τοῦτο πρὸς τὸν κανόνα, τρεπόμενον εἰς τό, ΚΑΘΩΜΙΛΕΙ ΤΑ ΠΛΗΘΗ· οὐ

γὰρ μόνον Τὸ πλῆθος, ἀλλὰ καὶ πληθυντικῶς, Τὰ πλήθη, ἐπὶ μιᾶς χώρας ἢ πόλεως πλήθους, καλῶς ἔχει λέγεσθαι.—Στ. 22, Ἄλλας δὲ τοσαύτας.] Εἰς τὸ, Δὶς τοσαύτας, μετεκίνησαν οἱ ΠΡ τὴν τελευταίαν λέξιν, ἀσύμφωνον, οἷς ἀνωτέρω (Πομπ. § 67, σελ. 166) ἱστόρηκε Πλούταρχος, ποιοῦντες τὸ λεγόμενον.

ΣΕΛΙΔ. 279, στ. 3, Τῇ δ' ἀριστερᾷ.] ΔΓ. Τῇ δ' ἑτέρᾳ· καί ἐστιν αὕτη τοῖς κοινῆς κομψοτέρα, κατὰ τὰ ἀνωτέρω (σελ. 452-453) σημειωθέντα περὶ τοῦ Θάτερον.—Στ. 4, Ἀφῆκεν.] ΔΓ, Παρῆκεν.—Στ 6, Σκεύας.] Ἐκ ΔΓ, ΑΤ, Σκεύαξ.—Περὶ Δυῤῥάχιον.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἐπὶ Δυῤῥάχιον.—Στ. 8, Ἑκατὸν καὶ τριάκοντα.] Αὐτὸς δὲ Καῖσαρ ἐν τοῖς Ὑπομνήμασιν (Ἐμφυλ. Πολέμ. Γ, 53) Διακοσίας καὶ τριάκοντα, φησίν. —Στ. 11, Ἀπέστρεψεν.] ΔΓ, Ἀπέκτεινεν.—Στ. 13, Ἑλώδη] Βαλτώδη λέγει τοῦτο ἡ συνήθεια. Το γὰρ Ἕλος, Βάλτος παρ' ἡμῖν ἀρσενικῶς λέγεται. Τοῦτο δὲ παρὰ τὸ Ἄλσος, ὃ Δωριεῖς Ἄλτος (ἴδ. τὰς εἰς τὸ Γρηγορ. Κορίνθ. περὶ διαλέκτ. σημ. τῶν κριτικ.) οὐδετέρως, καὶ Ἄλτιν θηλυκῶς ἔλεγον. « Τὸ δὲ ἄλσος τὸ ἱερὸν τοῦ Διός, παραποιήσαντες τὸ ὄνομα, » Ἄλτιν ἐκ παλαιοῦ καλοῦσι», φησὶ Παυσανίας (Ε, 10), καὶ μικρὸν ὑποβὰς (Ε, 11), « Διὰ τὸ ἑλῶδες τῆς Ἄλτεως» οὐχ ὡς τοῦ ἐν Ὀλυμπίᾳ ἄλσους μόνου ἑλώδους ὄντος, ἀλλὰ διὰ τὸ κοινῇ κάθυγρα πεφυκέναι τὰ ἄλση· « Ἄλσεα (φησὶν Ἡσύχιος), τεμένη· οἱ κάθυγροι καὶ σύμφυτοι λειμῶνες, » καὶ τόποι κατάδενδροι, πρὸς ἄλσιν καὶ αὔξησιν τῶν φυτῶν ὄντες ἐπιτή- » δειοι ». Τούτῳ τοίνυν τῷ Ἄλσις, ἢ Ἄλτος, τὸ Αἰολικὸν προστεθὲν δίγαμμα ἐποίησε παρ' ἡμῖν τὸ Βάλτος, τὸ σημαῖνον τόπον κάθυγρον, παρὰ δὲ τοῖς Γερμανοῖς τὸ Wald, τὸ σημαῖνον τὸν Δρυμὸν, τουτέστι τόπον κατάδενδρον. Οἱ δὲ Ῥωμαῖοι, ὥσπερ τὸ Ὕλη (τὸ συνώνυμον τοῦ Δρυμοῦ), τῇ προσθήκῃ τοῦ ἰσοδυναμοῦντος τῷ Δίγαμμα σ, μετεποίησαν εἰς τὸ Sylva, οὕτω καὶ παρὰ τὸ Ἄλτος ἐσχημάτισαν τὸ ταυτόσημον Saltus.—Στ. 14, Στρατιώτης, Καίσαρος κ. τ. λ.] Ἐξ ΕΔ ἔστιξαν οἱ ΠΡ μετὰ τὸ Στρατιώτης. —Στ. 18, Ῥεύματα τελματώδη.] ΔΓ (ἀμείνων), Τέλματα ῥευματώδη. Καὶ καταχωριζέσθω ἐν τοῖς Λεξικοῖς τὸ Ῥευματώδης. Τὸ δὲ Τέλμα συγγενὲς καὶ συνώνυμόν ἐστι τῷ Ἕλος, Ἄλτος, Βάλτος, ἴσως δὲ, ὥσπερ ἔδοξέ τισι (Σνεϊδέρ. Λεξικ. Ἑλληνογερ. λέξ. Πέλμα), καὶ τῷ Πέλμα· ἐπεὶ καὶ οἱ Βυζαντινοὶ συγγραφεῖς Πάλμα ἔλεγον τὸ τέλμα, καὶ Παλματῶδες τὸ τελματῶδες.—Στ. 19, Τὰ μὲν νηχόμενος,

τὰ δὲ βαδίζων, διεπέρασε.] Τοῦτο πιστοῦται ἣν ἀνωτέρω (σελ. 452) ἐποίησα τροπὴν τοῦ Δέξασθαι εἰς τὸ Διανήξασθαι.—Στ. 21, Καὶ μετὰ χαρᾶς καὶ κραυγῆς ἀπαντώντων.] ΔΓ... Ἀπάντων· οὐ κακὴ, ἐὰν συνάπτῃς πρὸς τὸ Θαυμαζόντων, διαγράφων τὸν πρῶτον, Καί.—Αὐτὸς εὖ μάλα κατηφής.] Τυπογραφικόν εἰσιν ἁμάρτημα οἱ ἀστερίσκοι τοῦ, Εὖ.—Στ. 24, Πέτρων.] Πετρώνιον οὐ Πέτρωνα τοῦτον κεκλῆσθαι οἱ ΠΡ ἐσημειώσαντο.—Στ. 26, Τοῖς Καίσαρος στρατιώταις,] Ἐκ ΔΓ, ΑΤ, Τοὺς Καίσαρος στρατιώτας.—Στ. 29, Λήματα.] ΠΡΔ, ΑΤ, Λήμματα. Ἔστι δὲ « Λῆμα, θράσος, δύναμις, τόλμα... φρόνημα » καθ' Ἡσύχιον· Λέγει δ' ὁ αὐτὸς καὶ, « Λήματος εἶσι ΠΑΡΟΣ. Τοῦ φρονήματος, τῆς ὑπεροψίας ». ὅπου γραπτέον,

Λήματος εἶσι ΠΑΡΕΣΤΙ.—

Τοῦτο δ' εἰκὸς ἡρωϊκοῦ ἔπους ἡμιστίχιον εἶναι, ποιητοῦ τινος ἀδήλου χρησαμένου τῇ φράσει, ἧς μικρὸν διενήνοχεν ἡ παρὰ τῷ Κωμικῷ (Νεφελ. 457) ἥδε,

Λῆμα μὲν ΠΑΡΕΣΤΙ ΤΩΔΈ γ'
οὐκ ἄτολμον, ἀλλ' ἕτοιμον.—

ΣΕΛΙΔ. 280 στ. 1, Εἰς τρυφὰς ἰδίας.] Ἐκ ΔΓ, ΑΤ, Εἰς τρυφὴν ἰδίαν.—Στ. 4, Μέτεστιν ἐκείνῳ τοῦ πλουτεῖν, ὅσα κ. τ. λ.] Οὕτως ἔχειν τὸ ἑξῆς ὑπέλαβέ τις τῶν ΠΡ, Μέτεστιν ἐκείνῳ τοῦ πλουτεῖν τοσαῦτα, ὅσα. Ἔχει μέντοι ἡ φράσις ὑπόσαθρόν τι, καθὰ καὶ ἑτέροις ἔδοξεν· ὤφειλε γὰρ εἶναι Ἔστιν ἐκείνῳ πλουτεῖν ὅσα, ἢ Ἔστιν ἐκείνῳ τοσαῦτα πλουτεῖν, ὅσα.—Στ. 10, Καὶ τοῖς ἐπιληπτικοῖς.] ΔΓ, Καὶ ἐπὶ τοῖς ἐπιληπτικοῖς· ἐξ ἀμείνονος δηλονότι τῆς, Καὶ ἔτι τοῖς ἐπιληπτικοῖς.—Στ. 14, Τῷ θυραυλεῖν ἐνδελεχῶς καὶ ταλαιπωρεῖν, ἀπομαχόμενος.] Προσέθηκα ἐκ ΔΓ τὰς ἐν μέσῳ τρεῖς λέξεις, Ἐνδελεχῶς καὶ ταλαιπωρεῖν.—Στ. 28, Λέγεται δὲ καὶ τὸ διὰ γραμμάτων τοῖς φίλοις ὁμιλεῖν, Καίσαρα πρῶτον μηχανήσασθαι.] Σημειοῦ τὰς ἀρχὰς καὶ οἱονεὶ σπάργανα τοῦ εὑρήματος τῆς νῦν κατὰ τὰς μεγίστας τῶν εὐνομουμένων ἐν Εὐρώπῃ πόλεων καλουμένης Μικρᾶς ἡμεροδρομίας, Petite poste.—Στ. 30, Διά τε πλῆθος.] ΔΓ, Διά τε τὸ πλῆθος.

ΣΕΛΙΔ. 281. στ. 4, Ἀσπάραγον.] ΔΓ, Ἀσπάραγον αὐτῷ. Σημειοῦ δὲ καὶ τὸ ἑνικὸν τοῦ ἀριθμοῦ, εἰ καὶ τοῦτο τετήρηται παρὰ τοῖς Ἕλλησιν, Ἀσπάραγον ἑνικῶς λέγειν τὸν ἑψημένον, ὥσπερ καὶ Φακῆν φασὶν οἱ γραμματικοὶ ἐπὶ τῆς ἑψημένης (Ἀμμών. σελ. 141) λέγεσθαι, Φακοὺς δὲ, ἐπὶ

τῆς ὠμῆς·— Στ. 9, Γλίσχρως.] Μόλις.— Στ. 15, Ἐλβηττίους.] Οὓς νῦν Suisses καλοῦσι.— Τιγυρίνους.] Ἐλβηττίων ἦσαν μοῖρα οἱ Τιγυρῖνοι, ὧν ἴχνη τῆς κλήσεως καταλελεῖφθαί φασιν ἐν τῷ ὀνόματι τῆς νῦν πόλεως Zurich.—Στ. 29, Οὐκ αὐτῶν μόνον.] ΔΓ, Οὐκ αὐτῶν μόνων. Ὑπενόησέ τις τῶν ΠΡ οὐκ ἀπιθάνως μήποτε γραπτέον, Ο ὐ κ ἀ ν δ ρ ῶ ν μ ό ν ω ν.

ΣΕΛΙΔ. 282, στ. 3, Τῶν παρόντων βαρβάρων.] Διαγράφειν δεῖν ἔγνωσαν οἱ ΠΡ τὴν μέσην λέξιν, ἣν οὐδ' ὁ Α ἐξέφρασε.— Στ. 11, Καιροῦ παραδόντος.] Σημειωτέον ὡς σπανιώτερον τοῦ, Κ α ι ρ ο ῦ π α ρ α σ χ ό ν τ ο ς, ἢ καὶ τοῦ συντομωτέρου, Π α ρ α σ χ ό ν. Ἡ δὲ παρ' ἡμῖν συνήθεια, διὰ τοῦ, Ὅ τ α ν ὁ κ α ι ρ ὸ ς τ ὸ κ α λ έ σ η, ἢ τ ὸ σ υ γ χ ω ρ ή σ η, ἑρμηνεύει τοῦτο.—Στ. 12, Ἐπινεμήσεσθαι.] ΠΡΔ, ΑΤ, Ἐπινομήσεσθαι ΔΓ, Ἐπινεμηθήσεσθαι.— Στ. 19, Πορεύσεσθαι.] Ἐξ ΗΔ, ΑΤ, Πορεύεσθαι.— Μήτε κρείττοσι μέλλων Κίμβρων μάχεσθαι πολεμίοις, μήτ' αὐτὸς ὢν Μαρίου χείρων στρατηγός.] Ἄλλως ταῦτα κεῖσθαι παρ' αὐτῷ Καίσαρι ἐν τοῖς Ἀπομνημονεύμασι (Περὶ τοῦ Γαλατικ. πολέμ. Α, 40) σεσημείωται τοῖς κριτικοῖς. Ἡρμήνευσε δ' ἐκεῖνα ὁ ἀνώνυμος τῶν Ἀπομνημονευμάτων μεταφραστὴς τὸν ἐχόμενον τρόπον· «Ὁπότε Γαΐου Μαρίου τούς τε Κίμβρους καὶ τοὺς Τουτονοὺς, ἐκ τῆς Ἰταλίας » ἐξελάσαντος, οὐχ ἧττον ἀξιέπαινοι οἱ στρατιῶται τῶν στρατηγῶν (γρ. τοῦ στρατηγοῦ) ἐνομίσθησαν ».— Στ. 24, Ἀπὸ τῶν πολεμίων.] Ἐξ ΕΔ προσέθηκα τὴν πρόθεσιν.— Στ. 26, Τόλμης.] ΔΓ, Γνώμης.— Στ. 27, Ὣν ἐπερχομένων οὐκ ἂν ἐδόκουν ὑποστῆναι.] Οὓς Γερμανοὺς ἐπερχομένους οἱ Ῥωμαῖοι οὐχ ὑπομενεῖν ἐνομίζοντο. — Στ. 28, Ὁ μὴ προσδοκήσας.] Ἐξ ΕΔ διέγραψα τὴν ἀντωνυμίαν.— Στ. 30, Τῶν ἱερῶν γυναικῶν.] Ἔπιθι τὰ Καίσαρος ἀπομνημονεύματα (Περὶ τοῦ Γαλατικ. πολέμ. Α, 50), καὶ τὸν Πολύαινον (Στρατηγημ. Η, κγ', 4.), ὃς, ἢ μὴ νοήσας τὰ παρὰ τῷ Καίσαρι, ἢ ἄλλοθέν ποθεν ἐρανισάμενος τὰ περὶ τοῦ πρὸς τοὺς Γερμανοὺς πολέμου, τὰς μὲν ἱερὰς γυναῖκας εἰς ἄνδρας μάντεις μετεποίησε, τὸν δὲ Καίσαρα μὴ θαρρεῖν Γερμανοῖς συνάψαι μάχην φησὶν, ἕως ἔγνω τοὺς παρ' αὐτοῖς μάντεις προειρηκότας πρὸ νέας σελήνης ἀπέχεσθαι μάχης. Παραπλήσιαι δ' ἦσαν αἱ ἱεραὶ γυναῖκες αὗται ταῖς ἑπομέναις τοῖς Κίμβροις, περὶ ὧν ἔπιθι τὸν Στράβωνα (Ζ, σελ. 294),

ΣΕΛΙΔ. 283, στ. 9, Τριακοσίους.] ΔΓ, Τετρακοσίους. Ἕτεροι δὲ Τ ρ ι ά κ ο ν τ α δεῖν γράφειν ὑπέλαβον· ἄλλοι δὲ, Τ ε σ σ α ρ ά κ ο ν τ α. Διαπεφώνηται γὰρ καὶ παρ' αὐτῷ τῷ Καίσαρι (Περὶ Γαλατικ. πολέμ. Α, 53) ἡ γραφὴ, ἐν μὲν τοῖς ἀντιγράφοις οὖσα, Μ ί λ ι α π έ ν τ ε (millia passuum quinque)

ἃ δύναται σταδίους τεσσαράκοντα, ὥσπερ ἡρμήνευσε καὶ ὁ Ἑλληνιστὶ μεταφράσας τὰ τοῦ Καίσαρος ἀνώνυμος· ὑπὸ δὲ τῶν κριτικῶν μεταποιηθεῖσα εἰς τὸ Μίλια πεντήκοντα (millia passuum quinquaginta), ἃ δύναται σταδίους τετρακοσίους.— Στ. 14, Ἀπέλιπε.] Ἐξ ΗΔ, ΑΤ, Ἀπέλειπε.— Στ. 22, Τοῖς τῶν πολιτῶν.] Τῶν ΠΡΔ ἡ προσθήκη τοῦ δευτέρου ἄρθρου.— Στ. 26, Πολλὰς δή τινας μυριάδας.] Τριάκοντα μυριάδας, τουτέστι 300 χιλιάδας, φησὶ Στράβων (Δ, σελ. 196), ἐν ᾧ ἐσημειωσάμεθα (Γαλατ. μεταφρ. Στραβ. Τόμ. Β, σελ. 61) παρὰ μὲν τῷ Καίσαρι ἐν τοῖς Ἀπομνημονεύμασι 308 χιλιάδας φέρεσθαι, παρὰ δὲ τῷ τούτου μεταφραστῇ 296, παρὰ δὲ τῷ Ὀροσίῳ 282.— Στ. 29, Ἀθρουστάτους.] παρὰ μόνῳ ἴσως εὕρηται Πλουτάρχῳ τὸ μήπω καταχωρισθὲν ἐν τοῖς Λεξικοῖς ὑπερθετικὸν τοῦτο τοῦ Ἀθρόος· Ἔοικε δὲ τοῦ παρακμάζοντος ἑλληνισμοῦ εἶναι, ὥσπερ καὶ τὸ ἐκ τοῦ Ἀθηναίου καταχωρισθὲν ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου (Α, σελ. 138) συγκριτικὸν Ἀθρούστερος. Τὸ γὰρ, Ἀθρόοι, «ὁμοῦ πάντες, ἀκέραιοι» σημαῖνον, καθ' Ἡσύχιον, ἀνεπίδεκτόν ἐστιν ὑπερθέσεως ἢ συγκρίσεως. Διορθούσθω δ' ἡμῖν καὶ τὸ παρὰ τῷ αὐτῷ Ἡσυχίῳ, «Ἀθράως, ἁπλῶς» μεταποιοῦσι τὴν πρώτην λέξιν εἰς τὸ, Ἀθρόως· σημαίνει γὰρ ἔσθ' ὅτε καὶ τὸ ἁπλῶς, ὡς ἐν τῷδε Ἀρεταίου (Περὶ ὀξ. παθ. Β, 3, σελ. 15) τῷ χωρίῳ, «Ἀθρόον δὲ εἰρῆσθαι, » ἐπὶ πάσῃ αἵματος ἀναγωγῇ... ἕπεται δυσθυμίη κ. τ. λ.»

ΣΕΛΙΔ. 284, στ. 4, Συμμιγεῖς δρυμούς.] Οὐ μόνον φύσει τοιούτους ὄντας, διὰ τὸ δασὺ τῆς ὕλης, ἀλλὰ καὶ τέχνῃ πυκνοτέρους κατεσκευασμένους διὰ τῆς συμπλοκῆς τῶν θαμνωδῶν δένδρων, ὥστε τείχους χρείαν παρέχειν, καθά φησι Καῖσαρ αὐτὸς (Περὶ τοῦ Γαλατ. πολέμ. Β, 17) teneris arboribus incisis atque inflexis, crebrisque in latitudinem ramis enatis, et rubis sentibusque interjectis, effecerant ut instar muri hae sepes munimenta praeberent, ὁ Στράβων (Δ, σελ. 194) οὕτως ἐξέφρασε, « Συμπλέκοντες τὰς τῶν θάμνων λύγους, βατώδεις ὄντας (γρ. οὔσας), ἀνέφραττον τὰς εἰσόδους, ἔστι δ' ὅπου καὶ σκόλοπας κατέπηττον ».— Στ. 5, Γυναῖκας.] Οὕτως ὁ Α, ἢ τοιαύτῃ γραφῇ ἐντυχών, ἢ ἐκ τοῦ Καίσαρος (Περὶ Γαλατ πολέμ. Β, 16) διορθώσας, ΑΤ, Γενεάς. Ἄμεινον δ' ἂν ἴσως ἐποίησα, κατὰ χώραν ἐάσας τὴν γραφήν. — Στ. 12, Τὸ δέκατον.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Τὸ δωδέκατον. — Στ. 14, Οὐδεὶς ἂν ἐδόκει.] Ἐξ ΗΔ, ΑΤ, Οὐδεὶς ἂν δοκεῖ. Οὕτω καὶ ἀνωτέρω (§ 19, σελ. 282) εἴρηκεν, Οὐκ ἂν ἐδόκουν ἐπὶ τοῖς παροῦσιν ἀτρεμήσειν, καὶ μικρὸν ὑποβάς, Οὐκ ἂν

ἰδόκουν ὑποστῆναι.—Στ. 17, Πεντακόσιοι γὰρ ἀπὸ μυριάδων ἕξ.] Συνῳδὰ ταῦτα τῷ Καίσαρι (Περὶ Γαλατ. πολέμ. Β, 28). Ὁ δὲ Δίξιος (Ἐπιτομ. 104) τριακοσίους ἀπὸ μυριάδων ἓξ φησί.—Στ. 18, Βουλευταὶ δὲ τρεῖς ἀπὸ τετρακοσίων.] Καῖσαρ δὲ, Τρεῖς ἀφ' ἑξακοσίων· Δίξιος δὲ, Τρεῖς ἀπὸ πέντε πρὸς τοῖς ἐνενήκοντα.—Στ. 27, Διαφθείροντες.] Ἐξ ΗΔ, ΑΤ, Διαφθείραντες.

ΣΕΛΙΔ. 285, Στ. 4, Διεκρίθησαν ἐπὶ τούτοις· ἔδει κ. τ. λ.] Ἐξ ΕΔ ἡ στίξις, ΑΤ, ἐκρίθησαν. Ἐπὶ τούτοις ἔδει.— Στ. 12, Ἐξαλομένου.] Ἐξ ΗΔ, ΑΤ, Ἐξαλλομένου.— Στ. 20, Οὐσίπας.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Οὔ; Ἵπας. Ὁ δὲ Καῖσαρ (Περὶ Γαλατ. πολέμ. Δ, 1) Οὐσιπέτας (Vsipetes) καλεῖ τούτους.— Τεντερίδας.] ΔΓ, Τεντερίτας: Τεντηρίδας: Τευχθερίδας. Παρὰ δὲ τῷ Καίσαρι, Τέγχθηροι (Tenchtheri) καλοῦνται.—Στ. 22, Ἐφημερίσι.] Ἐφημερίδας ὀνομάζει τὰ ἱστορηθέντα Καίσαρι περὶ τοῦ Γαλατικοῦ πολέμου, ἅπερ Ὑπομνήματα, ἄμεινον καλεῖν, ἢ Ἀπομνημονεύματα, ὡς καὶ ἕτεροι πρὸ ἡμῶν ἐσημειώσαντο.— Στ. 23, Ἐν σπονδαῖς.] ΔΓ, Ἐνσπόνδοις.—Στ. 26, Ἐπαγάγοι.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἐπαγάγοιτο.— Στ. 28, Γανύσιος.] ΔΓ, Τανύσιος: Κανύσιος.— Στ. 29, Ἑορτὰς καὶ θυσίας.] ΔΓ, Ἑορτὰς καὶ σπονδὰς καὶ θυσίας.

ΣΕΛΙΔ. 286, στ. 4, Σούγαμβροι.] ΔΓ, Σίκαμβροι. Παρὰ δὲ τῷ Καίσαρι (Περὶ Γαλατ. πολέμ. Δ, 18), Σίγαμβροι (Sigambri).—Στ. 5, Ἐπ' αὐτούς.] Ἐκ ΔΓ, ΑΤ, Πρὸς αὐτούς.—Στ. 12, Χαλινώσας.] Ἐκ ΔΓ, ΑΤ, Γαληνώσας. - Στ. 15, Ὑπαντιάσαι.] ΔΓ, Ὑπαντῆσαι.—Στ. 27, Προήγαγεν.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Προσήγαγεν.

ΣΕΛΙΔ. 287, στ. 3, Ἀπῆρεν.] Ἐκ ΔΓ, ΑΤ, Ἀπῆλθεν.—Στ. 5, Ἐτελεύτα.] ΠΡΔ, ΑΤ, Τελευτᾷ.—Στ. 7, Μέγα δὲ καὶ Καίσαρα.] ΠΡΔ, ἡ προσθήκη τοῦ δευτέρου συνδέσμου.—Στ. 10, Τὴν μὲν οὖν Ἰουλίαν.] Ἐκ ΔΓ, ΑΤ, Τὴν μὲν Ἰουλίαν.—Στ. 17, Τῶν Ῥωμαίων.] Ἐκ ΔΓ, ΑΤ, Τοῖς Ῥωμαίων.—Στ. 18, Ἀποστάντων.] ΔΓ, Ἀποστατῶν.—Στ. 19, Ἀμβιόριγος.] Ἐκ ΔΓ, ΑΤ, Ἀμβριόριγος. Ἀμβιόριξ (Ambiorix) δὲ καλεῖται καὶ παρὰ τῷ Καίσαρι (Περὶ Γαλατ. πολέμ. Ε, 27), τῷ αὐτῷ σχηματισμῷ τῆς συνθέσεως, ὥσπερ καὶ ὁ παρὰ Πλουτάρχῳ κατωτέρω (§ 25, σελ. 288) Οὐεργεντόριξ. Τὰ γὰρ οὕτω καταλήγοντα Κελτικὰ ὀνόματα ἀρχαῖα, σύνθετά εἰσιν ἅπαντα ἔκ τε κυρίου ὀνόματος, καὶ τοῦ ληκτικοῦ rix, ὅπερ ἐδήλου τὸν ἁπλῶς μέγα δυνάμενον, διὰ γένος, πλοῦτον, ἀξίωμα, καὶ ἑπομένως ἡγούμενον τῶν ἄλλων, ἢ καὶ βασιλεύοντα. Δῆλον δὲ ἐκ τῶν ἐν ταῖς νεωτέραις γλώσσαις καταλειφθέντων

ὀνομάτων, οἷον ἐν μὲν τῇ τῶν Γερμανῶν φωνῇ τὸ Reich δηλοῦν οὐ μόνον τὴν βασιλείαν, ἀλλὰ καὶ τὸν πλούσιον, ἐν δὲ τῇ τῶν Ὀλλανδῶν τὸ Rijk, καὶ τῶν Ἄγγλων τὸ Rich, καὶ τῶν Γάλλων τὸ Riche, καὶ τῶν Ἰταλῶν τὸ Ricco, καὶ τῶν Ἰσπανῶν τὸ Rico, τὰ σημαίνοντα τὸν πλούσιον. Εἰκότως δὲ καὶ τὸ τῶν Ῥωμαίων Rex, ὁ Βασιλεύς, ἐξ ὧν τὰ ἐν ταῖς διαφόροις φωναῖς ταυτόσημα, Re, Roi, Rey, παρὰ τὸ Κελτικὸν Rix ἄν τις παράγοι, καίπερ ἄλλων ἑτέρως ἐτυμολογούντων τοὔνομα. Ἔπιθι καὶ τὰ σημειωθέντα ἡμῖν εἰς τὴν Γαλατικὴν τοῦ Στράβωνος μετάφρασιν (Τομ. Β, σελ. 43, σημ. 1). —Τιτούριον.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Τηγύριον.

ΣΕΛΙΔ. 288, στ. 1, Ἐνοικοδομεῖν.] Ἐξ ΗΔ, ΑΤ, Ἀνοικοδομεῖν. Περὶ δὲ τῆς διαφορᾶς τῶν λέξεων ἔπιθι τὰ σημειωθέντα ἀλλαχοῦ (Πλουταρχ. Μέρ. Γ, σελ. 389).—Στ. 2, Προσβάλλοντας.] Ἐκ ΔΓ, ΑΤ, Βάλλοντας.—Στ. 15, Πάγοι.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Πάγοις.—Στ. 18, Ἀσάφεια πολλή.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ἀσαφείᾳ πολλῇ.—Στ. 21, Ἀρβέρνοι.] Ἐξ ΗΔ, ΑΤ, Ἀρβέννοι. Ἀρβέρνους, ἢ Ἀρουέρνους (Arverni) ὀνομάζει Καῖσαρ αὐτούς.—Στ. 22, Οὐεργεντόριξ.] Ὀρθότερον γράφεται παρὰ τῷ Στράβωνι (Δ, σελ. 191) Οὐερκιγγετόριξ· Vercingetorix γὰρ ὀνομάζεται τῷ Καίσαρι (Περὶ Γαλατ. πολέμ. ζ', 4) —Στ. 26, Πρὸς τὸν Ἄραρα.] Ἐκ ΔΓ, ΑΤ, Ἀδρίαν. Καὶ ἡ μὲν ΔΓ ἐστίν, Ἄραριν· προειλόμην δὲ τὸ, Ἄραρα (παρὰ τὴν Ἄραρ εὐθεῖαν), ἵνα συμφωνῇ Πλούταρχος ἑαυτῷ τε (ἀνωτέρ. § 18, σελ. 281) καὶ ἑτέροις συγγραφεῦσιν, οὕτω καλοῦσι τὸν ποταμὸν, ὃν οἱ Γάλλοι τανῦν Saone ὀνομάζουσι.

ΣΕΛΙΔ. 289, στ. 1, Δοκῶν.] Περιττὴ ἔδοξεν ἡ μετοχὴ αὕτη τοῖς ΠΡ, κἀμοὶ συνδοκεῖ, διὰ τὴν ἑπομένην ἑτέραν, Πεφυκώς.—Στ. 3, Ἐχώρει ταῖς αὐταῖς ὁδοῖς, ἃς διῆλθε, καὶ βίᾳ... ἐπιδειξάμενος.] Ἔστιξαν οἱ ΠΡ μετὰ τὸ, Ἐχώρει, συνάψαντες τὸ, Ταῖς αὐταῖς ὁδοῖς, ὥσπερ καὶ τὸ, Βίᾳ, πρὸς τὸ, Ἐπιδειξάμενος· ἐμοὶ δὲ μᾶλλον ἀρέσκει διαγράφοντας τὸν Καὶ σύνδεσμον (ὃν παρέλιπε καὶ ὁ Α), οὕτω συναρτᾷν τὸ λεγόμενον καὶ ἑρμηνεύειν, Ἐχώρει ταῖς αὐταῖς ὁδοῖς, δι' ὧν ἦλθεν, ἐπιδειξάμενος τοῖς βαρβάροις διὰ τῆς βίας καὶ τοῦ τάχους κ. τ. λ. Τὸ δὲ Ἐχώρει ἐνθάδε ἀντὶ τοῦ Ἀνεχώρει· « Χωρεῖν, ἀπελθεῖν. Χώρησαν, ἀνεχώρησαν » φησὶν Ἡσύχιος.—Στ. 8, Χώρας.] Τὴν ἐσπαρμένην καὶ πεφυτευμένην γῆν, ὃ καλῶς ἐξέφρασεν ὁ Α διὰ τοῦ plat pais.—Χωρία,] Ἐπὶ τοῦ Φρούρια, ἐνταῦθα, ὡς ἐξεδέξατο

καὶ ὁ Α, places fortes ἑρμηνεύσας.—Στ. 10, Αἰδούων.] Ἐκ ΔΓ, ΑΤ, Ἐδούων. Διὰ διφθόγγου δὲ καὶ ὁ Καῖσαρ, Ædui.—Στ. 13, Περιέστησαν.] ΔΓ, Ἐνεπείνησαν.—Καὶ νικήσας.] Διαγραπτέος ὁ σύνδεσμος.—Στ. 14, Ὑπερέβαλε.] ΔΓ, Ὑπερέβαλλε· ἣν προείλοντο οἱ ΠΡ.—Στ. 15, Σηκουανῶν.] Ἐκ ΔΓ (συνᾳδούσης τῇ παρὰ τῷ Καίσαρι γραφῇ Sequani) ΑΤ, Σικουανῶν.—Στ. 18, Τοῖς μὲν ὅλοις.] ΠΡΔ, ΑΤ, Τοῖς μὲν ἄλλοις. ΔΓ, Τῶν μὲν ἄλλων.—Στ. 19, Φόνῳ.] ΠΡΔ, ΑΤ, Φόβῳ.—Στ. 20, Ἀρβέρνοι.] Ἐξ ΗΔ (ἰδ. ἀνωτέρω, σελ. 481), ΑΤ, Ἀρουεηνοί. ΔΓ, Ἀρουέρνοι: Ἀρουανοί.—Στ. 25, Ἀλησίαν.] Ἀλεσίαν ὀνομάζει τὴν πόλιν Στράβων (Δ, σελ. 191).—Συνέφυγον.] Ἐκ ΔΓ, ΑΤ, Διέφυγον.—Στ. 29, Ἐν ὅπλοις.] Ἐκ ΔΓ οἱ ΠΡ προσέθηκαν τὴν πρόθεσιν.

ΣΕΛΙΔ. 290, στ. 1, Ἑπτακαίδεκα μυριάδων.] Τεσσαράκοντα μυριάσι πολεμῆσαι Οὐερκιγγετόριγα πρὸς Καίσαρα φησὶ Στράβων (Δ, σελ. 191). Αὐτὸς δὲ Καῖσαρ (Περὶ Γαλατ. πολέμ. ζ', 71 καὶ 76) τοὺς μὲν εἰς Ἀλησίαν συμφυγόντας, ὀγδοήκοντα φησὶ χιλιάδας, τοὺς δ' ἔξωθεν ἐπιβοηθήσαντας διακοσίας τεσσαράκοντα ὀκτώ, ὡς εἶναι τοὺς σύμπαντας κατὰ μὲν Καίσαρα 328, κατὰ δὲ Στράβωνα, 400, κατὰ δὲ Πλούταρχον, 470 χιλιάδας.—Στ. 10, Πρὸς τὴν πόλιν.] Ἐκ ΔΓ, ΑΤ, Πρὸς τῇ πόλει.—Στ. 23, Ἀφαλόμενος.] ΠΡΔ (ὑπὸ τῆς ἐσφαλμένης γραφῆς Ἀφαλλόμενος ὑπαγορευθεῖσα) ΑΤ, Ἀφελόμενος.

ΣΕΛΙΔ. 291, στ. 3, Ἔργον ὄν.] Ἐξ ΕΔ προσέθηκα τὴν μετοχήν.—Στ. 4, Πεποιημένος.] ΔΓ, Ποιούμενος.—Ἀπὸ τῶν ἀνταγωνιστῶν.] ΠΡΔ, ΑΤ, Ἐπὶ τῶν ἀνταγωνιστῶν. ΔΓ, Ἐπὶ τὸν ἀνταγωνιστήν.—Στ. 15, Ὥσπερ ἀκυβέρνητον ναῦν.] Ἐξ ΕΔ προσέθηκα τὴν τελευταίαν λέξιν, ἐκφράσαντος αὐτὴν καὶ τοῦ Α, διὰ τοῦ Navire.—Στ. 22, Καλλωπιζόμενος.] Ὑποκρινόμενος, προσποιούμενος· ἐφ' ἧς σημασίας οὔπω τέτακται ἐν τοῖς Λεξικοῖς.—Στ. 30, Χίλια τάλαντα.] Χιλίοις ταλάντοις, ὤφειλεν εἰπεῖν· καὶ ἔστι Πλουτάρχου, οὐ τῶν ἀντιγραφέων τὸ ἁμάρτημα.

ΣΕΛΙΔ. 292, στ. 5, Νεοκωμίτας.] Ἀπὸ τῆς πόλεως Κώμου, τανῦν Como τοῖς Ἰταλοῖς καλουμένης, περὶ ἧς Στράβων (Ε, σελ. 213) φησί « Αὕτη δ' ἦν μὲν κατοικία μετρία· Πομπήϊος δὲ Στράβων ὁ Μάγνου πα-» τὴρ κακωθεῖσαν ὑπὸ τῶν ὑπερκειμένων Ῥαιτῶν συνῴκισεν· εἶτα Γάϊος » Σκιπίων περὶ τρισχιλίους προσέθηκεν· εἶτα ὁ θεὸς Καῖσαρ πεντακισχι-» λίους ἐπισυνῴκισεν, ὧν οἱ πεντακόσιοι τῶν Ἑλλήνων ὑπῆρξαν οἱ ἐπιφα-

» νέστατοι. Τούτοις δὲ καὶ πολιτείαν ἔδωκε, καὶ ἐνέγραψεν αὐτοὺς εἰς » τοὺς ΣΥΝΟΙΚΟΥΣ· ΟΥ̓ ΜΕΝΤΟΙ ὬΚΗΣΑΝ αὐτόθι, ἀλλὰ καὶ τοὔνομά » γε τῷ κτίσματι ἐκεῖνοι κατέλιπον. Νεοκωμῖται γὰρ ἐκλήθησαν ἅπαντες· » τοῦτο δὲ μεθερμηνευθὲν Ν ο β ο υ μ κ ώ μ ο υ μ, λέγεται ». Καὶ ταῦτα μὲν ὁ Στράβων, οὗ ἐν τοῖς τελευταίοις γραπτέον οἶμαι, « Καὶ ἐνέγραψεν » αὐτοὺς εἰς τοὺς ΣΥΝΟΙΚΟΥΣ· ΚΑΙ ΟΥ̓ ΜΟΝΟΝ ΣΥΝὨΚΗΣΑΝ αὐτόθι, » ἀλλὰ κ. τ. λ. » Ταύτης δὲ τῆς διορθώσεως τὸν νοῦν ἐξέφρασε καὶ ὁ συνεργαζόμενος ἐμοὶ εἰς τὴν Στράβωνος μετάφρασιν σοφὸς Δυτείλιος (Τόμ. Β, σελ. 119).—Στ. 9, Προστίθησιν.] Ἴσως γρ. Π ε ρ ι τ ί θ η σ ι ν, ὡς καὶ ἕτεροι ὑπέλαβον.—Στ. 11, Ῥύδην.] « Ῥυδὸν ἢ Ῥύδην (φησὶν Ἡσύχιος), χύ» δην, δαψιλῶς, ῥευστικῶς, σφοδρῶς ». Ἐν οἷς δὲ τούτων ἀνωτέρω ἐσημειώσατο ὁ αὐτὸς Λεξικογράφος, « Ῥύδην, εὐκόλως, ἢ ἀ θ ρ ό ω ς ἐ π ι τ ρ έ» χ ο ν τ ε ς » γραπτέον ἴσως... ἢ ἀ θ ρ ό ω ς, ἐ π ι τ ρ ε χ ό ν τ ω ς· καὶ ἔσται τὸ μήπω καταχωρισθὲν ἐν τοῖς Λεξικοῖς, Ἐ π ι τ ρ ε χ ό ν τ ω ς, συγγενὲς καὶ συνώνυμον ἐπίῤῥημα τῷ Ἐ π ι τ ρ ο χ ά δ η ν.—Στ. 15, Προσῳκοδόμησεν.] Ἐκ ΔΓ, ΑΤ, Προσεκόμισεν· ἀνθ' οὗ οἱ ΠΡ, ἔγραψαν, Π ρ ο σ ε κ ό λ λ η σ ε ν· Ἕτεροι δὲ γραπτέον εἶναι, Π ρ ο σ ε κ ό σ μ η σ ε ν, ὑπειλήφασι —Στ. 22, Οὐκ ἐπιεικεῖς, οὐδὲ χρηστοὺς κ. τ. λ.] Παράβαλλε τοῖς ἀνωτέρω. (Πομπ. § 57, σελ. 156) εἰρημένοις.—Στ. 26, Ὑπούλους.] Ἐκ ΔΓ (συναδούσης τῷ Α) οἱ ΠΡ, ΑΤ, Ὑπούλου.—Μόλις ἔχοντα.] Ἐκληπτέον τὸ Ἔ χ ο ν τ α ἀντὶ τοῦ Κ α τ έ χ ο ν τ α ὡς ἡρμήνευσαν οἱ ΠΡ, πλὴν εἰ μήτις γράφειν, Μ ό λ ι ς σ υ ν έ χ ο ν τ α, προαιροῖτο.—Στ. 27, Κἂν μόνον ὑπερβάλωσιν.] Οἱ τοῦ Καίσαρος στρατιῶται. Συνέταξε δὲ πρὸς τὸ Δ ύ ν α μ ι ς, κατὰ τὸ νοούμενον

ΣΕΛΙΔ. 293, στ. 1, Τῷ δοκεῖν.] Ὡς κακῶς ᾤετο ἠπατημένος ὁ Πομπήϊος, οὐκ ἀληθῶς καταπολιτευόμενος Καίσαρα. Οὕτως ἐξεδέξατο καὶ ὁ Α' τοῦ χωρίου τὸν νοῦν.—Στ. 2, Καταψηφιζόμενος.] Ἐκ ΔΓ, ΑΤ, Ψηφιζόμενος. Σημαίνει δὲ ἐνθάδε ἡ Κ α τ ὰ, ἐπίτασιν· τουτέστι, συχνὰ ψηφίσματα γράφων.—Στ. 17, Βίᾳ τῶν ὑπάτων.] Ἐκ ΔΓ (συναδούσης τῷ Α), ΑΤ, Διὰ τῶν ὑπάτων—Στ. 21, Τῇ μέν.] Τῇ πρώτῃ ἐρωτήσει, Εἰ δ ο κ ε ῖ Π ο μ π ή ϊ ο ν ἀ φ ε ῖ ν α ι τ ο ὺ ς σ τ ρ α τ ι ώ τ α ς.—Στ. 22, Ὀλίγοι παντάπασιν.] Τῶν πλειόνων, Ο ὐ δ ο κ ε ῖ, ἀποκριναμένων.—Τῇ δέ.] Τῇ δευτέρᾳ, Εἰ δ ο κ ε ῖ Κ α ί σ α ρ α κ. τ. λ.—Πάντες.] Ἀπεκρίναντο, Δ ο κ ε ῖ.—Στ. 28, Ἐπεί.] Ἀντὶ τοῦ, Ἔ π ε ι τ α χρῆσθαι τῷ Ἐ π ε ὶ ἐνθάδε φασί τινες τὸν Πλούταρχον, καθὰ καὶ ὁ Α ἡρμήνευσεν· ἕτεροι δὲ τὴν ἀπόδοσιν τοῦ Ἐ π ε ὶ,

ἐν τοῖς ἐχομένοις, Ὁ δὲ, τἄλλα συγχωρῶν, κεῖσθαι ὑπειλήφασι.

ΣΕΛΙΔ. 294, στ. 6, Διδόντος.] ΔΓ, Ἐνδιδόντος.—Στ. 22, Τῆς Ἰταλίας.] Οὕτως ἔγραψα, ὡρμημένος ἐκ τοῦ Πλουταρχείου (Πομπ. § 60, σελ. 159) παραλλήλου χωρίου, ΑΤ, Τῆς Κελτικῆς. Οὐ γὰρ τῆς Κελτικῆς, ἀλλὰ τῆς Ἰταλίας, καθὰ καὶ οἱ ΠΡ ἐσημειώσαντο, ἐστὶ τὸ Ἀρίμινον. Εἰρεῖσθαι μέντοι, Τῆς Κελτικῆς, οὐ γραφέων ἁμαρτίᾳ δοκεῖ μᾶλλον, ἢ Πλουτάρχου μνημονικῇ συγχύσει, ἄλλως τε καὶ τοῦ Ἀριμίνου ὁμοροῦντος τῇ Κελτικῇ. Διὸ καὶ ὁ Α, παραμυθούμενος τὴν ἁμαρτίαν, οὕτω παρέφρασε τὸ κείμενον, la ville d' Ariminum, grande ville, que lon rencontre a premiere au sortir de la Gaule.—Στ. 23, Φεισαμένους] ΔΓ, Φεισάμενος.—Στ. 25, Διήγαγεν.] Ἐξ ΕΔ, ΑΤ, Διῆγεν· Κατ' ἀόριστον δὲ καὶ ὁ Α.—Στ. 28, Κεκλημένοις.] ΔΓ, Παρακεκλημένοις—Καὶ τοὺς μὲν ἄλλους... καὶ κελεύσας.] Διέγραψα τὸν πρῶτον Καὶ, ὡς ἔδοξε καὶ τοῖς ΠΡ. Ἔστι δ' ἀντ' αὐτοῦ καὶ τὸν δεύτερον διαγράφειν, Καὶ τοὺς μὲν ἄλλους... ἐκέλευσε.

ΣΕΛΙΔ. 295, στ. 3, Ὁρίζοντα.] ΔΓ, Διορίζοντα.—Στ. 11, Συνδιηπόρησεν.] ΔΓ, Συνηπόρησεν.—Στ. 18, Τῇ προτέρᾳ νυκτὶ τῆς διαβάσεως ὄναρ δεῖν ἔκθεσμον.] Δίων δὲ ὁ Κάσσιος (ΜΑ, § 24), οὐ τῇ προτέρᾳ νυκτὶ τῆς διαβάσεως, ἀλλ' ἐν Γαδείροις ἔτι ταμιεύοντα τὸν Καίσαρα φησὶν ἰδεῖν τὸ ὄναρ, « Γαδειρεῦσι πολιτείαν ἅπασιν ἔδωκεν... ἀμειβόμενος σφᾶς τῆς τοῦ » ὀνείρου ὄψεως, δι' ἧς ἐνταῦθα, ὅτε ἐταμίευσε, συγγεγονέναι τῇ μητρὶ ἔδο» ξε κ. τ. λ. » ᾧ συνᾴδει καὶ Συετώνιος (Sueton. Jul. Cæs. § 7).—Στ. 12, Αὐτῆς.] Τῆς διαβάσεως.—Στ. 19, Ἐδόκει γὰρ αὐτὸς κ. τ. λ.] Ἐξέστω καὶ τὰ γελοῖα τοῖς σπουδαίοις παραμιγνύντα, ἐξ Ἀρτεμιδώρου πυθέσθαι τοῦ ὀνείρου τὴν κρίσιν· εἶναι δὲ ἐκεῖνός φησι (Ὀνειροκριτικ. Α, 79) τὸ τοιοῦτον ὄναρ « Ἀγαθὸν παντὶ δημαγωγῷ καὶ πολιτευτῇ· σημαίνει γὰρ » τὴν πατρίδα ἡ μήτηρ. Ὥσπερ οὖν ὁ μιγνύμενος κατὰ νόμον Ἀφροδίτης, » παντὸς ἄρχει τοῦ σώματος τῆς συνούσης πειθομένης καὶ ἑκούσης· οὕτως » ὁ ἰδὼν πάντων προστήσεται τῶν τῆς πόλεως πραγμάτων ». Τὴν δὲ περὶ ὀνείρων ταύτην ματαιοσοφίαν μακρῷ ἀρχαιοτέραν εἶναι Ἀρτεμιδώρου, δηλοῦσι μὲν, καὶ οἱ ἐν Γαδείροις ἐξηγησάμενοι Καίσαρι τὸ ὄναρ, ὥς φασι Δίων τε καὶ Συετώνιος, δηλοῖ δὲ μάλιστα καὶ Ἡρόδοτος (ς', 107) τὰ περὶ Ἱππίου τοῦ Πεισιστράτου ἱστορῶν, « Ὄψιν ἰδὼν ἐν τῷ ὕπνῳ τοιήνδε· » ἐδόκεε ὁ Ἱππίης τῇ μητρὶ τῇ ἑωυτοῦ συνευνηθῆναι· συνεβάλετο ὦν»

» ἐκ τοῦ ὀνείρου, κατελθὼν εἰς τὰς Ἀθήνας καὶ ἀνασωσάμενος τὴν ἀρχὴν, » τελευτήσειν ἐν τῇ ἑωυτοῦ γηραιῇ ». Καὶ σημειωτέον, πρῶτον μὲν, ὅτι τὸν περὶ μετὰ μητρὸς συγκαθευδήσεως ὄνειρον, τὸν αὐτὸν τρόπον ἐφ' Ἱππίου, ὥσπερ καὶ ἐπὶ Καίσαρος, ἐξηγοῦντο, καὶ ὡς χιλίοις καὶ τετρακοσίοις σχεδὸν ἔτεσι μετὰ Καίσαρα ἐξηγεῖτο ὁ ἰαμβογραφήσας τὰ ὀνειροκριτικὰ ἡμέτερος Πατριάρχης Νικηφόρος,

Μητρὶ πλακεὶς κάλλιστον εἰς ὄναρ νόει.

ἔπειθ, ὅτι Καίσαρι μὲν εἰς μοναρχίαν ἐτελεύτησεν ὁ ὄνειρος, ἧς ἅμα καὶ τοῦ βίου μικρὸν ὕστερον σφαγεὶς ἀπηλλάγη· Ἱππίᾳ δὲ, ἐν αὐτῇ τῇ ἐν Μαραθῶνι μάχῃ πεσόντι, οὐδ' ἐξεγένετο τυραννῆσαι δεύτερον τῆς πατρίδος, Nefarius Hippias, Pisistrati filius, qui in Marathonia pugna cecidit, arma contra patriam ferens (Κικέρ. ἐν τοῖς πρὸς Ἀττικ. ἐπιστολ. Θ, 10). Ἐκ τούτων οὖν καὶ τῶν τοιούτων συλλογισαμένους χρὴ τοὺς νοῦν ἔχοντας ἀπιστεῖν τῇ διὰ τῶν ὀνείρων μαντείᾳ, τοῦ Σοφοκλείου (Οἰδ. Τύρ. 981-983) μεμνημένους παραγγέλματος,

Πολλοὶ γὰρ ἤδη κἀν ὀνείρασι βροτῶν
Μητρὶ ξυνευνάσθησαν. Ἀλλὰ ταῦθ' ὅτῳ
Παρ' οὐδέν ἐστι, ῥᾷστα τὸν βίον φέρει.

— Στ. 29, Μικρὸν ἀπολιπεῖν -.. ἀνατετράφθαι.] Κατ' ἔλλειψιν τοῦ ἄρθρου, Τ οῦ, ἀπεναντίως τῇ χρήσει τῶν δοκίμων. Καὶ ἕτερον δὲ Πλουτάρχου χωρίον ὁμοίως ἔχον κατεχώρισεν ὁ Στέφανος ἐν τῷ Θησαυρῷ (Β, σελ. 665). Ἐλλειπτικῶς δὲ τοῦ ἄρθρου καὶ ἡ παρ' ἡμῖν συνήθεια τὰ τοιαῦτα ἐκφέρει, οἷον τὸ Πλουτάρχειον τοῦτο, Ὀλίγον ἔλειψε νὰ ἀφανισθῇ αὐτὴ ἀφ' ἑαυτῆς. Ἐπιθ: καὶ τὰ εἰς τὸν Ἰσοκράτην (Β, σελ. 106) σημειωθέντα.

ΣΕΛΙΔ. 296, στ. 1, Τὸ χαῖρον... τῷ δεδοικότι καὶ λυπουμένῳ... συμπίπτον... καὶ θρασυνόμενον κ. τ. λ.] Σημειοῦ τὴν χρῆσιν τοῦ ἑνικοῦ ἀριθμοῦ ἀντὶ τοῦ πληθυντικοῦ φίλην οὖσαν Πλουτάρχῳ, ὥσπερ καὶ τὴν τῶν μετοχῶν· ὁ γὰρ νοῦς, Οὐθ' οἱ χαίροντες τῶν Ῥωμαίων ἡσυχίαν ἦγον, ἀλλὰ τοῖς δεδοικόσι καὶ λυπουμένοις συμπίπτοντες, καὶ θρασυνόμενοι δι' ἔριδος ἦσαν.— Στ, 8, Κατηγορούντων.] Ἐκ ΔΓ, ΑΤ, Κατηγοροῦντας.— Στ. 9, Τῷ ποδί.] ΔΓ. Ἐν τῷ ποδί.— Στ. 11, Ὅποι ἂν ἐπίῃ ] Ἐκ ΔΓ καὶ ΕΔ, ΑΤ, Ὅταν ἀπίῃ. Συνῳδὰ δὲ τούτοις καὶ τὰ ἀνωτέρω (Πομπ. § 57 σελ. 157) Ὁ δὲ νοῦς, Ὅποι ἂν τῆς Ἰταλίας ἐπέλθῃ ὁ Πομπήϊος·— Στ. 16, Πολεμίου.] ΔΓ,

Πολέμου— Στ. 17, Εἶξας συνεξεκρούσθη.] Ἐξ ΗΔ, ΑΤ, Εἶξας συνεκρούσθη ΔΓ, Εἶξας καὶ συνεκκρουσθεὶς, ἣν προείλοντο οἱ ΠΡ, διαγράψαντες τὸν πρὸ τοῦ Ψηφίζεται σύνδεσμον, καὶ μεταβαλόντες τὸ ῥῆμα εἰς τὸ Ἐψηφίζετο. — Στ. 25, Ἐξέπεσον.. τῶν λογισμῶν.] Λέγει καὶ ἡ παρ' ἡμῖν συνήθεια, Ἔπεσες ἀπὸ τὸν νοῦν, ἢ ἄπο τὰ μυαλά σου. Φαμὲν γὰρ οὐ μόνον ἀρσενικῶς ἑνικῶς, Ὁ μυελὸς καὶ μυαλὸς (κατὰ τὸ Ὕελος καὶ Ὕαλος), ἀλλὰ καὶ πληθυντικῶς οὐδετέρως, Τὰ μυαλὰ, κατὰ τὸ νῦν, Ὁ πηλὸς καὶ Τὰ πηλὰ, καὶ τὰ παρὰ τοῖς ἀρχαίοις, Ὁ λύχνος καὶ Τὰ λύχνα, Ὁ δεσμὸς καὶ Τὰ δεσμὰ, καὶ ἕτερα τοιαῦτα.— Στ. 29, Ἐκπεσεῖν.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἐμπεσεῖν.— Ἀναγκαζομένης.] Ἐξ ΗΔ, ΑΤ, (ἀδιανοήτου), Κομιζομένης. ἀνθ' οὗ οἱ ΠΡ, Ἐωμένης, γεγράφθαι εἴκασαν.

ΣΕΛΙΔ. 297, στ. 2, Ἐξέλειπον.] Ἐξ ΗΔ (συναδούσης τοῖς μεταφρασταῖς) ΑΤ. Ἐξέλιπον.— Στ. 5, Ὤχετο.] ΔΓ, Ἀφίκετο.— Στ. 17, Ἀνέστρεψαν.] ΔΓ, Ἐπέστρεψαν.

ΣΕΛΙΔ. 298 στ. 5, Ἐκ τῶν ἀποθέτων χρημάτων.] Ποῖα ἦν τὰ ἀπόθετα χρήματα ταῦτα, ἐδήλωσεν Ἀππιανὸς (Ῥωμ. ἐμφυλ. Β, 41) φάσκων, «Τὰ » δὲ κλεῖθρα τῶν δημοσίων ταμιείων ἐξέκοπτε, καὶ τῶν δημάρχων ἑνὶ Μετέλλῳ » κωλύοντι θάνατον ἠπείλει. Τῶν τε ἀψαύστων ἐκίνει χρημάτων, ἅ φασιν ἐπ » Κελτοῖς πάλαι σὺν ἀρᾷ δημοσίᾳ τεθῆναι μὴ σαλεύειν ἐς μηδὲν, εἰ μὴ Κελ» τικὸς πόλεμος ἐπίοι. Ὁ δὲ ἔφη, Κελτοὺς αὐτὸς ἐς τὸ ἀσφαλέστατον ἑλὼν, » λελυκέναι τῇ πόλει τὴν ἀράν».— Στ. 15, Διατεινάμενος.] Ἐκ ΔΓ, ΑΤ, Διατεινόμενος. Ἑτέρα ΔΓ, Ἀνατεινάμενος.— Στ. 17, Δυσκολώτερον ἦν κ. τ. λ.] Ἔπιθι τὰ ἀνωτέρω (Πομπ. § 62, σελ. 161).— Στ. 23, Ὑπολιπόμενος.] ΠΡΔ, ΑΤ, Ὑπολειπόμενος.— Στ. 24, Τῷ σώματι.] Ἐξ ΗΔ ἡ τοῦ ἄρθρου προσθήκη.

ΣΕΛΙΔ. 299, στ. 12, Ὤρικον.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Νώρικον. Ἔπιθι τὰ ἐν τοῖς πρόσθεν (σελ. 390) σεσημειωμένα.— Στ. 15, Πολέμων.] Ἐκ ΔΓ, ΑΤ, Πολεμίων.— Στ. 16, Πεῖ δή.] Ἐκ ΔΓ, ΑΤ, Πῆ δή.— Στ. 17, Ἡμᾶς ὁ ἀνὴρ καταθήσεται.] ΔΓ, Ὁ ἀνὴρ καταθήσεται (δίχα τῆς ἀντωνυμίας, Ἡμᾶς): Ἡμᾶς ὁ ἀνὴρ οὗτος καταθήσεται. Ἐξ ὧν οἱ ΠΡ ταύτην ἔγνωσαν διασκευάσαι τὴν γραφὴν, Ὁ ἀνὴρ καταχθήσεται, ἧς ἑτέραν οὐ χεῖρω διασκευάζειν οἷόν τε, Ὁ ἀνὴρ κατενεχθήσεται. Ἀλλ' οὐ μετακινητέον τὴν ἐκδεδομένην γραφὴν, Ἡμᾶς ὁ ἀνὴρ καταθήσεται, μεταφορικῶς πεφρασμένην ἀπὸ τῶν κατατιθεμένων ἃ φέρουσι φορτία,

Οὕτω γοῦν ὁ παρὰ τῷ Κωμικῷ (Βατρ. 165) Ξανθίας, ἐπὶ τῶν ὤμων φέρων ἔτι τὰ σκεύη, τὸν δεσπότην κελεύοντα,

— Σὺ δὲ τὰ στρώματ' αὖθις λάμβανε,

ἐρωτᾷ,

Πρὶν καὶ καταθέσθαι; —————

— Στ. 18, Ἀτρύτοις.] ΔΓ, Ἀτρώτοις.— Στ. 19, Φειδώ.] ΔΓ, Φειδώς. Καὶ μήποτε ἦν ἀναλογώτερον τὸ διὰ τοῦ σ. Τὰ γὰρ εἰς ω λήγοντα κύρια εἶναι ὡς ἐπίπαν ἐθέλει, οἷον Δηώ, Ἰώ, Καλυψώ, Κλωθώ, Λητώ, Σαπφώ καὶ ἕτερα πλεῖστα· τὰ δὲ προσλαμβάνοντα τὸ σ εἰς προσηγορικὰ μεταπίπτει οἷον Αἰδώς, Ἅλως, Ἕως, ἡ Ἠώς, πλὴν τοῦ, Ἠχώ, Πειθώ, Φειδώ. Παρὰ δὲ τὰ τρία ταῦτα ἴσως οὐκ ἔστιν εὑρεῖν ἕτερα· τὸ γὰρ Ἀηδώ, Εἰκώ, Χελιδώ, καὶ τὰ τοιαῦτα, ἀττικὴν ἀποβολὴν τοῦ ν πεπονθέναι φασί, ἀντὶ τοῦ Ἀηδών, Εἰκών, Χελιδών.— Στ. 23, Παραβάλλεται.] Ῥιψοκινδυνεῖ, ἢ ὡς ἡ παρ' ἡμῖν συνήθεια, Ῥιψοκινδυνεύει. Ἔστι δὲ μέσον ἀντὶ τοῦ, Παραβάλλει ἑαυτόν. Ὅμηρος δὲ καὶ πρὸς αἰτιατικὴν συνῆψε (Ἰλιάδ. ί, 322),

Αἰεὶ ἐμὴν ψυχὴν παραβαλλόμενος πολεμίζειν.

— Στ. 26, Ἐκάκιζον.] Ὡς κακούς, τουτέστιν ἀνάνδρους, ἔψεγον. Σημαίνει δὲ ἁπλῶς καὶ τὸ ψέγειν τινά, οἷον δήποτε ἐγκαλοῦντα, ὅπερ ἡ συνήθεια Κακολογεῖν λέγει.

ΣΕΛΙΔ. 300, στ. 4, Δωδεκάσκαλμον.] Ἐπίθι τὰ ἀλλαχοῦ (Πλουτάρχ. Β, σελ. 403).— Στ. 8, Ἀνίου.] Ἄωον τοῦτον ὀνομάζει ὁ Στράβων (Ζ, σελ. 316), προσιστορῶν καὶ ὅτι ἀρχαιότερον Αἴας ἐκαλεῖτο. Ἕτεροι Λῷον ὀνομάζουσι τὸν ποταμόν· καὶ ἴδε τὰ περὶ τῆς διαφόρου ταύτης γραφῆς σημειωθέντα μοι εἰς τὴν Γαλατικὴν τοῦ Στράβωνος μετάφρασιν (Τόμ. 3, σελ. 80).— Στ. 10 Πνεύσας.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Πλεύσας.— Στ. 11, Πελάγιος διὰ νυκτὸς ἄνεμος.] Προσθεῖναι δεῖν ἔγνων τὴν τελευταίαν λέξιν, οὐχ' οἷαν ἐλλειπτικῶς ὑπονοεῖσθαι οὖσαν ἐνθάδε.— Στ. 15, Ἀποστρέψων.] ΔΓ, Ἀποτρέψων.— Στ. 19, Ἐλάθοντο.] Ἴσως γρ. Ἐπελάθοντο, ὥς τις εἴκασε τῶν ΠΡ.— Στ. 20, Ἐμφύντες ταῖς κώπαις.] Μεταφορικῶς, οἱονεὶ προσκολληθέντες, τουτέστι, μετὰ πολλῆς τῆς προθυμίας δραξάμενοι τῶν κωπῶν.— Στ. 24, Δυσπαθοῦντες.] Κέχρηται καὶ ἀλλαχοῦ Πλούταρχος τῇ λέξει ἐπὶ τοῦ Δεινοπα-

θοῦντες· Ἡ δὲ χρῆσις τοῦ παρακμάζοντος ἐστιν ἑλληνισμοῦ· σημαίνει γὰρ κυρίως τὸ Δυσπαθεῖν, τὸ μὴ εὐχερῶς πάσχειν, ὥσπερ καὶ ὁ Δυσπαθὴς, τὸν μὴ εὐχερῶς πάσχοντα, καὶ ἐγγὺς ὄντα τοῦ ἀπαθοῦς.— Στ. 29, Ἱδρυμένον ἐν καλῷ.] Ἐλλειπτικῶς τοῦ, Τόπῳ· ὥσπερ καὶ τὸ παρ' Ὁμήρῳ (Ἰλιάδ. Θ, 491),

ἘΝ ΚΑΘΑΡΩ͂, ὅθι δὴ νεκύων διεφαίνετο χῶρος.

ΣΕΛΙΔ. 301, Στ. 2, Ῥίζαν τινὰ κόπτοντες.] Τὴν ῥίζαν ταύτην ὁ Καῖσαρ (Ἐμφυλ. πολέμ. Γ, 48) Χάραν (Chara) ὀνομάζει· ὁ δὲ Πλίνιος (ΙΘ, 8, καὶ Κ, 9), Λαψάνην (Lapsana), εἶδος εἶναι λέγων ἀγρίας κράμβης. Ἔστι καὶ παρὰ τῷ Θεοφράστῳ (Θ. 15) Δαύκου τι γένος, τοῦ καὶ Σταφυλίνου καλουμένου, ὃ φησιν ἐκεῖνος Ἀρκάδας μὲν, Ῥάφανον ἀγρίαν καλεῖν τινὰς δὲ τῶν Ἰατρῶν, Κέραν, ἢ, ὡς φέρεται παρ' Ἡσυχίῳ, Κέρας, « Σταφυλῖνος ἄγριος, ὃν ἔνιοι Κέρας καλοῦσι». Ἐκ τούτων ὡρμημένοι τινὲς ᾠήθησαν καὶ παρὰ τῷ Καίσαρι Κάραν (Cara) οὐ Χάραν (Chara) γραπτέον εἶναι, καὶ τὴν αὐτὴν εἶναι τῇ παρὰ τῷ Θεοφράστῳ Κέρᾳ (Δωριστὶ Κάρᾳ, κατὰ τὸ Ἄρτεμις, Ἄρταμις), ἐξ οὗ καὶ τὸ παρ' Ἀθηναίῳ (Θ, σελ. 371) οὐδετέρως λεγόμενον, Καρωτὸν, ὅ ἐστι μέγας καὶ εὐαυξὴς σταφυλῖνος, καὶ ἡ παρὰ τοῖς πάλαι Ῥωμαίοις, καὶ τοῖς νῦν Ἰταλοῖς, λεγομένη Carota (Γαλλ. Carotte). Ταύτην ἡ παρ' ἡμῖν συνήθεια τῷ ἀρχαίῳ ὀνόματι Δαυκίον καλεῖ· ἔνιοι δὲ καὶ Λαυκίον, Δωριέων διαλέκτῳ, καθ' ἣν καὶ Λάφνην ἔλεγον τὴν Δάφνην (παρ' ὃ τὸ Ῥωμαϊκὸν Laurus) καὶ Λίσκον, τὸν Δίσκον (Ἡσύχ. λέξ. Λάφνη, καὶ Λίσκος), καὶ τὴν Ὀδυσσεία, Ὀλυσσεία (Εὐστάθ. Ἰλιάδ. Β, σελ. 289). Διὸ καὶ Vlysses ὑπὸ Ῥωμαίων καλεῖται ὁ Ἥρως οὗτος, καθὰ καὶ τὸ Δάκρυμα, Lacryma, καὶ τὸ Ἄδακρυς, Alacris. Καὶ ταῦτα μὲν, οὐδὲν πρὸς τὸν Πλούταρχον ὄντα, παρέλιπον ἂν, εἰ τοῖς ἡμετέροις, ὥσπερ τοῖς σοφοῖς τῶν Εὐρωπαίων, ἦσαν κατάδηλα. Νῦν δὲ μακροὺς ἀποτείνειν λόγους ἀνάγκη, καὶ πλατυτέρας ποιεῖσθαι τὰς σημειώσεις, ἵνα γοῦν τοῦτο τοὺς παρ' ἡμῖν φιλομούσους διδάξω ὡς οὐκ ἔστιν ὀρθῶς τὴν Ἑλλάδα φωνὴν εἰδέναι τὸν μὴ τῆς Ῥωμαίων φωνῆς ἐπαΐοντα, οὐδὲ τὸν μὴ ἀμφοτέρας ἐξακριβώσαντα, τὴν παρ' ἡμῖν νῦν συνήθη φωνὴν εἰς τὸ κοσμιώτερον μεθαρμόζειν.— Στ. 12, Ἐκινδύνευσεν ἀπολέσαι.] ΠΡΔ, ΑΤ, Ἐκινδύνευσε μὲν ἀπολέσαι.— Στ. 18, Σημείων.] ΔΓ, Σημαιῶν.— Στ. 22, Ἐπήρατο.] ΠΡΔ (συνᾴδουσα τῷ Α), ΑΤ, Ἐπειρᾶτο.— Στ. 23, Ὡς καθιζόμενος.] Ὡς τύψων.

ΣΕΛΙΔ. 302, στ. 3, Ἐκεῖ περισπᾶσαι τὸν πόλεμον.] Καλῶς ἔχει τὸ Περισπᾶσαι· ἔστι γὰρ ἀπὸ τῆς παραλίας σπάσαντα εἰς Μακεδονίαν καὶ Θετταλίαν μετενεγκεῖν, di tirar la guerra là, ὥσπερ ἡρμήνευσεν ὁ Ἰταλὸς μεταφραστής. Ἐνδέχεται μέντοι καί, Περιστῆσαι, γεγράφθαι, κατὰ τὸ ἐν τοῖς ἑξῆς (σελ. 309) «Περιίστησιν αὐτῷ βαρὺν... πόλεμον» — Στ. 6, Περισπασθεὶς καὶ ἀνιαθείς.] Ἐνταῦθα δὲ οὐκ ἀνύποπτον τὸ, Περισπασθείς, εἰ μηδὲ δι' ἓν ἄλλο, διά γε τὴν ΔΓ τοῦ χωρίου, Ῥιπτασθεὶς καὶ ἀδημονήσας. Διὸ καί τις τῶν ΠΡ ὑπετόπασε μήποτε ἐγέγραπτο, Περιπαθής, ὀρθότερον ἂν ὑποτοπάσας, ἢ μετοχικῶς ἔλεγε, Περιπαθήσας, ὅπερ ἔοικε συνιδεῖν καὶ ὁ Λ, ἑρμηνεύσας διὰ τοῦ se faschant.—Στ. 15, Πρὸς τὸν χρόνον.] Κατ' ἔλλειψιν τοῦ, Πολὺν, ἢ Μακρὸν, καθὰ καὶ ἐν τῷ, Διὰ χρόνου λείπει τὸ Πολλοῦ (Ἀριστοφαν. Εἰρ. 710),

Ἆρ' ἂν βλαβῆναι διὰ χρόνου τί σοι δοκῶ;

— Στ. 19, Τειχοφυλακοῦντες.] Ἐκ ΔΓ, ΑΤ, Τειχομαχοῦντες.— Στ. 21 Ἐγκαταλείποντες.] Ἐξ ΗΔ, ΑΤ, Ἐγκαταλιπόντες.] — Στ. 27, Πομπήϊον... μὴ βουλόμενον.] Ἐξ ΗΔ. ΑΤ. Πομπηΐῳ... μὴ βουλομένῳ.—Στ. 29, Εἰς χιλίους.] Ἀνωτέρω δὲ (Πομπ. § 65, σελ. 164) Δισχιλίους, εἶπεν. Ἀλλ' ἴσως κἀκεῖ ἀντὶ τοῦ Δισχιλίων, γραπτέον, Χιλίων, ὥς τις εἴκασε τῶν ΠΡ.

ΣΕΛΙΔ. 303, Στ. 1, Παρώξυνον.] Ἐξ ΗΔ, ΑΤ, Παρώξυναν.— Στ. 7, Φιλαρχίαν.] Ἐκ ΔΓ, ΑΤ, Μοναρχίαν.— Ἀφράνιος.] Ἐξ ΕΔ καὶ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἀφράνιον.—Στ. 10, Μάχονται.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Μάχεται.—Στ. 18, Διεκρούσαντο.] Μὴ μετακίνει τὴν γραφὴν, ὥς τινες παρῄνεσαν τῶν ΠΡ· ἔστι γάρ, Διέφυγον, καθὰ ἐξηγεῖται Ἡσύχιος — Στ. 18, Παρήλλαξαν τὸ πάθος.] Παρῆλθον τὴν νόσον. — Στ. 24, Ὑπὸ Ῥωμαίων.] Καὶ οἱ ΠΡ κατενόησαν ἐξεῤῥυπκέναι τινὰ τοῦ χωρίου, ἃ ἐκ τῶν ἀνωτέρω (Πομπ. § 68, σελ. 167) ἱστορημένων ἀναπληροῦν ἔστι τῷ βουλομένῳ.

ΣΕΛΙΔ. 304, στ. 8, Κορφίνιος.] ΔΓ, Κορνιφίκιος· ἣν ἐπαινέσαντες οἱ ΠΡ, οὐ κατεχώρισαν ὅμως εἰς τὸ κείμενον.— Στ. 23, Περὶ τὸ μεσονύκτιον.] Ἀνωτέρω δὲ (Πομπ. § 68, σελ. 167), Ἑωθινῆς φυλακῆς, εἴρηκε.— Στ. 28, Ἐπὶ Σκοτούσσης.] ΠΡΔ, ΑΤ, Ἐπὶ σκότους.

ΣΕΛΙΔ. 305, στ. 1, Εὐξάμενος.] ΔΓ, Προσευξάμενος.— Στ. 3, Καλβῖνον Δομίτιον.] Ἴδε τὰ ἀνωτέρω (σελ. 392) σημειωθέντα.— Στ. 11, Τοῦ δὲ

μέσου Σκιπίων ἦρχεν.] ΔΓ, Τὸ δὲ μέσον Σκιπίων εἶχεν.— Στ, 12, Ἔβρισαν.] Μεθ' ὁρμῆς ἐπέπισον, κατὰ τὸ (Ἰλιάδ, μ', 346),

Ὧδε γὰρ ἔβρισαν Λυκίων ἀγοί...

— Στ. 14, Οὐδὲν γὰρ ἀνθέξειν κ. τ. λ.] Προσυπάκουε τούτῳ τε καὶ τοῖς ἑξῆς ἀπαρεμφάτοις τὸ Ὤοντο, ἢ Ἐνόμιζον, καθὰ καὶ οἱ ΠΡ, ἐσημειώσαντο.— Στ. 21, Καὶ φορᾶς.] Ἐκ ΔΓ, ΑΤ, Καὶ φοβεράν. Ἔπιθι τὰ ἀνωτέρω (σελ. 392) Ῥωμαϊστὶ παρατεθέντα ἐκ τοῦ Καίσαρος.— Στ. 26, Προκαλούμενον.] Ἐξ ΕΔ, ΑΤ, Προσκαλούμενον.— Στ. 28, Κρασσίνιε.] Ἴδε τὰ ἐν τοῖς πρόσθεν (σελ. 393) σημειωθέντα περὶ τούτου τοῦ ὀνόματος.— Πῶς τοῦ θράσους.] Ἐξ ΕΔ, ΑΤ, Πῶς τι θράσους;— Στ. 30, Ἐμὲ γάρ.] Ἀνωτέρω δὲ (Πομπ. § 71, σελ. 170) Ἐμὲ δέ.

ΣΕΛΙΔ. 306, στ. 5, Αἰχμήν.] ΔΓ, Ἀκμὴν ὅπερ ἄμεινον, καίπερ καὶ ἀνωτέρω (Πομπ. § 71, σελ. 170) Αἰχμὴν, οὔσης τῆς γραφῆς.— Στ. 9, Ἴλας.] ΔΓ, Εἴλας· καὶ σημειούσθω διὰ τὰ ἀλλαχοῦ (Ἰσοκράτ. Α, σελ. πα-λθ' καὶ Β, σελ. 334) σημειωθέντα περὶ τῶν διττογραφουμένων ει καὶ ι, οἷς προςθείσθω ὁ Ἴλιγγος καὶ Εἴλιγγος, ὁ Ἱρμὸς καὶ Εἱρμὸς, ἔτι δὲ ὁ Δῖνος καὶ Δεῖνος, καὶ ὁ Χιλὸς καὶ Χειλός· πολλαχοῦ δὲ καὶ ὁ Ἐπαμινώνδας, Ἐπαμεινώνδας εὕρηται.— Στ. 14, Ἐλπίζοντος.] ΔΓ, Ἐλπίζοντες. — Στ. 18, Τὴν αὐθις αἰσχύνην.] Τὸ εἰσίπειτα τοῦ προσώπου αἰσχρόν.— Στ. 20, Ἀπεστρέφοντο.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ἐπεστρέφοντο.— Στ. 27, Διὰ θείας ὄττης.] ΠΡΔ, ΑΤ, Διὰ θείας ἥττης. Ὄσσα ἢ Ὄττα, κληδὼν, φήμη, μαντεία, οἰωνὸς, φωνὴ θεόπεμπτος, ἐπί τι προτρέπουσα, ἢ τινὸς ἀποτρέπουσα (Ἴδε τὰς εἰς τὸ Τιμ. Πλατων. Λεξ. σημειώσεις τοῦ Ῥυγκενίου σελ. 197).

ΣΕΛΙΔ. 307, στ. 4, Μεταλαβών.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Μεταβαλών.— Μὲν ὁποίαις ὕστερον.] Ἐξ ΕΔ, ΑΤ, Μὲν ταῖς ὕστερον· ἀνθ' οὗ οἱ ΠΡ γράφειν προείλοντο, Οἵαις ὕστερον.— Στ. 10, Ἐβουλήθησαν.] ΔΓ, Ἐβουλήθης· πρὸς τὸν ἀπόντα Πομπήϊον δηλονότι ὡς παρόντα διαλεγόμενος.— Στ. 11, Ὑπηγάγοντο.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ὑπήγαγον. Ἑτέρα ΔΓ, Ὑπηγάγου· πρὸς τὸν Πομπήϊον δηλαδὴ ἀποτεινόμενος.— Ἵνα... κἂν κατεδικάσθην.] Ἐπὶ τοῦ, Ὅπου ἐκδεκτέον εἶναι τὸ, Ἵνα, ἐνθάδε οἱ ΠΡ ἐσημειώσαντο. Ἔχοι δ' ἂν καὶ ἀντὶ τοῦ, Ὥστε, ἐκλαμβάνεσθαι· Εἰς τοσαύτην ἀνάγκην με ὑπηγάγοντο, ὥστε καὶ κατεδικάσθην ἂν, εἰ προηκάμην τὰ στρα-

τεύματα.— Στ. 13, Ἀσίνιος.] Ἐξ ΗΔ, ΑΤ, Ἀσίννιος.— Στ. 19, Εἰς τάγματα,] Τοιαύτη παρ᾽ ἅπασιν ἡ γραφή· γραπτέον μέντοι ὡρισμένως, Εἰς τὰ τάγματα, ὥσπερ ἐξέφρασε καὶ ὁ Α, parmy ses légions.

ΣΕΛΙΔ. 308, στ. 3, Θέᾳ.] Τυπογραφικῶς ἡμάρτηται τὸ ἐν τῇ Στεφανείῳ ἐκδόσει, Θεᾷ, καθὰ καὶ Πόρτος ἐσημειώσατο.—Στ. 11, Κνιδίους τε.] Ἐκ ΔΓ, ΑΤ, Κνιδίους μέν.— Θεοπόμπῳ.] Μνημονεύει τούτου καὶ Στράβων (ΙΔ᾽ σελ. 656) ἐν τῇ τῶν ἐνδόξων Κνιδίων ἀνδρῶν καταγραφῇ, γεγονέναι Καίσαρος φίλον φάσκων τῶν μεγάλα παρ᾽ αὐτῷ δυνηθέντων.— Στ. 14. Καταχθείς.] ΔΓ, Κατενεχθείς.— Στ. 23, Ποθεινόν.] ΔΓ, Φωτῖνον. Ἴδε τὰ ἐν τοῖς πρόσθεν (σελ. 397) σημειωθέντα.— Στ. 26, Αὐτόν.] Τὸν Καίσαρα.— Στ. 27, Ἀνεκτός.] Ὁ Ποθεινός.—Στ. 29, Τὸν κάκιστον μετρουμένους... σῖτον.] ΔΓ, Τὸν κάκιστον μετρούμενον κ. τ. λ. παθητικῶς δηλαδὴ πρὸς τὸ Σῖτον. Ἔοικε δὲ μᾶλλον διόρθωσις εἶναι κακοῦ γραμματικοῦ, μὴ συνέντος τὸ Μετρουμένους, κατὰ μέσην διάθεσιν, ταὐτὸ δύνασθαι τῷ, Μέτρῳ λαμβάνοντας. Κατ᾽ αὐτὴν δὲ ταύτην τὴν διάθεσιν σημαίνει προσέτι καὶ ὁ δανείζεσθαι, μέτρῳ δηλαδὴ καὶ τοῦτο, οἷον παρ᾽ Ἡσιόδῳ (Ἔργ. 349),

Εὖ μὲν μετρεῖσθαι παρὰ γείτονος, εὖ δ᾽ ἀποδοῦναι
Αὐτῷ τῷ μέτρῳ, καὶ λώϊον, αἴκε δύνηαι.

— Στ. 30, Ἐκέλευσεν.] Ἄμεινον ἂν γράφοις κατὰ παράτασιν, Ἐκέλευεν, ὡς ἡρμήνευσε καὶ ὁ Α.

ΣΕΛΙΔ. 309, στ. 12, Ἐμβᾶσα.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ἐκβᾶσα.— Στ. 13, Ἤδη συσκοτάζοντος.] Ἀπροσώπως τοῦτο, ὡς καὶ Θουκυδίδης (Ζ, 73) εἴρηκεν, «Ἡνίκα ξυνεσκόταζεν» καὶ ὡς ἡ παρ᾽ ἡμῖν συνήθεια ἔτι καὶ νῦν λέγει, οὐ μόνον, Ὅτε ἐσκοτείνιαζε, ἀλλὰ καί, Ὅτι ἐσκοτείνιαζε, καὶ τούτου τοῦ Ὅτι χρονικῶς λαμβανομένου, κατὰ μετάληψιν, διὰ τὴν πρὸς τὸ χρονικὸν Ὡς συγγένειαν.— Στ. 18, Λαμυρᾶς.] «Λαμυρὸν, εὔλαλον, εὐτράπελον, κατα- »πληκτικὸν, τερπνὸν» φησὶ Φώτιος.— Στ. 19, Συμβασιλεύσουσαν.] Ἐξ ΗΔ, ΑΤ, Συμβασιλεύουσαν.— Στ. 20, Ἐπὶ δέ] ΠΡΔ, ΑΤ, Ἔπειτα δέ.— Στ. 21, Ὑπερέβαλλεν.] Ἐξ ΗΔ, ΑΤ, Ὑπερέβαλεν.— Στ. 23, 25, Ἀχιλλᾶ... Ἀχιλλᾶς.] Ἐξ ΗΔ, ΑΤ, Ἀχίλλα... Ἀχίλλας.— Στ. 30, Τὸν στόλον.] ΔΓ, Τῷ στόλῳ.

ΣΕΛΙΔ. 310, στ. 14, Προσηγόρευσαν.] Ἐκ ΔΓ, ΑΤ, Ὑπηγόρευσαν.— Στ. 21, Ζήλαν.] Ζίηλαν γράφειν τινὲς παρήνεσαν, διὰ τὸ οὕτω καλεῖσθαι παρ᾽ οὐκ ὀλίγοις τῶν ἱστορικῶν. Ἀλλ᾽ ἐν τῇ τῶν ξενικῶν τούτων ὀνομάτων

γραφῇ οὐδὲν ἀραρὸς οὐδὲ πάγιον, οὔτε παρ' Ἕλλησιν, οὔτε παρὰ Ῥωμαίοις. Δίων γὰρ ὁ Κάσσιος, Ζέλειαν καλεῖ τὴν αὐτὴν πόλιν, Στράβων δὲ πληθυντικῶς καὶ οὐδετέρως, τὰ Ζῆλα (ἴδ. Κελλαρ. Γεωγρ. Τόμ. Β, σελ. 280). —Στ. 24, Ἀμίντιον.] ΔΓ, Ἀμάντιον.—Στ. 25, Ἦλθον, εἶδον, ἐνίκησα.] Συντομώτερον ῥωμαϊστὶ διὰ τριῶν δισσυλλάβων καὶ ὁμοιοκαταλήκτων λέξεων, ἔγραψε ταῦτα Καῖσαρ, Veni, vidi, vici, ἃ καὶ ὁ Ἰταλὸς μεταφραστὴς τῇ αὐτῇ ἐκ τῆς αὐτοῦ γλώσσης χρησάμενος συντομίᾳ, Veni, vidi, vinsi, ἡρμήνευσε. — Στ. 29, Ἥρητο.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἥρηται.

ΣΕΛΙΔ. 311, στ. 7, Κορφίνιος.] Διαγράψαι μοι ἔδοξε τοὔνομα· Ἀντώνιος γάρ, οὐ Κορφίνιος, ἦν ὁ τὴν Πομπηΐου οἰκίαν μικρᾶς τιμῆς ὠνησάμενος, καθὰ ἐσημειώσαντο καὶ οἱ ΠΡ.—Στ. 10, Οὐκ ἀγνοῶν.] ΔΓ, Οὔτ' ἀγνοῶν. —Οὐδὲ βουλόμενος.] Ἐξ ΗΔ, ΑΤ, Οὔτε βουλόμενος.—Στ. 25, Εἴτ' ἐκφλαυρίζων.] ΠΡΔ, ΑΤ, Εἴτε φλαυρίζων.

ΣΕΛΙΔ. 312, στ. 1, Σῖτος τοῖς ἀνδράσιν . . . ὑποζυγίοις χιλός.] Ὥσπερ ἀντιδιέσταλται ὁ Σῖτος πρὸς τὸν Χιλὸν, τὸν αὐτὸν τρόπον καὶ Σιτεῖσθαι ἢ Σιτίζεσθαι, μὲν ἐπὶ ἀνθρώπων κυρίως λέγεται, Χιλοῦσθαι δὲ ἐπὶ κτηνῶν, καὶ Χιλεύεσθαι. Ἔσθ' ὅτε μέντοι καὶ ἐνήλλακται, ἄλλως τε καὶ ἐν τῷ παρακμάζοντι ἑλληνισμῷ, οἷον, οἱ σιτευτοὶ μόσχοι, καὶ τὸ παρὰ τῷ Ἡσυχίῳ, « Χιλεύει στρατὸν, σιτοδοτεῖ στρατὸν, τρέφει »· οἷς οὐ συγκαταλεκτέον τὸ παρ' Ἰσοκράτει, (Μέρ. Α, σελ. 6) « Τοὺς τὰς ἀλλοτρίας κύνας σιτίζουσιν ». Λέγοιτο γὰρ ἂν κυρίως ἐπὶ κυνῶν, ὥσπερ καὶ ἐπὶ ἀνθρώπων, τὸ Σιτίζειν· ἐπεὶ καὶ τῆς αὐτῆς τοῖς ἀνθρώποις μεταλαμβάνουσιν οἱ κύνες τροφῆς· — Στ. 2, Βρύοις . . . θαλαττίοις.] Προσέθηκε τὸ Θαλαττίοις, πρὸς διαστολὴν, ὥσπερ καὶ Ἱπποκράτης (Φοεσ. Οἰκονομ. λέξ. Βρύον) εἴρηκε, « Βρύον θαλάσσιον, ὃ ἐπὶ τοὺς ἰχθύας ἐπιβάλλουσι. » Βρύα μὲν γάρ ἐστι τὰ ταῖς πέτραις, ἢ τοῖς τῶν δένδρων φλοιοῖς, ἐπιφυόμενα χορτώδη· μετήνεκται δὲ δι' ὁμοιότητά τινα καὶ ἐπὶ τὰ θαλάττια βλαστήματα, ἃ κυρίως Φύκια καλεῖται, καὶ Μνία· πλὴν εἰ μὴ τὸ Μνία γενικὸν ἦν ὄνομα, οὗ εἴδη τὰ Βρύα καὶ τὰ Φύκια, ὡς γοῦν ἐκ τοῦ Ἡσυχίου ἐστὶ συλλογίσασθαι, « Μνία, τὰ βρύα καὶ τὸ φῦκος ». Ἔσωσεν ἡ παρ' ἡμῖν συνήθεια ἀμφοτέρας τὰς λέξεις, Φύκια καὶ Βρύα, ἢ καὶ (πλεονασμῷ τοῦ α) Ἄβρυα, καλοῦσα τὰ τῆς θαλάσσης ἀποβλήματα. Τὸ δὲ τοῖς δένδροις ἢ ταῖς πέτραις ἐπιφυόμενον Μοῦσκλαν, ἢ Μοῦσκλον καλεῖ· ὅπερ ἔοικε μὲν παρὰ τὸ τῶν Ῥωμαίων Mus-

cus (ὅθεν τὸ τῶν Ἰταλῶν Musco, τὸ τῶν Γάλλων Mousse καὶ τὸ τῶν Γερμανῶν Moos), παρῆχθαι, οὐκ ἔστι δέ. Πολλῷ γὰρ μᾶλλον εἰκὸς τὸ Ῥωμαϊκὸν Muscus παρὰ τὸ Ἑλληνικὸν, Μ ύ σ χ η ς,[ὅπερ ἐστίν, Εὐρὼς, καθ' Ἡσύχιον, παρῆχθαι, καὶ συγγενὲς εἶναι τῷ παρ' ἐκείνοις Mucor, τῷ παρὰ τοῖς Ἕλλησι Μ ύ κ η ς, τῷ παρ' ἡμῖν Μ ο ύ χ λ α, τῷ σημαίνοντι τὸν εὐρῶτα (ἴδ. Πλουτάρχ. Μέρ. Β, σελ. 387). Ἧς συγγενείας μαρτύριόν ἐστι παρασχέσθαι καὶ τὰ παρὰ τοῖς Γάλλοις Mousse τὸ βρύον, Moisseron εἶδός τι μύκητος, καὶ Moisissure ὁ εὐρώς. Οἱ δὲ Ἰσπανοὶ διὰ τῆς αὐτῆς λέξεως Moho καὶ τὸ βρύον καὶ τὸν εὐρῶτα σημαίνουσι. Παραπλήσιον γάρ τί ἐστι τὸ βρύον, καὶ τῷ μύκητι (τῷ κοινῶς Ἀμανίτῃ καλουμένῳ), καὶ τῷ εὐρῶτι, ἢ τῇ μούχλᾳ. Εὕρηται δὲ καὶ ἐν ἀρχαίοις Λατινελληνικοῖς Λεξικοῖς. «Muscus, βρύον, φῦκος, μοῦσχος».—Στ. 3, Ἀποπλυνθείσης.]'Εκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἀποπλυθείσης,—Ἄγρωστιν.] «Ἄγρωστις, εἶδος βοτάνης, ἡ κοινῶς ἀγρία» φησὶ Σουΐδας. Τανῦν δὲ Ἀ γ ρ ι ά δ α καλοῦμεν.— Στ. 4,Ἐπάγειν τοῖς ἵπποις.] ΔΓ Ἐπάγειν τοὺς ἵππους· ἣν ἀμείνω τῆς ἐκδεδομένης εἶναι οὔθ' οἱ ΠΡ συνῆκαν, κἀγὼ νῦν ὀψὲ τοῦ καιροῦ συνίημι. Εἰ γὰρ εἶχε καλῶς ἡ δοτικὴ, οὐκ ἂν, Ἐ π ά γ ε ι ν, ἀλλὰ, Π ρ ο σ ά γ ε ι ν, εἶπεν, οὐδὲ τοῦτο πάνυ τι κυριολεκτούμενον ἐπὶ τοιαύτης ἐννοίας. Τὸ δὲ Ἐ π ά γ ε ι ν τ ο ὺ ς ἵ π π ο υ ς, συνάπτεται πρὸς τὸ, Β ρ ύ ο ι ς.— Στ. 6, Καίποτε... οἱ ΔΕ τερπόμενοι ... ἐξαίφνης ΔΕ περιελθόντες κ.τ.λ.] Ὑποδύσκολον οὖσαν τοῦ χωρίου τὴν συνάρτησιν, δυσκολωτέραν ἐποίησαν οἱ ΠΡ, τρέψαντες εἰς τὸν Μ ὲ ν τὸν πρῶτον ΔΕ, καὶ τὸ σημεῖον τῆς παρενθέσεως μετατοπίσαντες εἰς τὸ Ἀ ξ ί ω ς. Μόνῃ τῇ περιαιρέσει τοῦ δευτέρου Δὲ, σαφὲς, οἶμαι, καὶ κατάδηλον γίγνεται τὸ λεγόμενον — Στ. 7, Ἀνὴρ Λίβυς ἐπιδεικνύμενος ὄρχησιν.] Λυγιζόμενος δηλονότι καὶ καμπτόμενος κατὰ τὸν παρὰ τῷ Ἡλιοδώρῳ (Α, σελ. 376) Λίβυα.— Στ. 21, Θάψον.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ. Θάψακον· Συρίας γὰρ πόλις ἡ Θ ά ψ α κ ο ς, τῆς δὲ Λιβύης ἡ Θάψος. Στ. 23, Προσβολὰς ἀφράστους.] Εἰσόδους κεκρυμμένας, ἀδήλους, ἃς οὐκ ἄν τις εὐχερῶς φράσαιτο. «Ἄφρα-» «στον, ἀπρονόητον, ὥστε μηδένα νοῆσαι» φησὶν Ἡσύχιος· ἐφ' ἧς ἐννοίας ἐχρήσατο Ἡρόδοτος (Ε, 92) τῇ λέξει, «Φέρουσα [κατακρύπτει ἐς τὸ ἀφρα-» «στότατόν οἱ ἐφαίνετο εἶναι, ἐς κυψέλην». — Στ. 26, Ὑφ' ἧς.] ΠΡΔ, ΑΤ, Ἐφ' ἧς.—Στ. 28, Ἡμέρας μὲν μιᾶς.] Διαγράφειν ἔδοξέ μοι τὸν σύνδεσμον.

ΣΕΛΙΔ. 313, στ. 1, Ἐν τῷ ἔργῳ.] Ἐν αὐτῇ δηλαδὴ τῇ μάχῃ, ἐν αὐτῇ τῇ εἰς χεῖρας ἐλεύσει· ἐφ' ἧς ἐννοίας τάττει Θουκυδίδης (Β, 89) τὴν

λέξιν, καὶ οἱ Γάλλοι τῆς ἰδίας φωνῆς τὴν ταυτόσημον action.—Στ, 28 Διὰ Καίσαρα καὶ Κάτωνα.] Τῶν τις ΠΡ γραπτέον εἶναι ἡγήσατο, Διὰ Καίσαρα καὶ Κικέρωνα, ἢ, Διὰ Καίσαρα καὶ Κικέρωνα καὶ Κάτωνα, ἢ μονωνύμως, Διὰ Κάτωνα.

ΣΕΛΙΔ. 314, στ. 5, Τὸν Αἰγυπτιακὸν, τὸν Ποντικὸν, τὸν Λιβυκόν.] Ἢ Πλουτάρχου, ἢ τῶν ἀντιγραφέων ἁμαρτίᾳ, παραλελεῖφθαι τέταρτον ἐνθάδε τὸν Γαλατικὸν θρίαμβον εἰκότως ἐσημειώσαντο οἱ ΠΡ, μάρτυρα ἐπαγόμενοι τὸν Ἀππιανὸν (Ῥωμαϊκ. ἐμφύλ. Β, 101), ὅς φησιν, « Ἐθριάμ-» βευε τέσσαρας ὁμοῦ θριάμβους· ἐπί τε Γαλάταις... καὶ Ποντι-» κὸν, ἐπὶ Φαρνάκει, καὶ Λιβυκὸν, ἐπὶ Λιβύων τοῖς συμμαχήσασι Σκι-» πίωνι... παρήγαγε δέ τινα καὶ τῆς ἀνὰ τὸν Νεῖλον ναυμαχίας θρίαμ-» βον Αἰγύπτιον μεταξὺ τοῦ Γαλατῶν καὶ Φαρνάκους ». Συνομολογοῦσι δὲ τῷ Ἀππιανῷ καὶ Δίων, καὶ Λίβιος, καὶ Συετώνιος, καὶ Οὐελλήϊος Πατέρκυλος.—Στ. 6, Ἰόβας, υἱὸς ὢν κ. τ. λ.] Οὗτός ἐστιν Ἰόβας, οὗ τὴν εἰκόνα ἀνωτέρω (σελ. 9) ἐστὶ θεάσασθαι, ἀνὴρ ἀείμνηστος δι' ἃ συνέγραψεν. Τούτων δὲ τὰ μνημονευόμενα παρὰ τῷ Ἀθηναίῳ, ἐπιγραφὰς φέρει ταύτας, Θεατρικὴ ἱστορία, Λιβυκὰ, Ὁμοιότητες· ὧν ἁπάντων ἡμῖν ὁ χρόνος ἐφθόνησε.—Στ. 8, Ἐκ βαρβάρου καὶ νομάδος.] Ἐκ ΔΓ ΑΤ, Ἐκ βαρβάρων καὶ νομάδων. Πρὸς δὲ τὸ ἐπαγόμενον ἀπαρέμφατον, Γενέσθαι, προσυπακουστέον τὸ, Ὥστε.—Στ. 14, Γενομένων τιμήσεων... τοσοῦτον ἀπηνάλωσε τοῦ δήμου μέρος.] Αἰτιῶνταί τινες τῶν νεωτέρων Πλούταρχον (καίπερ συνᾴδοντα ἐν πολλοῖς ὧν φησιν ἐνθάδε ἑτέροις ἱστορικοῖς) πρῶτον μὲν, ὅτι τιμήσεις λέγει γεγονέναι ὑπὸ Καίσαρος μὴ γενομένας, ἔπειτα καὶ τῶν ἀριθμῶν ἕνεκα, τοῦ τε Δυεῖν καὶ τριάκοντα μυριάδων, καὶ τοῦ, Πεντεκαίδεκα μυριάδων, ὡς μακρὸν τοῦ ἀληθοῦς ἀπολελειμμένων. Ἕτεροι δὲ ἀπολῦσαι τῆς αἰτίας τὸν Πλούταρχον ἐσπούδασαν. Ἀλλ' ἐπεὶ τά τε κατηγορημένα καὶ τὰ συνηγορημένα μακρότερα ἢ ὥστε καταχωρισθῆναι ἐν ταῖς σημειώσεσιν ὄντα τυγχάνει, πρὸς δὲ καὶ οὐ πολὺ παρέξειν τὸ χρήσιμον μέλλουσι τοῖς μὴ τὴν Ῥωμαϊκὴν ἱστορίαν ἐξακριβώσασιν, ἐᾷν ἔγνων ἐν τῷ παρόντι, τοῖς βουλομένοις εἰδέναι δείξας μόνον τοὺς τόπους· εἰσὶ δὲ ἥ τε Ῥεϊσκιανὴ Πλουτάρχου ἔκδοσις (Τόμ. Δ, σελ. 863-876) καὶ οἱ ἐκδοθέντες δύο βίοι, Ἀλεξάνδρου καὶ Καίσαρος, ὑπὸ τοῦ Σχμιεδήρου (σελ. 298-299).—Στ. 18, Ἔξω τοῦ λόγου τιθεμένοις τὰ κατασχόντα... ἀτυχήματα.] Ἀσυνάρτητον εἶναι τὴν φρά-

σιν ὑπέλαβον οἱ ΠΡ, καὶ παρήνουν γράφειν, Καὶ ταῦτα λέγω ἔξω τοῦ λόγου τιθέμενος τὰ κατασχόντα... ἀτυχήματα. Ἀλλ' οὐ μετακινητέον τὴν γραφήν· φέρεται γὰρ τὸ Τιθεμένοις πρὸς τὸ συνυπακουόμενον τῷ Ἀπειργάσατο ῥήματι Ῥωμαίοις.—Στ. 27, Εἰ μηδὲν αἰδοῦνται λαβόντες... τοῖς παιδαρίοις.] ΠΡΔ τὸ Λαβόντες, ΑΤ, Λαβόντας. Λέγει δὲ, Τοῖς παιδαρίοις, τοὺς Πομπηΐου υἱοὺς οὕτω καλῶν σκωπτικῶς. Πολύαινος δὲ (Στρατηγημ. Η, κγ', 16, σελ. 269) ἑτέρως τοῦτο ἱστόρηκε.

ΣΕΛΙΔ. 315, στ. 11, Τύχη.] ΔΓ, Τύχαις.—Στ. 15, Πέμψαντα.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Πέμψαι.

ΣΕΛΙΔ. 316, στ. 2, Ἑαυτόν.] Ἐξ ΕΔ προσέθηκαν τὴν ἀντωνυμίαν οἱ ΠΡ.—Τό γε τῆς Ἐπιεικείας.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Τότε τῆς Ἐπιεικείας. Ἡ δὲ Ἐπιείκεια παρὰ τὸ Εἴκω, καὶ Ἐπιεικὴς, ὁ ῥᾳδίως εἴκων, καὶ καμπτόμενος, ἀντιδιεσταλμένως πρὸς τὸν ἄκαμπτον καὶ ἀνένδοτον· ὥσπερ ἥ τε τὴν ἐπιείκειαν δηλοῦσα Ῥωμαϊκὴ λέξις Clementia, καὶ ἡ τὸν ἐπιεικῆ Clemens, ὀρθῶς ἐτυμολόγηται παρὰ τὴν ῥᾳδίαν κλίσιν τοῦ μένους, τουτέστι τῆς ψυχῆς, ὡς εἶναι τὸν Ἐπιεικῆ οἱονεὶ Κλινομενῆ τινα, καθάπερ ἐδήλωσε καὶ Ὅμηρος (Ἰλιάδ. Ε, 892),

Μητρός τοι ΜΕΝΟΣ ἐστὶν ἈΑΣΧΕΤΟΝ, οὐκ ἘΠΙΕΙΚΤΟΝ.

Ὅτι δὲ συνωνυμεῖ τὸ Κλίνω τῷ Εἴκω, δηλοῖ μὲν καὶ ὁ παρὰ τοῖς ἀρχαίοις, Ἀκλινὴς δικαστὴς, τουτέστιν ὁ ἄκαμπτος, ἡ ἀδυσώπητος καὶ μηδὲν ἐπιεικὲς ἔχων, δηλοῖ δὲ καὶ τὸ παρ' ἡμῖν, Κλίνω εἰς τὴν γνώμην σου, ἢ εἰς τὰ λεγόμενα, δι' οὗ τὸ ἑλληνικὸν, Εἴκω τοῖς λεγομένοις, ἐκφράζομεν.—Στ. 12, Ἑαυτοῦ.] Διαγραπτέον εἶναι τὴν ἀντωνυμίαν ταύτην ἔδοξεν εἰκότως τοῖς ΠΡ.—Στ. 15. Καρχηδὼν καὶ Κόρινθος.. τὴν ἀνάληψιν.] Τὴν μὲν τῆς Κορίνθου ἀνάληψιν ὑπὸ Καίσαρος γεγενῆσθαι καὶ ἑτέρους μαρτυρεῖν ἐσημειώσατό τις τῶν ΠΡ· Καρχηδόνα δ' Αὔγουστον, οὐκ Ἰούλιον Καίσαρα, ἀναλαβεῖν ἱστόρηται.—Αἷς καὶ πρότερον.] Οὐκ ἀπιθάνως ἴσως, Αἷς ὡς καὶ πρότερον, ὑπέλαβέ τις τῶν ΠΡ γραπτέον εἶναι,—Στ. 22, Ῥεβίλιον.] Ῥεβίλον ἕτεροι ὀνομάζουσι τοῦτον.

ΣΕΛΙΔ. 317, στ. 4, Ἐκπεριελθόντι τὸν Πόντον.] Ἡ μὲν τοῦ ἄρθρου προσθήκη ἐξ ΗΔ· τὸ δὲ Πόντον ἐκ ΔΓ (συναδούσης τῷ Α), ΑΤ, Τόπον. Οὕτω δὲ δεῖν γράφειν, μὴ γράψας, ὑπέλαβε καὶ ὁ Σχαιφῆρος.—

Στ. 9, Ἀνικηνὸν ἐπὶ τούτῳ προχειρισάμενος.] Τὸ μὲν, Ἐπὶ τούτῳ, ἐκ ΔΓ παρείληφα (μηδὲν ἴσως δέον) ΑΤ, Ἐπὶ τοῦτο. Τὸ Ἀνικηνὸν δὲ ἀπορίαν παρέσχε· οἱ μὲν γὰρ μεταφρασταὶ, ἐκ τοῦ προσεχοῦς Τιβέρεως κακῶς συλλογισάμενοι, ποταμοῦ ὑπέλαβον ὄνομα εἶναι, ὃν Πλούταρχος ἀλλαχοῦ (Μέρ. Α, σελ. 197 καὶ Μέρ. Β, σελ. 47) Ἀνίηνα ἐκάλεσεν· οἱ δὲ ὑπομνηματισταὶ ἀνδρὸς μὲν ὄνομα ὀρθῶς ἡγήσαντο, ὃν Καῖσαρ τῇ διασκαφῇ τοῦ Ἰσθμοῦ ἐπέστησε, τρέπειν δὲ δεῖν τινες αὐτῶν εἰς τὸ, Ἀνίκιον, ἢ Ἀμμιανὸν, φάθησαν.—Στ. 12, Ταῤῥακίνῃ.] ΠΡΔ, ΑΤ, Ταῤῥακίνην.—Στ. 14, Πωμέντιον.] Ἐξ ΕΔ, ΑΤ, Νωμεντῖνον· ἀνθ' οὗ οἱ ΠΡ ἔγραψαν Πωμήτιον.—Σήτιον.] ΔΓ, Σητίαν· ἣν προείλοντο οἱ ΠΡ.—Στ. 23, Τεταραγμέναις.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Τεταγμέναις.—Στ. 30, Μερκηδόνιον.] Ἔπιθι τὰ ἀλλαχοῦ (Πλουτάρχ. Μέρ. Α, σελ. 403) περὶ τούτου σημειωθέντα.

ΣΕΛΙΔ. 318, στ. 3, Τοῖς ἀρίστοις τῶν φιλοσόφων καὶ μαθηματικῶν.] Ἐν οἷς ἦν μάλιστα Σωσιγένης, τὸ γένος Ἕλλην (Ἴδ. Πλίνιον, ΙΗ, 25).—Στ. 7, Καὶ περὶ τοῖς.] Φέρεται ΔΓ, Καὶ περὶ τοῦτο τοῖς, τῆς ἐκδεδομένης ἀμείνων.—Στ. 23, Αὐτῷ.] Ἐξ ΕΔ, ΑΤ, Αὐτοῦ. Ἢ ταύτην οὖν ἀποδεκτέον, ἢ τὴν πρόθεσιν περιγραπτέον.—Στ. 28, Τὰς τιμάς.] ΔΓ, Τὰ τιμῆς (ἐξ ἑτέρας ἴσως, Τὰ τῆς τιμῆς).—Καὶ τοῦτ'.] Τὸ μὴ ὑπεξαναστῆναι τὸν Καίσαρα τῇ βουλῇ.

ΣΕΛΙΔ. 319, στ. 7, Εἰλίγγους.] Σημειοῦ τὴν γραφὴν, περὶ ἧς σεσημείωταί τι καὶ ἐν τοῖς πρόσθεν (σελ. 490).—Ἐπισπᾶσθαι.] Ἐξ ΗΔ, ΑΤ, Ἐπισπάσασθαι.—Στ. 16, Τοῖς Ἀρκαδικοῖς Λυκαίοις.] Ὧν ἐμνήσθη Πλούταρχος καὶ ἐν τῷ Ῥωμύλου βίῳ (§ 21, Α, σελ. 55). —Τῶν δ' εὐγενῶν νεανίσκων.] Οὓς ἐκάλουν Λουπέρκους Lupercos, οἱονεὶ Λυκείους, ὡς ἐδήλωσε Πλούταρχος ἐν Ῥωμύλου βίῳ.—Στ. 19, Παρέχουσιν ... τὼ χεῖρε ταῖς πληγαῖς, πεπεισμέναι πρὸς εὐτοκίαν κ. τ. λ.] Μαρτυρεῖ τῷ λεγομένῳ καὶ Ἰουβενάλιος (Satir. II, 140-142).

————————— Steriles morientur, et illis
Turgidà non prodest condita pyxide Lyde,
Nec prodest agili palmas præbere Luperco,

τουτέστι, Στεῖραι τεθνήξονται, καὶ οὔθ' ἡ παχεῖα [μαῖα] Λύδη, τοῖς ἐκ τῆς πυξίδος φαρμάκοις, οὔτε τὸ παρέχειν τὼ χεῖρε τῷ διατρέχοντι Λουπέρκῳ γονίμους αὐτὰς ποιήσει.

ΣΕΛΙΔ. 320, στ. 11, Βρούτους τε καὶ Κυμαίους ἀπεκάλει τοὺς ἀν-

δρας.] Τὸ μὲν Βρούτους πρὸς τὸ σημαινόμενον αἰνιττόμενος· Βροῦτος (Brutus) γὰρ παρὰ Ῥωμαίοις, ὄνομα κύριον τοῦ καταλύσαντος τὴν βασιλείαν, παρὰ τὸ ἐπίθετον brutus ἐστὶ, τὸ σημαῖνον τὸν ἠλίθιον, ἢ ἀναίσθητον, οὕτως ἐκεῖνον ὀνομασάντων τῶν Ῥωμαίων διὰ τὸ μωρίαν ὑποκρίνασθαι, ὡς ἱστορεῖ Διονύσιος ὁ Ἀλικαρνασσεὺς (Ῥωμ. Ἀρχαιολογ. Δ, § 67 καὶ 68)· τὸ δὲ Κυμαίους, ὅτι διεβεβόηντο καὶ οὗτοι παρ' Ἕλλησιν ἐπὶ μωρίᾳ· ὅθεν καὶ ἡ παροιμία, Ὄνος εἰς Κυμαίους, οὐκ ἐπὶ τῶν παραδόξων καὶ σπανίων, ὡς ἐξηγεῖται Σουΐδας, ἀλλ' ἐπὶ τῶν δεδιότων τὰ δέους ἀνάξια. Λέγεται καὶ ἑτέρως ἡ παροιμία, Ταῦτα Κυμαίοις· ἐμοὶ δ' ὄνος εἴης· φασὶ γὰρ τοὺς Κυμαίους ὡς θηρίον δεδιέναι τὸν ὄνον. Ὀνηλάτην οὖν φυγόντα ὄνον καὶ σκιρτῶντα παίειν, καὶ λέγειν, «Ταῦτα Κυμαίοις· ἐμοὶ δ' ὄνος εἴης» (Ἴδ. Παροιμ. Ἀποστολ. σελ. 224 καὶ Μύθ. Αἰσωπ. συναγωγ. σελ. 170 ἡμετέρ. ἐκδ.). Στράβων δὲ (σελ. 622) καὶ ἕτερα τῆς Κυμαίων ἀναισθησίας τεκμήρια ἱστόρηκεν, οὐχ ἧττον γελοῖα.— Στ. 14, Καὶ πρὸς μητρὸς δ' ἀπό.] Διαγραπτέος μοι ἔδοξεν εἶναι ὁ σύνδεσμος· οὐ γὰρ οὗτος, ἀλλ' ὁ ἐχόμενος Δὲ (Γαμβρὸν δὲ) ἀναφέρεται πρὸς τὸν Μέν.—Στ. 19, Οὐδὲ πολλούς.] Καὶ οὐ μόνον πολλούς.— Στ. 27, Ἀναμενεῖ τοῦτο τὸ δέρμα Βροῦτος.] Ἐξ ΕΔ τὸ Ἀναμενεῖ, ΑΤ, Ἀναμένει, καὶ ἐκ ΔΓ, τὸ Βροῦτος, ΑΤ, Βροῦτον. Ἑτέρα ΔΓ, Σῶμα, ΑΤ, Δέρμα. Ἐπιθι τὸν Βίον τοῦ Βρούτου (§ 8).

ΣΕΛΙΔ. 321, στ. 3, Καθεύδεις Βροῦτε κ. τ. λ.] Οὐ μόνον δὲ τῷ δίφρῳ, ἀλλὰ καὶ τῷ ἀνδριάντι Καίσαρος ἐπέγραψάν τινα, ἐν οἷς ἦν καὶ τὸ ἑξῆς, ὥς φησι Συετώνιος (Ἰουλ. Καισ. § 80),

Brutus, quia reges ejecit, consul primus factus est,

Hic, quia consules ejecit, rex postremo factus est,

τουτέστι, Βροῦτος, διὰ τὸ καταλῦσαι τοὺς βασιλεῖς, πρῶτος ὕπατος ἀνηγορεύθη· οὗτος, διὰ τὸ καταλῦσαι τοὺς ὑπάτους ἔσχατος βασιλεὺς ἀνηγορεύθη, Βροῦτον μὲν τὸν παλαιὸν λέγοντες, ἔσχατον δὲ ἐν Ῥώμῃ τῷ Βασιλέως ὀνόματι κληθήσεσθαι, διὰ τὴν ὅσον οὔπω ἀναίρεσιν, ἐλπίζοντες τὸν Καίσαρα.— Στ. 6, Αὐτός.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Αὐτούς. Στ. 17, Κτύπους. Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Τύπους Καὶ ἔοικεν ἡ τῆς γραφῆς αἵρεσις ἐκ τῶν ἑξῆς (σελ. 322), «Ἅμα τῷ κτύπῳ καὶ τῷ φωτί». Ἴσως δὲ καὶ ἐν τῷ Στράβωνος (Α, σελ. 19) τῷδε χωρίῳ· «Οἵ τε πολλοὶ τῶν τὰς πόλεις οἰκούντων εἰς μὲν προτροπὴν ἄγονται τοῖς

» ἤθεσι τῶν μύθων... εἰς ἀποτροπὴν δὲ, ὅταν κολάσεις θεῶν, καὶ φόβους, » καὶ ἀπειλὰς, ἢ διὰ λόγων, ἢ διὰ ΤΥΠΩΝ τινῶν ἈΩΡΩΝ προσδέχωνται, » ἢ καὶ πιστεύωσι περιπεσεῖν τινας », γραπτέον ΚΤΥΠΩΝ.— Στ. 20, Στράβων δ' ὁ φιλόσοφος ἱστορεῖ.] Αὐτὸς οὗτος ὁ Γεωγράφος· οὐ μέντοι ἐν τῇ Γεωγραφίᾳ, ἐξ ἧς παρεθέμεθα τὴν ἀνωτέρω ῥῆσιν, ἀλλ' ἐν τῇ μηκέτι σωζομένῃ αὐτοῦ ἱστορίᾳ.— Ἀνθρώπους.] ΔΓ, Ἀνθρώπων.— Στ. 23, Αὐτῷ δὲ Καίσαρι θύοντι τὴν καρδίαν ἀφανῆ γενέσθαι τοῦ ἱερείου.] Συμβῆναι τοῦτο καὶ ἄλλοτε Καίσαρι τὸ σημεῖον, ἐν στρατοπέδῳ διάγοντι, καὶ καταφρονηθῆναι, φήσαντος, « Καὶ τί παράδοξον, εἰ ἄλογον ζῶον καρδίαν οὐκ ἔχει; » Πολύαινος (Στρατηγημ. Η, κγ', § 33. σελ. 171) ἱστόρηκε· πλὴν εἰ μὴ συνέχεεν, οἷα φιλεῖ, ταῦτα ὁ ἱστορήσας, τὸ πρὸ μικροῦ τῆς σφαγῆς συμβὰν, εἰς ἀρχαιότερον μεταθεὶς χρόνον.— Στ. 25 Δεινὸν νομισθῆναι.] Ἐξ ΗΔ, ΑΤ, Δεινὸν εἶναι.

ΣΕΛΙΔ. 322, στ. 3, Ἐπιστολαῖς.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἐπιστολάς.— Στ. 8, Ἅμα τῷ κτύπῳ, καὶ τῷ φωτὶ, καταλαμπούσης κ. τ. λ.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἅμα τῷ κτύπῳ καὶ τῷ φωτὶ, καὶ λαμπούσης.— Στ. 11, Ἄρα.] Ἐξ ΗΔ, ΑΤ, Ἄρα.— Στ. 14, Προσκείμενον, οἷον ἐπὶ κόσμῳ καὶ σεμνότητι, τῆς βουλῆς ψηφισαμένης, ἀκρωτήριον.] Fastigium ὀνομάζει Συετώνιος (Ἰουλ. Καισ. § 81), ὃ Πλούταρχος διὰ τοῦ Ἀκρωτήριον ἐξέφρασε, καὶ ὃ οἱ ἀρχαῖοι Ἀέτωμα, ἢ Ἀετὸν, ἐκάλουν. Τοῦτο γὰρ ἡ βουλὴ, κολακεύουσα Καίσαρα, τῇ ὀροφῇ ἐπιθεῖναι τοῦ οἴκου ἐψηφίσατο, θεῶν ἱεροῖς ἐξαίρετον ὄν, ἢ δῆλον καὶ ἐξ ὧν ἐσημειώσατο Κασωβῶν εἰς τὸν Συετώνιον, μάρτυρα τὸν κωμικὸν ἐπαγόμενος (Ἀριστοφάν. Ὄρν. 1109),

Εἶτα πρὸς τούτοισιν, ὥσπερ ἐν ἹΕΡΟΙΣ οἰκήσετε.
Τὰς γὰρ ὑμῶν οἰκίας ἘΡΕΨΟΜΕΝ ΠΡΟΣ ἈΕΤΟΝ.

Ὅπου ὁ Σχολιαστής φησι, « Τὰς γὰρ τῶν ἱερῶν στέγας, Πτερὰ, καὶ Ἀετοὺς καλοῦσι », διὰ τὸ ἐοικέναι πτέρυξιν ἀετοῦ, ὡς ἐξηγεῖται Εὐστάθιος (Ἰλιάδ. ὠ, σελ. 1352). Οὐ μόνον δὲ Πτερὰ, ἀλλὰ καὶ Πτερύγια, καθὰ δηλοῖ τὸ παρὰ τῷ Εὐαγγελιστῇ Ματθαίῳ (δ', 5) Πτερύγιον τοῦ ἱεροῦ. « Ἀέτωμα (φησὶν Ἐρωτιανὸς), ἡ στεφάνη τοῦ δώματος »· κατὰ δὲ τὸν Γαληνὸν, ἐν ταῖς τῶν Ἱπποκράτους γλωσσῶν ἐξηγήσεσι, « Τὸ εἰς ὕψος ἀνατεταμένον τῆς ὀροφῆς, ὥσπερ τρίγωνον ». Ἡσύχιος δέ φησιν, « Ἀετός... κυμάτιον τὸ ἐν τοῖς γείσσοις », παρ' ᾧ εὕρηται καὶ « Πτερύγιον, ἀκρωτήριον »,

— Στ 17, Ἡμέρας οὖν.] Ἐξ ΗΔ, ΑΤ, Ἡμέρας δ' οὖν.— Στ. 24, Ἔφασαν.] ΔΓ, Ἔφρασαν.— Ἀφεῖναι.] Ἀπολῦσαι. «Ἀ φ ε θ ῆ ν α ι, ἀπολυθῆναι... Ἀ φ ῆ κ ε ν, ἐξέπεμψεν» φησὶν Ἡσύχιος.— Στ. 26, Δέκιμος.] Ἐκ ΔΓ (συναδούσης Ἀππιανῷ καὶ ἑτέροις) οἱ ΠΡ, ΑΤ, Δέκιος.

ΣΕΛΙΔ. 323, Στ. 3, Ἐντρυφᾶσθαι.] Ὑβρίζεσθαι, καταφρονεῖσθαι. Ἴδε Πλουτάρχου Μέρ. Α, σελ. 446.— Στ. 8, Ἐντύχῃ.] Ἐξ ΗΔ, ΑΤ, Ἐντύχοι.— Στ. 20, Ἀρτεμίδωρος δὲ, Κνίδιος τὸ γένος.] Ὅτι μὲν ὁ ἀνωτέρω (§ 48, σελ. 308) μνημονευθεὶς Θεόπομπος ὁ Κνίδιος, ὁ Καίσαρος φίλος, υἱὸν εἶχε καλούμενον Ἀρτεμίδωρον, ἱστόρηκε Στράβων (ΙΔ, σελ. 656)· εἰ δ' αὐτὸς οὗτος, οὗ μνημονεύει Πλούταρχος ἐνθάδε, ἐστὶν ὁ Θεοπόμπου υἱὸς, οὐκ ἔχω λέγειν.

ΣΕΛΙΔ. 324, στ. 6, Προσκεκοσμημένων] Ἐξ ΕΔ, ΑΤ, Π ρ ο κ ε κ ο σ μ η μ έ ν ω ν. Ἕτεροι δὲ, Π ρ ο σ κ ε κ ο λ λ η μ έ ν ω ν, παρήνεσαν γράφειν. Ἴσως κἀνταῦθα, Π ρ ο σ ῳ κ ο δ ο μ η μ έ ν ω ν γραπτέον, ὡς ἔγραψα ἀνωτέρω (§ 29, σελ. 192)—Στ. 10, Σιωπῇ.] ΔΓ, σιωπῶν.—Στ. 14, Βροῦτος Ἀλβῖνος.] Μνημονικὸν Πλουτάρχου ἁμάρτημα· ἐν γὰρ τῷ Βρούτου βίῳ (§ 17) Τ ρ ε β ώ ν ι ο ν (συνῳδῶς καὶ Ἀππιανῷ καὶ Κικέρωνι) ὀνομάζει τὸν ἄνδρα, ὃς παρακατέσχε τὸν Ἀντώνιον.—Στ. 18, Τυλλίῳ] Ἐξ ΗΔ (συνιδόντων τοῦτο καὶ τῶν ΠΡ), ΑΤ, Μετιλλίῳ. Τ ύ λ λ ι ο ν γὰρ καλεῖ καὶ Πλούταρχος ἀλλαχοῦ (Βρουτ. § 17) Παρὰ δὲ Συετωνίῳ (Ἰουλ. Καισ. § 82) διττογραφούμενον εὕρηται τοὔνομα, Τ ύ λ λ ι ο ς Tullius, καὶ Τίλλιος Tillius· καὶ παρὰ τῷ Ἀππιανῷ (Ἐμφυλ. Ῥωμ. Β, 117) ἐν ἀρχαίαις ἐκδόσεσιν, Ἀ τ ί λ λ ι ο ς.— Στ. 22, Τύλλιος.] Εἰς τοῦτο ἔτρεψα καὶ ἐνθάδε τὸ, Μ ε τ ί λ λ ι ο ς.— Στ. 25, Βαθεῖαν.] Ἐξ ΕΔ, συναδούσης τοῖς ἀλλαχοῦ (Βρουτ. § 17) εἰρημένοις Πλουτάρχῳ, ΑΤ, Β α ρ ε ῖ α ν.— Στ. 30, Τοιαύτης δὲ ταραχῆς.] Ἐκ ΔΓ, ΑΤ, Τοιαύτης δὲ τῆς ἀρχῆς.

ΣΕΛΙΔ. 325, στ. 5, Φερομένῳ καὶ κατὰ προσώπου.] Παρήνει τις τῶν ΠΡ τρέπειν τὴν πρώτην λέξιν εἰς τὸ, Ἐ π ι φ ε ρ ο μ έ ν ῳ· ἡμῖν δὲ αὕτη μὲν καλῶς ἔχειν, ὁ δ' ἐχόμενος σύνδεσμος πλεονάζειν ἔδοξε.— Στ. 6, Ὥσπερ θηρίον ἐνειλεῖτο ταῖς πάντων χερσίν.] Ὥσπερ θηρευόμενον ζῶον πρὸς τὰς χεῖρας ἑκάστου τῶν θηρώντων ἐνεστρέφετο, νῦν μὲν πρὸς τοῦτον, νῦν δὲ πρὸς ἐκεῖνον, ἕνεκα τοῦ τὰς πληγὰς ἀπωθεῖσθαι, φερόμενος. Τοῦτο γὰρ βούλεται ἐνθάδε τὸ, Ἐ ν ε ι λ ε ῖ τ ο, ἢ δῆλον καὶ ἐκ τοῦ Ἀππιανοῦ (Ἐφυλ. Ῥωμ. Β, 117), «Ὥστε τὸν Καίσαρα.. καθάπερ θηρίον, εἰς ἕκαστον αὐτῶν ἐπιστρέφεσθαι». — Στ. 7, Κατάρξασθαι.] Ἀπὸ μεταφορᾶς τῶν ἐν ταῖς θυσίαις γινομένων

(ἰδ. ἀνωτέρ. Ἀλέξανδρ. § 69 σελ. 256.—Στ. 11, Ἐφειλκύσατο κατὰ τῆς κεφαλῆς τὸ ἱμάτιον.] «Τὸ ἱμάτιον περικαλύψασθαι καὶ πεσεῖν εὐσχημόνως» φησὶν Ἀππιανὸς (Ἐμφυλ. Ῥωμ. Β, 117). Τί δὲ βούλεται τό, Εὐσχημόνως, δηλοῦται ἐκ τοῦ Συετωνίου (Ἰουλ. Καισ. § 82) Toga caput obvolvit: simul sinistra manu sinum ad ima crura deduxit, quo honestius caderet, etiam inferiore corporis parte velata, τουτέστι, Τῇ τηβέννῳ τὴν κεφαλὴν ἐκαλύψατο, ἐφελκυσάμενος ἅμα κατὰ τῶν σκελῶν τῇ λαιᾷ τὸν κόλπον, ἵν' εὐσχημότερον πέσῃ, κεκαλυμμένων καὶ τῶν κάτω μερῶν τοῦ σώματος. Τοῖς γὰρ ἀρχαίοις Ῥωμαίοις, ὥσπερ καὶ τοῖς Ἕλλησι, τῆς τῶν ἀναξυρίδων χρήσεως μὴ γινωσκομένης, πλείονος ἔδει τῆς εὐλαβείας, εἰς τὸ συγκαλύπτειν τὰ ὑπὸ τὴν γαστέρα· ὅθεν καὶ τὸ «ἀναβεβλημένον ἄνω » τοῦ γόνατος καθιζάνειν, ὥστε τὰ γυμνὰ αὐτοῦ φαίνεσθαι» ὡς ἀγροίκου χαρακτῆρα παρέδωκεν ὁ Θεόφραστος (Χαρακτ. δ'). Ἐδήλωσε δὲ τοῦτο καὶ Εὐριπίδης ἐπὶ τῆς σφαττομένης Πολυξένης, εἰπὼν (Ἑκαβ. 569),

——————— Ἡ δὲ, καὶ θνήσκουσ', ὅμως
Πολλὴν πρόνοιαν εἶχεν εὐσχήμως πεσεῖν,
Κρύπτουσ' ἃ κρύπτειν ὄμματ' ἀρσένων χρεών.

Καὶ σημειούσθων τὰ φιλόμουσα μειράκια, πρῶτον μὲν, ὅτι ὁ χρυσοῦς Εὐριπίδης διὰ τοῦ τελευταίου στίχου, ἀνθρώπινόν τι πεπονθὼς, ἠφάνισε τὸ κάλλος τῶν δύο πρώτων· ἀποχρῶντος γὰρ μόνου τοῦ, Εὐσχήμως πεσεῖν, ἐμφῆναι τῆς Πολυξένης τὴν πρόνοιαν, ἄλλως τε καὶ παρ' Ἕλλησι θεαταῖς, οἷς εἰκότως ἔγνωστο τὸ ἐν τοῖς τοιούτοις εὔσχημόν τε καὶ μὴ, ὁ δὲ ἑρμηνείας χρήζειν καὶ διασαφήσεως μακροτέρας τὸ λεγόμενον ὑπολαβὼν, ἐπήγαγε τὸ ψυχρόν.

Κρύπτουσ' ἃ κρύπτειν ὄμματ' ἀρσένων χρεών.

ὃ παρῳδήσας ἄν τις εἰς αὐτὸν Εὐριπίδην οὐκ ἂν ἁμάρτοι,

Φήναντ' ἃ κρύπτειν τοὺς θεωμένους χρεών.

Ἔπειθ', ὅτι ἀμφοτέρων, τῶν ἱστορηκότων τὴν Καίσαρος σφαγὴν, Εὐριπίδην μιμησαμένων, ὁ μὲν Ἀππιανὸς τὸ κάλλιστον μόνον ἀπηνθίσατο τῶν ἐκείνου, τοῦ λοιποῦ μὴ φροντίσας, ὁ δὲ Συετόνιος καὶ τὸν τρίτον στίχον παρῴδησεν, οὐ καλῶς μὲν ἴσως, συγγνώμης δὲ ποιῶν ἀξιώτερα· πολλὰ γὰρ ἐφεῖται τοῖς λογογράφοις τῶν ποιηταῖς μὴ πρεπόντων.— Στ. 12, Εἴτ' ἀπὸ τύχης, εἴτε ὑπὸ τῶν κτεινάντων·] ΠΡΔ, ΑΤ, Εἴτε ὑπὸ τύχης, εἴτε ἀπὸ τῶν κτεινάντων.

—Στ. 14, Αὐτῆς.] ΠΡΔ, ΑΤ, Αὐτήν. — Στ. 24, Τοὺς μὲν τὰς οἰκίας κλείειν.] ΠΡΔ, ΑΤ, Τὰς μὲν οἰκίας κλείειν. Ἀμείνων μέντοι ἡ ΔΓ, Τοὺς μὲν οἰκίας κλείειν, δι' ἑνὸς ἄρθρου.

ΣΕΛΙΔ. 326, στ. 8, Μηδὲ τῆς δόξης, δι' ἣν ἀπέθνησκον, ἀπολαύσαντες, ἀπιστίᾳ τῶν ἄλλων.] Τοῦτο οὕτως ἐξεδέξαντο ὁμοῦ τι πάντες οἱ μεταφρασταὶ καὶ ὑπομνηματισταί. Μηδὲ τοῦ δόξαι Καίσαρα κτεῖναι ἀπολαύσαντες, διὰ τὸ μὴ πιστευθῆναι ὑπὸ τῶν ἄλλων. Τοιαύτης δὲ τῆς ἐννοίας ὑποτεθείσης, καὶ τὸν Πλούταρχον ἀσαφῶς αὐτὴν ὑποθετέον ἐκφράσαι. Τὸ γὰρ, Ἄλλων, οὐ πρὸς τοὺς προσποιησαμένους μετεσχηκέναι τοῦ ἔργου, ἀλλὰ πρὸς τὸ Δόξης, ὀρθώτερον ἂν ἀντιδιαστέλλοιτο, ὡς εἶναι τὸν νοῦν· Μηδὲ τοῦ δόξαι Καίσαρα κτεῖναι ἀπολαύσαντες, διὰ τὸ μηδὲ περὶ τὰς ἄλλας αὐτῶν πράξεις, πιστεύεσθαι. — Στ. 16, Ἐψηφίσατο.] Εἰς τοῦτο ἔτρεψα τὸ Ἐψηφίσαντο, οὐχ ὡς μὴ ὀρθῶς ἔχον συνάπτεσθαι τῷ Σύγκλητος, ἀλλὰ διὰ τὰ ἑχόμενα ἐνικά, Διένειμε, καί, Ἐπέδωκε.— Στ. 25, Αὐτοῦ.] Ἐν τῇ ἀγορᾷ· ὡς ἡρμήνευσαν οἱ ΠΡ.

ΣΕΛΙΔ. 327, στ. 7, Διὰ πάντων εὐθὺς ἦν.] ΑΤ, Ἦν, τῶν ΠΡ. τις ὑποτόπασεν οὐκ ἀπιθάνως γραπτέον εἶναι, Ἤει. Οὕτω δέ πως ἐξέφρασε καὶ ὁ Α, le bruit courut incontinent parmy le peuple.— Στ. 9, Προλαβόντες.] ΔΓ, Ὑπολαβόντες.— Στ. 10, Διέσπασαν ἐν μέσῳ τὸν ἄνθρωπον.] Προσυπακουστέον τῷ, Ἐν μέσῳ, ἡγήσατό τις τῶν ΠΡ, Τῶν διασπώντων, ἢ Τῶν διασπαραττόντων, τουτέστιν, Ἐν μέσῳ ἑαυτῶν. Οὐκ ὀρθῶς, οἶμαι, οὔθ' οὗτος, οὔθ' οἱ προσυπακούσαντες τὸ, Ἀγορᾶς, μεταφρασταί, ὧν ὁ μὲν Λατῖνος, in ipso foro ἡρμήνευσεν, ὁ δὲ Γάλλος sur la place mesme, ὁ δ' Ἰταλὸς in mezzo alla piazza. Ἰσοδυναμεῖ γὰρ ἡ φράσις, Διέσπασαν ἐν μέσῳ, τῷ, Διέσπασαν διὰ μέσου τοῦ σώματος, καί ἐστι τοῦ παρακμάζοντος ἑλληνισμοῦ, ἀνθ' ἧς ἡμεῖς μὲν νῦν εἰώθαμεν λέγειν, Τὸν ἔσχισαν εἰς τὴν μέσην, οἱ δὲ παρὰ τοῖς ἀρχαίοις δόκιμοι Διέσπασαν μέσον, ἔλεγον, ὁμοίως τῷ (Ἰλιάδ. ν', 397),

Δουρὶ μέσον περόνησε.——— ———

τουτέστι, κατὰ τὴν ἡμετέραν φωνὴν, Τὸν ἐπέρασεν εἰς τὴν μέσην μὲ τὸ κοντάριον. — Στ. 24, Θιγόντας.— Ἐξ ΗΔ, ΑΤ, Θίγοντας. Τοῦτο μὲν γὰρ, Απτομένους, σημαίνει· τὸ δὲ Θιγόντας, Ἀψαμένους

νους. κατ' ἀόριστον, ὥσπερ καὶ τὸ ἑπόμενον, Μετασχόντας.—Στ. 27, Ὅ τε μέγας κομήτης κ. τ. λ.] Νῦν δὲ κομῆται καὶ φαίνονται καὶ ἀφανίζονται, οὐδὲν τοῖς γε νοῦν ἔχουσιν ἕτερον σημαίνοντες, ἢ τὸ καὶ αὐτοὺς τῶν οὐρανίων εἶναι σωμάτων ἐν περιόδοις μακροῖς ἐπόπτους ἡμῖν γινομένους.

ΣΕΛΙΔ. 328, στ. 14, Ἐκφύλου τὸ μέγεθος.] Μεταφορικῶς, τὸ, Ἐκφύλου, ἀντὶ τοῦ, ἐξαισίου, ὑπερβάλλοντος τὸ μέγεθος· κυρίως δὲ, « Ἔκφυλον, τὸ μὴ συγγενὲς, ἀλλόφυλον », ὡς ἐξηγεῖται Ἡσύχιος. Καὶ διορθούσθω ὁ Λεξικογράφος οὗτος ἐν τῇ ταύτης προηγουμένῃ γλώσσῃ, « Ἐκφυλάσαι, ἐκσπάσαι » ὃ τρεπτέον εἰς τὸ « Ἐκφλάσαι, ἐκσπάσαι », παρὰ τὸ Φλᾶν, ἀντὶ τοῦ Θλᾶν. Ἔστιν οὖν τὸ Ἐκθλάσαι συνώνυμον τῷ Ἐκσπάσαι, ὥσπερ καὶ τὸ Θλαδίας τῷ Σπάδων.—Στ. 18, Ὄψῃ.] ΔΓ (ἀμείνων) Ὄψει.—Στ. 20, Τῷ δ' ἱκνουμένῳ χρόνῳ.] Ἐπιθι τὰ ἀλλαχοῦ (Πλουτάρχ. Μέρ. Β, σελ. 412) σημειωθέντα.— Στ. 28, Φίλου.] Στράτων οὗτος ἦν ὁ ἀπὸ ῥητορικῶν λόγων συνήθης γενόμενος Βρούτῳ, ὡς ἐδήλωσεν ἀλλαχοῦ (Βρούτ. § 52) Πλούταρχος.— Τινὸς, ὥς φασι, συνεπιῤῥώσαντος τὴν πληγήν.] Ἐξ ΕΔ καὶ ΔΓ, ΑΤ, Τινὸς, ὥς φασιν, ἐπιῤῥώσαντος πληγήν. ΔΓ, Τινὸς συνεπιῤῥώσαντος πληγήν. Τῶν δὲ ΠΡ τις παρήνει γράφειν, Τινὸς, ὥς φασι, συνεπερείσαντος τὴν πληγὴν, ὡρμημένος ἐκ τῶν ἀλλαχοῦ (Βρούτ. § 52) Πλουτάρχῳ εἰρημένων.

## ΠΑΡΑΛΕΙΦΘΕΙΣΑΙ ΣΗΜΕΙΩΣΕΙΣ.

ΣΕΛΙΔ. 25, στ. 19, Ἀναπτερωθῆναι.] Τῷ δὲ, Ἀναπτοεῖσθαι χρῆται Πλούταρχος ἐπὶ τοῦ ἐκμανῶς ἐρᾷν, οἷον (Περὶ τοῦ Σωκράτ. δαιμον. § 30), « Τῇ προσδοκίᾳ τῶν γυναικῶν ἀνεπτοημένος », τουτέστιν, ἐκμανῶς προσδοκῶν τὰς γυναῖκας, αἷς ἔμελλε συμφθείρεσθαι. « Πτοιᾶσθαι λέγεται, τὸ παρορμᾶσθαι πρὸς τὰ ἀφροδίσια » φησὶν Ἡσύχιος. Οὐ μόνον δὲ ἐπὶ τούτων, ἀλλὰ καὶ ἐφ' οἱασοῦν ὀρέξεως καὶ σφοδρᾶς ὁρμῆς ψυχῆς κομψῶς τέτακται τὸ Πτοεῖσθαι, καὶ ἡ Πτόησις, ἢ Πτοίησις. Καὶ διορθούσθω μοι κατὰ πάρεργον τὸ Πλάτωνος (Συμποσ. σελ. 206) χωρίον τοδί. « Ὅθεν δὴ τῷ κυοῦντί τε καὶ ἤδη σπαργῶντι πολλὴ ἡ ΠΟΙΗΣΙΣ γέγονε περὶ τὸ καλὸν »· γραπτέον γὰρ, « Πολλὴ ἡ ΠΤΟΙΗΣΙΣ » ἢ καὶ δίχα τοῦ ἄρθρου, « Πολλὴ ΠΤΟΙΗΣΙΣ ».

ΣΕΛΙΔ. 97, στ. 16, Μέλιτος οὐ παρόντος.] Τοὐναντίον ὁ Σικελιώτης

Διόδωρος (ΙΕ, 93) φησί, «Καὶ τοῦ σώματος ἐν μέλιτι κομισθέντος εἰς τὴν » Σπάρτην, ἔτυχε τῆς βασιλικῆς ταφῆς τε καὶ τιμῆς».

ΣΕΛΙΔ. 190 στ. 25, Ἐρίσαντος μὴ βιασθῆναι.] Μαχησαμένου, φιλονεικήσαντος, σπουδάσαντος μὴ βιασθῆναι· ἀναλόγως τῇ παρ' ἡμῖν συνηθείᾳ. Οὕτω γὰρ καὶ ἡμεῖς τῷ συνωνύμῳ Πολεμῶ, ἐπὶ τοῦ συντόνως σπουδάζω χρώμεθα, οἷον, Πολεμῶ νὰ τὸν καταπείσω, Πολεμῶ νὰ τὸν φέρω εἰς τὴν γνώμην μου, καὶ τὰ ὅμοια· οὗ προσφυέστερον παράδειγμα, ἴσως δὲ καὶ μοναδικόν, ἐστι τὸ παρὰ τῷ Ἀριστοτέλει (Περὶ ζώων ἱστορ. Ε, 19) Μάχομαι, κατὰ τὸ Πλουτάρχειον Ἐρίζω τοῦτο, ἀπαρεμφάτῳ συντεταγμένον· «Διὸ καὶ οἱ περὶ ταύτην τὴν ἐργασίαν ὄντες μά» χονται χωρίζειν τὴν ἄλλην [κόπρον] τὴν μεμιγμένην».

ΣΕΗΙΔ. 227, στ. 24, Πρωτέα.] Τοῖς ἐκ τοῦ Ἀθηναίου μνημονευθεῖσι (σελ. 435) παραδείγμασι προστίθει, ὅτι καὶ παρὰ τῷ Ἀριστοφάνει (Θεσμοφ. 874 καὶ 876) διχῶς ἐξενήνεκται ἡ εὐθεῖα Πρωτεὺς καὶ Πρωτέας.

ΣΕΛΙΔ. 230, στ. 26, Διαβολαὶ διὰ τῶν ἀληθῶν κ. τ. λ.] Προστίθει τοῖ ἤδη σημειωθεῖσι (σελ. 439) καὶ ἕτερον Πλουτάρχου (ἐν Ἄγιδ. βίῳ, § 2) χωρίον τοδί. «Πλὴν ὅση [δόξα] πάροδον ἐπὶ τὰς πράξεις διὰ τοῦ πιστεύεσθαι » δίδωσι».

ΣΕΛΙΔ. 265, στ. 9, Οὔπω πάνυ μειράκιον ὤν.] Μεταμέλει μοι ἀμφισβητήσαντι περὶ τῆς γραφῆς· καὶ ἀλλαχοῦ γὰρ (Βρούτ. § 27) κέχρηται τῷ, Οὔπω πάνυ, ὁ Πλούταρχος, ἑλληνικῶς μέν, οὐ πάνυ μὴν ἀμέμπτως διὰ τὸ προσεχὲς ὡρισμένης ἡλικίας ὄνομα, Μειράκιον·

ΣΕΛΙΔ· 283, στ. 29, Ἀθρουστάτους.] Τοῖς προεκδοθεῖσι (σελ. 479) παραδείγμασιν ἐκ τοῦ παρακμάζοντος ἑλληνισμοῦ, ἓν ἴσως μόνον ἐστὶν ἐπισυνάψαι ἐκ δοκίμου συγγραφέως, τὸ Ξενοφῶντος (Ἑλληνικ. ς', 4, 9) συγκριτικὸν Ἀθροώτερον.

ΛΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ"
ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

# ΠΙΝΑΞ

## ΕΛΛΗΝΙΚΩΝ ΛΕΞΕΩΝ.



*Ἀβουλίτης. 458.
*Ἄβρα. 472.
Ἀγανακτῶ. Ἀ ἠγανάκτουν. 449.
Ἀγαπητὸν προβάτιον. 409.
Ἀγαπῶ. 409.
Ἄγειν τάφρον ἢ τεῖχος. 358.
Ἄγημα. 338.
*Ἀγησίλαος. 353.
*Ἀγησίπολις. 353.
Ἁγιασμός. Ἅγιος! κδ'. κε.
*Ἄγνων. 419, 436.
Ἀγρός. Ζ. Νομαί.
Ἄγρωστις. 493.
Ἀδηρίτως. 469.
Ἀδολεσχία. 419.
Ἀετὸς ἢ Ἀέτωμα. 498.
Ἄθικτος. 355.
**Ἀθρούστατος. 479.
Ἀθρούστερος. 479. Ἀθροώτερος. 503.
Αἰγελάτης. 361.
*Αἴδουοι [ Ædui ] 482.
*Αἴθη. 345.
*Αἰνόβαρβος. 391.
Αἰτεῖν τὰ πιστά. 414.
Αἰχμὴν συγκέχ. τῷ Ἀκμήν. 490.
Ἄκατος (ἡ). 464.
*Ἀκεσᾶς. 428.
Ἀκμήν. Ζ. Αἰχμήν.
Ἀκόντιον. Ζ. Σφαιροῦν.
Ἄκρατον συγκ. τῷ Ἄκριτον. 384.
Ἀκριβῶς καὶ μόλις. 414.
Ἀκροαματικός. 407.
Ἀκρωτήριον 498.
*Ἀκύϊνος. 333.
*Ἀλβανόν. 399.
*Ἀλέξανδρος. 402.
Ἀλεξανδρώδης. 416, 417.
*Ἀλεσία, ἢ Ἀλησία. 482.
Ἀλλάττειν ἱμάτια. 384.
Ἄλλος συγκέχ. τῷ Καλός. 459.
Ἄλλως γέ πως. Ζ. Ἀμωσγέπως.
Ἄλλως, 339.
Ἄλυς (ὁ). 339.
Ἀλύω. 334.
Ἅμα. Ζ. Ἴαμα.
Ἀμαθίαν συγκέχ. τῷ Ἀπάθειαν. 344.
*Ἀμβιόριξ. 480.
Ἀμέλει. 371.
Ἀμέλησον. 372.
*Ἀμίντιος. 492.
*Ἀμισός. 376.
Ἀμφιβολογία ἐν ταῖς τῇ Μετὰ ἢ τῇ Σὺν συναπτομέναις πτώσεσι. 465.

Ἀμωσγέπως συγκέχ. τῷ Ἄλλως γέ πως. 380.
Ἂν [ἀντὶ τοῦ Εἰ μεθ' ὁριστ. παρωχ.] 402.
Ἀναγκαζομένης συγκέχ. τῷ Κομιζομένης. 486.
Ἀναλαμβάνω. 350.
* Ἀνάξαρχος. 423, 447.
Ἀναξυρίς. 440.
Ἀναπτερωθῆναι συγκέχ. τῷ Ἀναπτοηθῆναι. 335, 502.
Ἀναπτοοῦμαι. 335, 502.
Ἀνασκάπτω. 389.
Ἀναστέφειν δάφναις τὰς ῥάβδους. 372.
Ἀνασχεῖν συγκέχ. τῷ Ἐνσχεῖν. 393.
Ἀνασώζειν τὸν μῦθον πρὸς τὴν ἀλήθειαν. 432.
Ἄναυδος. 395.
* Ἀνδρόκοττος. 454.
Ἀνέχειν τοῦ φονεύειν. 430.
Ἀνήρ. Ζ. Παρθένιος.
Ἀνθινός. 333.
Ἄνθος. 333.
* Ἀνικηνός. 495.
* Ἄνιος. 487.
* Ἀννίβας 329.
Ἀντεξιππεύω. 362.
* Ἀντία. 384.
* Ἀντιγένης. 442.
* Ἀντιγόνη. 445.
Ἀντικάτων. 470.
* Ἀντικλείδης. 442.
Ἀντίπραξις. 382.
Ἄνω (ἡ) πορεία. 405. Ἐν τοῖς ἄνω τόποις. 408. Τῆς τύχης ἄνω φερομένης. 347.
Ἀπάθειαν. Ζ. Ἀμαθίαν.
Ἀξίωμα. 365, 444.
Ἀπαῤῥάσσω. 414.
Ἀπάρχεσθαι τῶν τριχῶν. 458.
Ἀπειθίζω. 437.
Ἀπεχθέστατον συγκέχ. τῷ Ἐπαχθέστατον. 345.
Ἀπηνής. Ζ. Ἀτενής.
Ἄπλετος. 401.
Ἀπόθετα χρήματα. 486.
Ἀπόκλισις. 381.
Ἀπολέγομαι καὶ ὑποχωρῶ, ἢ παραχωρῶ. 368.
Ἀπολείπω. Ζ. Μικρόν.
* Ἀπολλώνιος. 469.
Ἀποτρέψεται συγκέχ. τῷ Ἀποτρίψεται. 380.
Ἀποφαίνω. 350.
Ἀπρόσωπα παθητικά. 409.
Ἅπτομαι. Ζ. Γνώμης.
Ἆρα. 388.
* Ἀράξης. 374.
* Ἄραρ. 481.
* Ἀρβέρνοι. 481, 482.
* Ἄρβηλα. 425.
* Ἀρβηλῖτις. 375.
Ἀργύρου συγκέχ. τῷ Ἀργυρίου. 381.
Ἀργυροῦς ἐν ταῖς κρηπῖσιν ἥλους φορεῖν. 436.
* Ἀρειμάνιος. 423.
* Ἀρίμινον. 484.
* Ἀριστόβουλος. 442.
* Ἀριστόδημος. 349.

* Ἀριστοφάνης. 446.
* Ἀρίστων. 435.
* Ἀρμένιοι. 400.
Ἄῤῥητος Διονύσου μήτηρ. 472.
* Ἀῤῥιδαῖος. 467.
* Ἀρσάκης. 497.
* Ἀρτακηνή. 431.
* Ἀρτεμίδωρος. 499.
* Ἀρύμβας. 403.
Ἀρχῆς συγκέχ. τῷ Ταραχῆς. 499.
* Ἀρχίας. 352.
Ἀσάμινθος. Ζ. Ἔμβασις.
Ἄσβεστος. 334.
* Ἀσίνιος. 394, 490.
Ἀσκαίρω. Ζ. Σκαίρω.
* Ἄσκαλις. 331.
Ἀσπαρίζω. Ζ. Σκαρίζω.
Ἀσπαίρω Ζ. Σπαίρω.
Ἀσπάραγος. 477.
Ἀσκαρίζω. Ζ. Σπαρίζω.
Ἀσπασομένου. Ζ. Σπασομένου.
Ἄσσω ἢ Ἄττω. 381.
Ἀστάνδης. 417.
Ἀσφαλτόω. 431.
Ἀτελευτήτῳ ἐπὶ ἔργῳ. 348.
Ἀτενὴς συγκέχ. τῷ Ἀπηνής. 356.
* Ἀττάλεια. 396.
Αὖθις. 418.
Αὔλειος. 381.
Αὔξιμον, 361.
Αὐτοῦ [ ἐπίῤῥ. ] 359.
Αὔχημα. 355.
Αὐχμηρός. 354.
Ἀφανίζω. 461.
Ἀφεὶς. Ζ. Ἐφείς.
Ἀφίημι τὴν ἀδικίαν. 375.
Ἀφοσιοῦμαι τὸ νεμεσητόν. 379.
* Ἀφράνιος. 489.
Ἄφραστος προσβολή. 493.
Ἀφύη. 352.
Ἄχει συγκέχ. τῷ Ἄχθει. 341.
* Ἀχιλλᾶς. 398, 491.
Ἄχνη. 334.

Β.

Βαθεῖα συγκέχ. τῷ Βαρεῖα. 499.
* Βαιτική. 330.
* Βαλεῖνος. 445.
Βαπτίζειν ἐκ πίθου. 457.
Βαρεῖα. Ζ. Βαθεῖα.
Βαρσίνη. 336, 419.
Βαρύτερον συγκέχ. τῷ Βαθύτερον. 341.
* Βασίλλα. 351.
Βαφή. 428. Βαφὴν διὰ μέλιτος γίνεσθαι. 433.
* Βιλλῖνος. 369.
* Βέτερις. 471.
Βία τῶν ὑπάτων. 483.
* Βίβολος. 382. Ζ. καὶ Στεφανωτρίς.
Βιολόγος. 351.
Βίος ὁ ἐν ἱματίῳ. — ὁ ἐν τηβέννῳ. 367.
Βοιωτάρχης, ἢ Βοιώταρχος. 352.
Βουκεφάλας 405, 414.
Βοῦλλα [ Bulla ]. 333.
Βραχεῖαν συγκέχ. τῷ Τραχεῖαν 340.
* Βρεντέσιον. 390.
Βρίθω. 490.
* Βροῦτος (Brutus). 497.
* Βροῦτος Ἀλβῖνος. 499.
Βρύον. 492.

ΒΕΝΙΑΜΙΝ ΓΙΑΝΝΑΜΑΡΙΟΥ ΛΕΣΧΗ ΓΙΑΝΝΙΤΣΩΝ ΛΕΣΒΟΣ ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

Βῶλος (ὁ). 421.

Γ.

*Γαβηνοί. 340.
*Γαΐος. 367.
*Γαΐος Ἰούλιος Καῖσαρ. 468.
Γαϊτανὸν λίνον. Γαϊτανὸς βρόχος. 422.
*Γαλαικία. Ζ. Καλαικία.
Γαληνώσας. Ζ. Χαλινώσας.
*Γανδαρίτης. 454.
*Γανύσιος. 480,
*Γαυγάμηλα. 425.
*Γεδρωσία. 457.
*Γέλαι. 375.
Γελῶ. 461.
Γενέσθαι. Ζ. Λέγεσθαι.
Γεῤῥάδερμον. 349.
Γέῤῥον. 349.
Γίνεσθαι ἡδέως. 458.
*Γλαυκίας. 460.
Γλίσχρως. 388.
Γνώμης Ἅπτεσθαι. 412.
*Γορδιαῖοι. 426.
*Γόρδιος. 417.
Γράμμασι συγκέχ. τῷ Πράγμασι. 473.
Γραμματεία. 342.
Γραμμάτων συγκέχ. τῷ Πραγμάτων. 336.
*Γρανικός. 411.
Γυμνοπαιδίαι. 354.
*Γυρισοινοί. 330.

Δ.

Δάκνω. Ζ. Νεκρός.
Δαλός. 420.
Δάπεδον. Ζ. Μουσικόν.
Δάπις. 447, 448.
Δεδακρυμένος. 364.
Δεδιέναι ἀνθρώπων νόμον καὶ ψόγον. 447.
Δέδωκε. Ζ. Ἔδωκε.
Δεικηλίκτης. 350.
Δεινοτάτων. Ζ. Δυνατωτάτων.
Δεινότης. 381.
*Δέκιμος. 499.
Δέξασθαι συγκέχ. τῷ Διανήξασθαι 452, 477.
Δεξίωσις. 391.
Δεύτερα (τὰ) λέγειν. 396, 397.
Διαγράφω. 411.
Διαδίδοται λόγος. 422.
Διακαλύπτω. 416.
Διακεχυμένος. 387.
Διακόπτω. 374.
Διακρούομαι. 489.
Διαλγής. 464.
Διαμειδιάω. 397, 427.
Διανήξασθαι Ζ. Δέξασθαι.
Διαπολεμῶ. 330.
Διασπάω. Διέσπασαν ἐν μέσῳ, ἢ μέσον, τὸν ἄνθρωπον. 501,
Διασύρω τὰ ἔργα. 373.
Διαταφρεύω. 389.
Διατύπτω. 374.
Δίγλωσσος. 433.
Διδασκάλια (τὰ). 353.
Διδόναι εἰς μέθην ἑαυτόν. — εἰς ἡδονάς. 434,
Διέκδυσις. 332.
Διημερεύω. 420.
*Δικαίαρχος. 349.

Δίκαιον. Δικαστής. κτλ.
Δίκελον, ἢ Δίκηλον. 350.
* Δίνων. 433.
* Διόδοτος. 464.
* Διονυσόδοτος. 354.
* Διονύσιος. 356.
* Διόνυσος. Ζ. Ἄῤῥητος.
Διώξεως συγκέχ. τῷ Διώσεως. 397.
* Δομέτιος. 332.
* Δομίτιος. 391.
Δορυφόρημα. 467.
* Δοῦρις. 343, 443.
Δρυμός. Ζ. Συμμιγεῖς.
Δυναστῶν συγκέχ. τῷ Δυνατῶν. 377.
Δυνατωτάτων συγκέχ. τῷ Δεινοτάτων. 397.
* Δυῤῥάχιον. 476.
Δυσδιάθετος. 475.
Δυσζήλως. 465.
Δυσπαθῶ. 487.
Δυσχεραίνω. 377.
Δυσχωρία. 390.
Δωδεκάσκαλμος. 487.
Δωμάτιον. 408.
Δωροῦμαι. Ζ. Καλῶς.

Ε.

Ἐγκύκλιος Ζ. Χοροί.
Ἔδωκε συγκέχ. τῷ Δέδωκε. 370.
Εἰσαγγελεύς. 442.
Εἴλη. 490.
Εἴλιγγος. 496.
* Ἑκαταῖος. 337, 442.
Ἑκάτερος τῶν λόγων. 462.
Ἐκβαίνω τό. 382.
* Ἐκβάτανα. 431.
Ἐκδηλοτέραν συγκέχ. τῷ Ἐνδηλοτέραν. 342.
Ἔκθεσμος. Ζ. Ὄναρ.
** Ἐκθλᾷν. Ζ. Ἐκφλᾷν.
Ἐκθύομαι 446.
Ἐκκόπτω οἰκίαν. 410.
Ἐκπίπτω τῆς θέας. 380.—τῶν λογισμῶν. 486.
Ἐκφλαυρίζω. 387.
Ἔκσκευα πρόσωπα. 468.
Ἐκτίθημι. 393.
Ἐκτραχύνομαι ὑπὸ τῶν πραγμάτων. 332.
** Ἐκφλᾷν [Ἀττικ. καὶ Αἰολικ. ἀντὶ τοῦ Ἐκθλᾷν]. 502.
Ἐκφυγεῖν αὐτὸν ἐπὶ καιροῦ τὸ ῥῆμα. 382.
Ἔκφυλος τὸ μέγεθος. 502.
* Ἐλεφάντιοι. 478.
Ἐλευθερωθεὶς ἀμηχάνῳ πλήθει δανείων. 388.
* Ἑλικών. 428.
* Ἐλυμαῖοι. 375.
Ἔμβασις. 418.
Ἐμβατή. 418.
Ἐμβολαῖς (ἐν) ὑσσῶν γενέσθαι. 362.
Ἐμπορεύομαι. Ζ. Τύραννος.
Ἐμφύεσθαι ταῖς κώπαις. 487.
Ἐνδηλοτέραν. Ζ. Ἐκδηλοτέραν.
Ἐνειλεῖτο (ὥσπερ θηρίον) ταῖς πάντων χερσί. 499.
Ἐνηβητήρια. 378.
Ἐνίσχομαι. 421.
Ἐνοικοδομῶ. 481.
Ἐνσχεῖν. Ζ. Ἀνασχεῖν.

ΛΕΣΧΗ ΠΛΟΙΜΑΡΧΟΥ ΒΕΝΙΖΕΛΟΥ ΛΕΒΙΤΣΗ ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

'Ενοχλῶ τινὰ καὶ τινί. 356.
'Εντειχίζω. 370.
'Εντρυφῶμαι [παθητ.] 499.
'Εντυγχάνω τι. 410.
*'Εξάθρης. 439.
'Εξαίρει συγκέχ. τῷ 'Εξαιρεῖ. 404.
'Εξάκουστος. 398.
'Εξαλλάσσουσα χάρις. λζ'.
Ἔξαλλος. λζ'.
'Εξανύω. 403.
'Εξαπελαύνω. 408.
'Εξεργάζομαι. 403.
'Εξῆρει συγκέχ. τῷ 'Εξῆρε. 453.
'Εξόδιον. 464.
'Επάγω τοὺς ἵππους. 493.
'Επαρχία. Ζ. Ἱππαρχία.
'Επαχθέστατον. Ζ. Ἀπεχθέστατον.
'Επεί. 483.
'Επένδυμα, 'Επενδύτης. 427.
'Επεξειργασμένως. 402.
'Επεραιοῦτο συγκέχ. τῷ 'Επέραιοῦτω. 395.
'Επιγράφειν ἑαυτὸν πράξει τινί. 373.
'Επιδράττομαι. 338, 474.
'Επίδρομος. 329. Ζ. καὶ Ὄργανα.
'Επιείκεια. 495.
**'Επιμετρίς. 439.
'Επίμετρον. 439.
'Επιμετρῶ. 439.
'Επιπόρπαμα, ἢ 'Επιπόρπωμα. 428.
'Επισκευή. 380.
'Επίσκηνος. 335.
'Επίσπωμαι. 358.
'Επισταθμείαι. 330.
'Επιστάτης. 443.
'Επιστολὴν συγκέχ. τῷ 'Επὶ σχολήν. 469.
'Επιστρέφω. 369.
'Επίσφαιρον. 405.
'Επίταγμα. 392.
'Επιφαύω. 353.
'Επιφοιτάω. 355.
'Επιχωρῶ. 441.
'Εποπτικός. 407.
'Εποφθαλμιῶ. 469.
Ἔργον. 354, 493.
'Ερείπω. 430.
'Ερίζω μὴ βιάζεσθαι. 407 503. Ζ. καὶ Μάχομαι.
Ἔρχεσθαι εἰς χεῖρας. 384.
Ἔστωρ. 417.
Ἕτερος. Ζ. Θάτερον.
'Ετησίαι (οἱ) 352.
*Εὔθυνος. 356.
Εὐμεγέθης φορτηγός. 394.
*Εὐμένης. 329, 464.
*Εὐπωλία. 342, 349.
*Εὐρυπωντίδαι. 400.
*Εὐταία. 355.
Εὐσχήμως πεσεῖν. 500.
Εὐχωλιμαῖοι. Ζ. Σολδούριοι.
'Εφεὶς συγκέχ. τῷ Ἀφείς. 406.
Ἔφη καί, συγκέχ. τῷ 'Εφῆκε. 443.
Ἔφηβος. 377.
'Εφημερίς. 464, 480.
'Εφόλκιον. 378.
Ἔχειν δι' ὤτων κατὰ τῆς κεφαλῆς. 378.
'Εχυρός. Ζ. Ὀχυρός.

Ζ.

Ζεῦγος. Ζ. Ὀρικόν.
* Ζήλα. 491.
* Ζήνων. μέ.
Ζήτησις. Ζ. Καθόλου.
Ζυγαὶ στολῶν. 385.

Η.

Ἤ. 401.
Ἡ τῶν Σαβίνων [ ἐλλειπτ. τοῦ Χώρα ]. 330.
Ἡβητήρια. (τά). 378.
Ἠθολόγος· 351.
Ἧλος. Ζ. Ἀργυροῦς.
Ἡμεροδρομία. Ζ. Μικρά.
* Ἡραῖον. 352.
* Ἡρακλείδης. 351, 421.
* Ἡρακλῆς. Ζ. Σκύπφος.
Ἤρετο συγκέχ. τῷ Ἤρχετο. 398.

Θ.

* Θαΐς. 434.
Θάλασσα ἡ καθ' ἡμᾶς. 369.
* Θαλήτας. 354.
Θαῤῥῶ βοηθεῖν. 418.
Θάτερον. 453, 476.—Τῇ ἑτέρᾳ. 476
Θαῦμα. κβ'.
Θαυμαστόομαι. 384.
* Θάψος. 493.
* Θεάγγελα. 442.
Θεμιστεύω. 410.
* Θεόδοτος. 397.
* Θεόπομπος ὁ Κνίδιος. 491, 499.
— ὁ Χῖος. 345.
* Θεόφιλος. 427.
* Θεῶν [ νῆσοι ]. 330.
Θηρίκλειον. 457.
Θίγων συγκέχ. τῷ Θιγών. 501.
Θὶς καὶ Θίν. 334.
Θυμέλη. 456.
* Θωράνιος. 332.
Θώραξ. Ζ. Ὑποπτυχίς.

Ι.

Ἴαμα συγκέχ. τῷ Ἅμα. 400.
* Ἰάρβας. 364.
* Ἰδριεύς. 347.
* Ἰέμψας. 364.
Ἱεραὶ γυναῖκες. 478.
* Ἱερώνυμος. 347.
Ἱκετηρίας πέμπειν. 370.
Ἱλαρός. 362.
Ἵλεως. 362.
Ἴλη. 393.
Ἰλιάς. Ζ. Νάρθηξ.
Ἱμάτιον. Ζ. Βίος.
** μεραῖοι. 363.
Ἵνα 490.
* Ἰνώρα. 374.
* Ἰόβας. 331, 494.
* Ἰόλαος. 461.
* Ἴος. 429.
* Ἰούβειος. 390.
* Ἰουλία. 480.
Ἱππαρχία συγκέχ. τῷ Ἐπαρχία. 336.
Ἱππάσιμος. 420.
Ἱππάστριαι κάμηλοι 340.
* Ἰσάδας. 356.
Ἵστασθαι εἰς ὀρθόν. 425.
* Ἴστρος. 442.
Ἰχνεύμων. 438.

Κ.

Καθεῖσαν συγκέχ. τῷ Καθίσασαν. 349.
Καθησυχάζω. 350.
Κάθημαι προξενῶν. 419.
Καθηκνοῦμαι. 488.
Καθιστάναι εἰς τάξιν. 386.
Καθόλου (ἡ) ζήτησις. 380.
Καθομαλίζω. 475.
Καθομιλῶ. 475.
Καθωσιωμένος. 334.
* Καιπίων. 330.
Καιρός. 363. Ζ. καὶ Παραδίδωμι.
Κακίζω. 487.
* Κάλανος. 456.
* Καλῖνος Δομίτιος. 489.—Λεύκιος. 392.
* Καλαικία. 473.
* Καλλαϊκοί. 473.
* Καλλισθένης. 448.
** Καλλωπιζόμενος [ ὑποκρινόμενος, προσποιούμενος ]. 482.
Καλός. Ζ. Ἄλλος.
Καλπάζω. 406.
Κάπλη. 418.
Κάλτιον. 369.
Καλῷ (ἐν) ἱδρύεσθαι. 488.
Καλῶς δωροῦμαι. 386.
Καλῶς ἔχειν τινί. 456.
* Καμβύσης. 422.
Καμήλου οἶκος. 425.
Κάναθρον. 349.
Κάνδυς. 441.
Κάνθαρος. 463.
Κάνναι. 349.
Κάρα. 378.
Καραβίς. 378.
Κάραβος. 378.
Κάρανος. 459.
Καρανόω. 460.
* Κάρβων. 363.
* Καρδοῦχοι. 426.
Καρτερῶ. 355.
* Καρχηδών. 495.
Καρωτόν, 488.
* Κασπία θάλασσα. 439.
* Κάστλων. 330.
Καταβόησις. 400.
Κατακεχωσμένος. 362.
Καταισχύνω. 410.
Καταντικρύ. 334.
Καταπολιτεύομαι τινά. 384.
Κατάρχομαι. 499.
Κατασκέλλω. Ζ. Ξηρός.
Κατάσπεισις. 333.
Κατασπένδειν ἑαυτοῦ. 453.
Καταφαυλίζω. 423.
** Καταφαύω. 353.
Καταφημίζω. 340.
Καταφωράω. 365.
** Καταψηφίζομαι [ συχνὰ ψηφίσματα γράφω ]. 483.
Καταψύχω. 373.
Κατέλαμψε συγκέχ. τῷ Κατέπαυσε. 353.
* Κάτλος. 373.
Κατοικίαι πόλεων. 380.
Καυσία. 337.
Καύχημα. 355.
Κείρω ἵππους. 460.
Κελεύουσα. Ζ. Κολούουσα.
Κελεύω τοὺς καὶ τοῖς. 422.

Κενὸν συγκέχ. τῷ Κλόνον. 370.
Κενὸς Κενώτερος, ἢ Κενότερος. 365.
Κέρα, ἢ Κέρας 488.
Κίλισσαι ληστρίδες. 330.
Κινεῖν συγκέχ. τῷ Κρίνειν. 396.
Κίταρις. 374, 380.
* Κίτιον. 428.
* Κλείταρχος. 441.
* Κλεῖτος. 446.— ὁ μέλας. 414.
* Κλεόμβροτος. 353.
Κλέος ὑπουράνιον. 474.— Οὐρανόμηκες. 475.
Κλέπτω. 469.
* Κλέων. 350.
Κλισία. 336.
Κλόνον. Ζ. Κενόν.
* Κλώθωνες. 403.
Κνᾶσθαι ἑνὶ δακτύλῳ 383, 470.
— δακτύλῳ ἄκρῳ. 283.
Κνίδιοι. 491.
* Κοίλιος. 362.
Κοινή. 468.
Κοινίον. 468.
* Κοῖνος. 453.
Κοίρανος. 459.
Καλούουσα συγκέχ. τῷ Κελεύουσα. 381.
Κολούω συγκέχ. τῷ Κωλύω. 364.
Κομιζομένης. Ζ. Ἀναγκαζομένης.
Κομήτης (ὁ μέγας). 502.
Κοπρίων κόφινος. 382.
* Κόρινθος. 495.
* Κορνηλία. 395.
* Κορφίνιος. 489, 492.
* Κοσσαῖοι 460.
* Κούϊνδα (τά). Ζ. Κύϊνδα.
Κούνικλος. 471.
Κουφίζω. 362.
Κόφινος. Ζ. Κοπρίων.
Κραδαίνομαι. 462.
Κραδασμός. 462.
* Κρᾶθις. 465.
* Κρασσιανός. 393.
* Κρασσίνιος. 490.
* Κράσσος. 373.
* Κράτιππος. 395.
Κρατῶ. 399.
Κρηπίς. Ζ. Ἀργυροῦς.
Κρίνειν. Ζ. Κινεῖν.
Κρόνια. 375.
* Κρώβυλος. 419.
Κρωσσός. 318.
Κτύπος συγκέχ. τῷ Τύπος, 497.
* Κύδνος. 418.
* Κύϊνδα (τά), ἢ Κούϊνδα. 340.
Κυκλιοδιδάσκαλος. 423.
Κυμαίνει πόλις 385.
* Κυμαῖοι. Ὄνος εἰς Κυμαίους. 497.
Κυνήγιον. 438.
* Κύρνος. 375.
Κώδιον 346.

## Λ.

Λαβή. Παρέδωκε λαβήν. 366. Ἐν λαβαῖς γενέσθαι. 366.
* Λαβιηνός. 390
Λαγχάνω. 448.
* Λαλίνιος. 368.
* Λαμπιδώ, ἢ Λαμπιτώ. 342.
Λαμπρὸς ἐξήλατο. 388.

Λαπίθαι. 352.

Λέγεσθαι συγκέχ. τῷ Γενέσθαι. 346.

Λεγεών. 389.

Λέγω. Ζ. Δεύτερα.

* Λειέηθρα. 410. Λειεηθρίων ἀμουσότερος. 411.

Λείπομαι. Λειφθείς. 399.

* Λέντουλος. 394.

* Λεονάτος. 436.

* Λεύκιος Διμίτιος. 392.

* Λεύκουλλος. 381, ἢ Λούκουλλος, 360.

* Λεωχάρης. 438.

* Λῆγες 375.

Λῆμα. 477.

Ληστρίδες. Ζ. Κίλισσαι.

Λικνίζω. Λίκνον. 404.

* Λιμναῖος. 455.

* Λίμνος. 445.

Λιπαροὶ τὰ πρόσωπα 354.

Λογισμός. Ζ. Μύειν.

Λόγος. Λόγος ἔχει. 435. Ζ. καί, Ἑκάτερος, καί, Ὀλέθρου.

* Λούκουλλος. Ζ. Λεύκουλλος.

* Λούπερκος. 496.

* Λούσιος. 332.

* Λυγκεύς. 343.

Λύκαια Ἀρκαδικά. 496.

Λύκος συγκέχ. τῷ Λύκιος 433.

Λυπηρότερον. Ζ. Πρότερον.

Λυπρόγαιος. 473.

Λυπρός. Λυπρὸν ἀργύριον. 473.

* Λῶος. 487.

М

Μαζός, Μασθός, Μαστός, Μαθός. 454.

* Μαίδων συγχ. τῷ Μεδάρων. 408

Μακάρων νῆσοι. 330.

Μαλακότης τῆς τῶν ὀφθαλμῶν κινήσεως. 360.

* Μαλλοί. 449.

* Μανίλιος. 371.

* Μάνιος. 336.

** Μαντεύω. 462.

** Μαραίνεσθαι [ἐπὶ ὑδάτων]. 413.

Μασθός, Μαστός. Ζ. Μαζός.

Μάχομαι [μετὰ ἀπαρεμφάτου]. 503.

Μεδάρων. Ζ. Μαίδων.

Μείρω. Ἔμμορε. 418.

Μελάγγειος. 422.

Μέλι. Ζ. Βαφή.

* Μέλων. 352.

* Μέμμιος. 364.

* Μενεκράτης. 352.

* Μερκηδόνιος. 496.

Μέσω (ἐν). Ζ. Διασπάω.

* Μεσσάλας. 385.

Μεστὸς τῆς ὄψεως. 399.

Μετά. Ζ. Ἀμφιβολογία.

Μεταλαβῶν συγκέχ. τῷ Μεταβαλών. 428, 490.

Μεταλαμβάνω. 355.

* Μέτελλος. 373.

Μετροῦμαι σῖτον. 491.

* Μέτρων. 445.

* Μήδεια. 432.

*Μήδιος. 463.
*Μῆδοι. 375.
Μηνῶν Μακεδονικῶν καὶ Ἀττικῶν σύγκρισις. 412.
Μητρόπολις τοῦ γένους. 400.
*Μίεζα. 407.
Μικρὰ ἡμεροδρομία 477.
Μικρὸν ἀπολιπεῖν ἀνατετράφθαι. 485.
*Μιμαλόνες. 403.
Μιμάς. 351.
Μιμηλά. Μιμιλός. 342.
Μιμητής. 343.
Μῖμος. 350.
Μισοβασιλεύς. 385.
Μνίον. 492.
Μόλις. Ζ. Ἀκριβῶς.
Μονομάχος. 367.
Μόρα. 349.
Μουσικὸν εἰς δάπεδον. 351.
Μύειν τῷ λογισμῷ. 388.
**Μύσχη. 493.

N.

*Ναβαταῖοι. 392.
*Ναρθάκιον. 348.
Νάρθηξ. Ἡ ἐκ τοῦ νάρθηκος Ἰλιάς. 407, 421.
Ναυλοχῶ. 469.
Νάφθα (ἡ, τὸ), καὶ Νάφθας (ὁ) 431.
Νεανικός. 446.
Νεκρὸς οὐ δάκνει. 398.
*Νεκτάναβις 357.
Νεμεσητός. Ζ. Ἀφοσιοῦμαι.
Νέμεσις. Ζ. Χρόνος.
Νεοδαμώδης. 344.
*Νεοκωμῖται. 482.
Νῆσοι. Ζ. Μακάρων, καὶ Θεῶν.
*Νικίας. 447.
*Νικοκρέων. 423, 423.
Νικῶ. 447.
*Νιφάτης, 426.
Νομαὶ ἀγρῶν. 382.
Νόμος. Ζ. Δεδιέναι.
*Νουρσία. 329.
*Νυμφαῖον. 407.
*Νύσα. 452.
*Νώνακρις. 465.
*Νῶρα (τά). 389.

Ξ.

Ξαίνω. 446.
Ξεναγός. 356.
Ξηρὸς καὶ κατεσκληκώς. 356.
Ξιφιστήρ. 380.

O.

Ὁ μὲν, ὁ δὲ [ἀντωνυμ.] 358.
Ὄζειν θεσπέσιον. 418.
Οἰμώζω. 462.
Οἰσόμενος [ἀντὶ τοῦ, Ἀποισόμενος]. 373.
Ὀλέθρου δ' οὐθεὶς λόγος. 338.
Ὀλιγοστός. 454.
Ὄλκιον. 418.
Ὄλπα, Ὄλπιον, Ὄλπις. 418.
Ὁμόκληρον συγκέχ. τῷ Ὁλόκληρον. 400.
Ὅμοιος σφόδρα πεπεισμένῳ. 422.
Ὁμοῦ τι. 336.
Ὄναρ ἰδεῖν ἔκθεσμον. 484.
*Ὀνάτιος. 367.
*Ὀνησίκριτος. 408, 442.
Ὀνόματα διττογραφούμενα διὰ τοῦ

ει ἢ ΐ 490.—εἰς ευς καὶ εας. 435. ad.— ἐπίθετα εἰς κύρια μεταλαμβανόμενα καὶ ἀναβιβάζοντα τὸν τόνον. 336.— τῆς πρώτ. κλίσ. ὧν ἡ γενικ. πληθυντ. οὐ περισπᾶται. 352.—θηλυκὰ εἰς ω λήγοντα· 487.
*Ὀξυάρτης. 451.
*Ὀξυδράκαι. 449.
*Ὄππιος. 363.
Ὄργανα ἐπίδρομα 335.
*Ὀρεξάρτης. 441, 458.
Ὀρθός. Ζ. Ἵστασθαι.
Ὀρικὸν ζεῦγος. 434.
Ὁρισμός. 406.
*Ὀρκύνιοι. 339.
Ὁρμή. Ζ. Ὥρα.
*Ὄσκα. 333.
Ὄττα. 490.
*Οὐεργεντόριξ. 481.
*Οὐϊβούλλιος. 390.
Οὐλαμός. 393.
Οὔπω πάνυ· 503.
Οὐρανίσκος. 434.
Οὐρανομήκης. Ζ. Κλέος.
Οὐρανός. 434.
*Οὔσιπες. 480.
Οὕτως. 364, 381.
Ὀχυρὸς καὶ Ἐχυρός. 381.

Π.

*Παίονες. 378.
Παλάτιον. 335.
Πάντα συγκέχ. τῷ Ταῦτα. 343.
Παρά. Παρ' ἐλάχιστον ἐκβιασθῆναι. 401. Τὸ παρ' ἡμέραν ἄδοξον. 401.
Παραβάλλομαι. 487.
Παράβολος. 468.
Παραγγελλομένης συγκέχ. τῷ Παραγενομένης. 352.
Παράγω. 391. Παράγοντα τὸ πρὸ τῆς θύρας παρακάλλυμμα 447.
Παραδίδωμι. 330. Ζ. Λαβή. Τοῦ καιροῦ παραδόντος. 478.
Παρακαλπάζω. 406.
Παραλαμβάνω. 330.
Παραλλάττω τὸ πάθος. 489.
Παρανυκτερεύω. 338.
Παραψαύω. 338.
Παρείσακτος. 468.
Παρενείρω συγκέχ. τῷ Παρεγείρω. 339.
Παρέχω. 472.— κύκλωσιν. 418.
Παρθένιος ἀνήρ. 395.
Παριστάμενοι καθ' ἵππον. 393.
Πάροδος. Πάροδον καὶ πίστιν ἐπὶ τὰ ψευδῆ λαμβάνειν. 439. Ζ. καὶ 503.
Παρείγω. 447.
Παρόντων (ἐκ τῶν). 394.
*Πασικράτης 423.
Πεδινός. 339.
Πεινατικός 384.
*Πειραῖον. 352.
Πελάγιος ἄνεμος. 487.
Πέρα δίκης. 330.
Πέρα τοῦ κρατεῖν. 437.
Περίειμι. Περιιόντος ἐνιαυτοῦ. 346. Χρόνῳ Περιιόντι. 446.
Περιέχον (τό). 447.
Περιήκω. Περιήκοντι τῷ καιρῷ. 356.

Περιιόντος συγκέχ. τῷ Περιόντος. 347.
Περικόπτω. 366.
Περιορμίζω. 396.
Περιπετής. 389.
Περιπτυχής. 389.
Περισπᾷν τὸν πόλεμον. 489,
Περισπασθεὶς συγκέχ. τῷ Ῥιπτασθείς. 489.
Περισπειράω. 355.
Περισπαίροντες αὐτοῖς τε καὶ ἵπποις. 429.
Περιτραχήλιον. 427.
* Περπέννας. 336.
* Πετίκιος. 394.
* Πέτρων. 477.
* Πεύκη. 409.
* Πηξόδωρος. 408.
Πηχῶν [ἀντὶ τοῦ Πηχέων]. 331.
Πιεζέω. 349. Πιέζω. Πιέζεται. περὶ τὰς δύσεις τὸ φῶς. 374.
* Πίερες. 410.
* Πίγρης. 338.
* Πικεντίνη, Πικηνή, Πικηνίς. 361.
* Πίμπλα, ἢ Πίμπλεια. 411.
* Πίναρος. 418.
Πίνειν τοῦ ποταμοῦ. 394.
* Πίος. 366.
Πίπτω. Ζ. Εὐσχήμως.
** Πισάκιον. 361.
Πίστις. Ζ. Πάροδος.
* Πιτυοῦσσα. 330.
Πλαίσιον. 456.
Πλαστὰ (ἡ). 342.
Πλάστης. 343.
Πλάτη. 368.
Πληθὺς συχνή. 377.
* Πιθεινός. 394, 491.
Πολιτικαὶ ἀρχαί. 385.
Πολίχνη. 355.
* Πολύκριτος. 442.
Πολύμαχος. 458.
Πολυπραγμονεῖν οὐδὲν ἐν ταῖς Μακεδόνων διαφοραῖς. 337.
* Πομπήϊος. 359.
* Πουρφίδιος. 332.
Πράγμασι. Ζ. Γράμμασι.
Πραγμάτων. Ζ. Γραμμάτων.
* Πραίσιοι. 454.
Πρᾶξιν. Ζ. Τάξιν.
Πρόγονος. 362.
Προίσχομαι. 410.
Προλύτας. 349.
** Προμαντεύω. 462.
Προσάγειν τοῖς τετταράκοντα. 331.
Προσεχεῖς πάγοι. 415.
Προσέχω. 395.
Προσκοσμέω. 483, 499.
Προσοικοδομέω. 483.
Πρόσχημα. 415.
Προσφθονῶ. 430.
Πρόσωπα. Ζ. Ἔσκευα.
Πρότερον συγκέχ. τῷ Λυπηρότερον. 360.
Προτύπτω. 374.
Προφέρω. 337.
* Πρωτέας καὶ Πρωτεύς. 435. Ζ. καὶ Ὀνόματα.
Πταῖσμα. 355.
Πταίω. 425.
Πτερύγιον. 498.
Πτοεῖσθαι, Πτοιᾶσθαι, Πτόησις, Πτοίησις. 502.

*Πτολεμαῖος. 442.
Πύελος. 418.
*Πυθαγόρας. 461.
Πύργος. 338.
*Πωμέντιον. 496.
*Πῶρος. 453.

Ρ.

Ῥαβδομαχία. 405.
Ῥάδιον συγκέχ. τῷ Ῥᾷον. 341, 337.
*Ῥεβίλιος. 495.
Ῥευματώδης. 476.
Ῥητῇ συγκέχ. τῷ Τρίτῃ. 390.
Ῥιπτασθεὶς. Ζ. Περισπασθεὶς.
Ῥόδος. 427.
*Ῥοισάκης, 414.
Ῥύδην. 483.
** Ῥυδόν. 483.
* Ῥυτόν. 456.
*Ῥωξάνη. 444.
*Ῥώσκιος. 370.

Σ.

*Σάββας. 455.
*Σαγουντῖνοι. 335.
Σανδρόκοττος. 454.
Σαράβαρον. 440.
*Σάρδεις. 415.
Σαφῶς συγκέχ. τῷ Σοφῶς. 344.
Σεισμός. 401.
*Σεμέλη, 472.
*Σεξτίλιος. 369.
*Σερτώριος. 373.
* Σηκουανοί. [Sequani]. 482.
Σῆτες. Ζ. Τῆτες.
*Σήτιον. 496.
Σθένις. 363.
*Σιβύρτιος. 342.
*Σιλλοῦστις. 456.
*Σισιμίθρης. 451.
Σιλοδοῦρος. Ζ. Σολδούριος.
Σκαίρω. Ζ. Σπαίρω.
Σκαρίζω. 429.
Σκάρος. 429.
*Σκάρφεια. 423.
Σκευή. 468.
*Σκήνης. 398.
*Σκιπίων. 391, 490.
Σκότος. (ὁ καὶ τό). 426.
*Σκοτοῦσσα. 392.
Σκύπφος καὶ Σκύφος. 463. Σκύφος Ἡρακλέους. 463.
Σολδούριος. 333.
*Σούγαμβροι. 480.
Σπαίρω, 429, 429.
Σπαρίζω. 429.
Σπεῖρα. 389.
*Σπύκρων. 335., 366.
Σοφιστεύω. 469.
Σοφῶς. Ζ. Σαφῶς.
*Σπανία. 332.
*Σπανός. 332.
**Σπάρος. 429.
*Σπάρτακος. 373.
Σπασμένου συγκέχ. τῷ Ἀσπασμένου. 345.
*Σπιθριδάτης. 344, 414, 446.
* Σπινθήρ. 391.
*Στασικράτης. 461.
* Στάτειρα. 459.
Στέγαστρον. 349.
Στενὸς, Στενώτερος. 365. Ζ. καὶ Κενός. Ἀπὸ στενῶν. 411.
Στενωπός. 389.

Στεφανωτρὶς βίβλος. 357.
Στηλίς. 368.
Στιβάς. 347.
Στιλβότης. 451.
Στόμα (ἐπί). 360.
Στόμωμα. 428.
Στρατεία συγκέχ. τῷ Στρατηγία.
342, 341, 352, 367.
Στράτευμα. Ζ. Τραῦμα.
*Στροῖβος ἢ Στροῖβος. 448
Στυγὸς ὕδωρ. 465.
Στυλίς. 368.
Συγκλινία 373.
Συμβόλαιον. 424.
Συμβουλία. 344.
Συμμιγεῖς δρυμοί. 479.
Συμφέρομαι. 347.
Συμφύρω. 334.
Σύν. Ζ. Ἀμφιβολογία.
Συνάγω. 414.
Συναιρεῖν πόλεμον. 364.
Συνεπιῤῥῶσαι τὴν πληγήν. 502.
**Συνηρτῆσθαι Βίλγαις. 383.
Συνήεσαν συγκέχ. τῷ Συνῆσαν
393.
Συνίσταμαι. 335.
Συντρεφομένων συγκέχ. τῷ Συστρεφομένων. 342.
Συντυχία. 418.
Σύρμος. 409.
Συῤῥήγνυμι. 446.
Συσκοτάζει. 491.
Σύστασις. 347.
Συστρεφομένων Ζ. Συντρεφομένων.
Συχνός. Ζ. Πληθύς.
Σφαιροῦν ἀκόντια. 405.
**Σχαύδης. 395.
Σχέδην. 456.
Σώματα. 338, 445.
*Σωσιγένης. 496.
*Σωφηνή. 375.

Τ.

Ταινία. 421.
*Ταγώνιος. 334.
Ταλάσιος. 361.
Ταμιεῖον. 396, 389.
Τάξιν συγκέχ. τῷ Πρᾶξιν. 344.
Τάπης. 448.
Ταραχῆς. Ζ. Ἀρχῆς.
*Ταῤῥακίνη. 496.
Ταῦτα. Ζ. Πάντα.
Ταυτόν. 410.
Ταχύς. 356.
*Ταχύραι. 358.
*Τελέσας. 408.
*Τελμισσός. 403.
Τέλη (τά). 345.
*Τεντερίδαι. 430.
Τετραπυργία. 358.
Τεχνίτης. 460.
Τήβεννος. Ζ. Βίος.
*Τηρίβαζος. 352.
Τῆτες. 391.
Τραχεῖαν. Ζ. Βραχεῖαν.
Τιάρα (ἡ), Τιάρας (ὁ). 441.
*Τίγγις. 331, Τιγγίτης, ἢ Τιγγιτανός. 331.
*Τιγίνη. 331. Τιγεννίτης. 331.
*Τιγράνης. 374.
*Τιγυρῖνοι. 478.
Τίθεσθαι ἔξω τοῦ λόγου. 494.
*Τιμαία. 343.

*Τέρεως. 425.
Τοῖχος πλοίου. 381.
*Τολμίδης 349.
Τοξότης. 348.
*Τουττία. 335.
Τραγῳδῶ. 337
*Τράλλεις. 348.
Τραῦμα συγκέχ. τῷ Στράτευμα. 457.
Τράπεζαι ἐκπωμάτων μεσταί. 375.
Τραχεῖαν. Ζ. Βραχεῖαν.
*Τρεβώνιος. 499.
*Τριβαλλοί. 409.
Τρίπτης. 437.
Τρίτη. Ζ. Ρητῇ.
*Τύλλιος [Tullius]. 499.
Τύπος. Ζ. Κτύπος.
Τύραννος. Ὡς τύραννον ἐμπορεύεται. 398.
Τυφλαὶ ἀρχαί. 417.
Τυφοῦμαι. 370.

Υ

Ὕδωρ. Ζ. Στυγός.
Ὑπαντιάζω τοὺς πολεμίους. 393.
Ὑπάρχω. 472.
Ὑπεκρίπτω. 399.
Ὑπεκτίθημι. 355.
Ὑπέρημος. 370.
Ὑπέρπαχυς. 450.
Ὑποβάλλεσθαι τὴν δόξαν. 373.
Ὑποδράττομαι. 474.
Ὑποκονίομαι. 385.
Ὑπολύω. 395.
Ὑπόνομος. 471.
Ὑποπτυχὶς θώρακος. 414.
Ὑποτροπή. 427.
Ὑποτρεπιάζειν. 427.
Ὑπουράνιος. Ζ. Κλέος.
Ὑποφειδομένως. 422.

Φ

*Φαρμακοῦσσα. 469.
*Φαρνάβαζος. 345.
*Φάσηλις. 417.
*Φάϋλλος. 430.
Φαυλοτέρα στιβάς. 347.
Φειδὼ καὶ Φειδώς. 487.
Φθείρεσθαι δεῦρο κἀκεῖσε. 353.
Φθειριῶ. 450.
Φθειροτρόφος. 343.
*Φίδιος. 332.
Φιλιατρῶ. 407.
*Φίλιππος ὁ Θεαγγελεύς. 442. — ὁ χαλκιδεύς. 442.
*Φίλιστος. 408.
*Φιλόνεικος. 405.
*Φιλόξενος. 408.
*Φίλων, 442.
*Φιλώτας. 436, 445.
*Φίβος. 426.
Φοβοῦμαι. 358.
Φορέω. 374.
Φράζω [λέγω], Φράζομαι [νοῶ]. 0°.
Φύκιον. 492.
Φυλάξασθαι συγκέχ. τῷ Φράξασθαι. 339.
Φυλάξιμος συγκέχ. τῷ Φύξιμος. 396
Φύρδην. 413.
Φωρῶ. 345, 438. Φωρῶμαι. 438.

Χ.

*Χαλαίστρα, Χαλάστρα, Χαλέστρη (ἡ), Χάλεστρον (τό). 445.

Χαλινώσας συγκέχ. τῷ Γαληνώσας. 480.
Χαμάζε. 346.
*Χαρακιτανοί. 334.
*Χάρης: 442.
*Χαρίδημος. 329.
Χαρίεις. 420.
Χείρ. Ζ. Ἔρχεσθαι.
Χηγάν. 459.
Χιλός. 492.
Χιλοῦσθαι, ἢ Χιλεύεσθαι. 492.
Χλούνης. 352.
**Χλουνός. 352.
Χορεὶ ἐγκύκλιοι. 423.
*Χορτάνος. 444.
Χρηματισμός. 383.
Χρῆσθαι χαρᾷ. 379.—ἄγαν τῇ τύχῃ. 377.
Χρήσιμος γεγονώς. 346.
Χρῆσται. 352.
Χρόνος. Χρόνος ὀφειλόμενος νεμέσει. 425.-Πρὸς χρόνον. 489.-Ζ. Περίειμι.
Χρυσοῦς. 337.
Χώρα. 481.
Χωρίον. 376, 481.
Χωρῶ. 387, 481.

Ψ.

Ψυχρία. 404.

Ω.

Ω (εἰς) λήγοντα θηλυκά. 487.
Ὥρα συγκέχ. τῷ Ὀρμή. 357.
*Ὥρικον. 390, 486.
*Ὠρομάσδης. 423.
*Ὦχρος. [Pallor]. 426.

## ΠΙΝΑΞ ΛΕΞΕΩΝ ΤΗΣ ΣΗΜΕΡΙΝΗΣ ΓΛΩΣΣΗΣ.

ΑΒ — ΑΡ.

Ἀβρυα. Ζ. Βρύον.
Ἁγιασμὸς, Ἅγιος, Ἁγιότης. κδ', κέ.
Ἀγριάδα. 493.
Ἀλλαξία, ἢ Ἀλλαγὴ φορεμάτων. 384, 384.
Ἀλλάσσω. Τοῦτο ἀλλάσσει. λζ'. Ἤλλαξε τὰ φορέματα. 384.
Ἀμανίτης. 493.
Ἂν (μεθ' ὁριστικοῦ παρῳχημένου). 402.
Ἀναγελῶ. 461.
Ἀνέγγικτος. 355.
Ἄνεμος. Νά σ' ἐπάρῃ ὁ ἄνεμος! 373.
Ἀνύποπτα, καὶ Ἀνυπόπτευτα. 418.
Ἀποστηθίζω. 350.
Ἀποσυνειθίζω. 437.
Ἀρετή. λς'.
Ἀρμονία. λς'.

Ἀσβέστης. 334.
Ἀτσάλιον [Acciajo]. 428,
* Ἀττάλεια. 396.
Ἄχνη. 334.

Β.

Βάλτος. 476.
Βαρύνω, Ἐβάρυνεν ὁ ἄῤῥωστος. — ἡ ἀῤῥωστία. 464.
Βασιλέας. Ζ. Ὀνόματα.
Βάλλω εἰς τάξιν. 386.
* Βούλγαροι. 409.
Βούλλα. 333.
Βουλλόνω. 333.
Βουλωτήριον. 333.
Βρύον. 492.
Βῶλος. 421.

Γ.

Γαϊτάνιον, ἢ Γατάνιον. 421.
Γαργαλίδες, ἢ Γαργαλῶνες. 455.
Γελῶ. 461.
Γνώμη. 412, 412.
Γνῶσις. 412.

Δ.

Δαβλός, ἢ Δαυλός. 420.
Δάνειον, ἢ Δανικόν. Δανικὰ καὶ ἀγύριστα. 388.
Δαυκίον, ἢ Λαυκίον. 488.
Δαυλός. Ζ. Δαβλός.
Διαδίδω. Ἐδιαδόθη λόγος. 422.
Δίδομαι. Ἐδόθη εἰς τὸν οἶνον. — εἰς τὸ παιγνίδιον. — εἰς τὰς ἡδονάς. 434.
Δίδω λαβήν. 366.
Δίκαιον. κή.

Ε.

Ἐκπίπτω. Ζ. Πίπτω.
Ἐκραθυμῶ. Ζ. Εὐθυμῶ.
Ἐκστηθίζω. 350.
Ἐκσυνειθίζω. 437.
Ἐκτελεύω. 403.
Ἐκφεύγω. Μ' ἐξέφυγεν ἢ Μοῦ ἐξέφυγεν ὁ λόγος. 382.
Ἐνοχλῶ. 356.
Ἐξάκουστος, ἢ Ἐξακουσμένος. 398.
Ἐξανακύλισμα, καὶ Ἐξανακύλημα. 427.
Ἐξόδιον. 464.
Ἐξυπελύομαι. 395.
Ἐπεύχιον, ἢ Πεύκιον. 447.
Ἐπιστατῶ, καὶ Ἐπιστατεύω. 444.
Ἐπιστάτης. 444.
Ἐπίστομα. 360.
Ἔρχομαι. Ἦλθαν εἰς τὰ χέρια. 384.
Εὐθυμῶ, ἢ Ἐκραθυμῶ. 453.
Εὑρισκόμενα (ἀπὸ τά). 395.
Ἐφέτος. 391.

Ζ.

Ζαλίζομαι. 370.
Ζυγὴ φορεμάτων. 385.

Η.

Ἦλθαν εἰς τὰ χέρια. Ζ. Ἔρχομαι.

Θ.

Θαῦμα, Θαυμάσιον, Θαυμαστὶν, Θαυμασμός. κγ'.

Ι.

Ἰατροσόφιον 469.
Ἰατροσοφιστής. 469.
Ἰσάζω. λ'.
Ἰσασμός. λ'.

Κ.

Κάθηται, ἢ Κάθεται καὶ μὲ κακολογεῖ. 419.
Καιρός. Ὁ καιρὸς εἶναι διδάσκαλος. 444. ὅταν ὁ καιρὸς τὸ καλέσῃ. 478.
Κακολογῶ. 487. Ζ. καὶ Κάθηται.
* Καλά· Τοὺς ἐφιλοδώρησε καλά. Καλὰ μὲ τὸ εἶπες, ἢ Καλὰ μὲ τὸ ἐνθύμισες. Καλά! ἀλλὰ διὰ τί κ. τ. λ. 386. Καλὰ θέλεις πάθειν. 387.
Καλλαῖον ἢ Καλλάγιον. 473.
Καλὸν κατευόδιον. 358, 359.
Καράβιον. 378.
Καραβίς. 378.
Καρτερῶ. 355.
Κάστρον. 376.
Καταπονῶ. 437.
Καταχόνω. 362.
Καταχωννιάζω. 362.
Κατεντροπιάζω. 410
Κατευόδιον. Ζ. Καλόν.
Κέντουκλα [centunculi]. 427.
Κετσίδες. 427.
Κλίνω εἰς τὴν γνώμην σου. 495.
Κονάκιον. 330.
Κόπτω. Ζ. Μή.
Κορδέλλα. 421.
Κουνάδιον, ἢ Κουνέλιον. 471.
Κούνια [Ἰταλ. Cuna]. 404.
Κυνήγιον. 438.

Λ.

Λαβή. Ζ. Δίδω·
Λαγούμιον. 471.
Λανάρα. 446
Λαναρίζω. 446.
Λανάριος. 446.
Λαναριστής. 446.
Λαυκίον. Ζ. Δαυκίον.
Λέγω εἰς τὸν ἑαυτόν μου. — μὲ τὸν ἑαυτόν μου. — εἰς τὸν νοῦν μου. — μέσα μου· θ'.
Λείπω. Ζ. Ὀλίγον,
Λιχνίζω. 404.

Μ.

Μαστάριον. 455.
Μελιτερίδιον 406.
Μέλω. Ζ. Μή.
Πέσην (τὸν ἔσχισαν εἰς τήν) 501.
Μή. Μή σε μέλλει. Μή σε κόπτει. 371.
Μούσκλα ἢ Μοῦσκλον. 492.
Μούχλα. 493.

Μπερτές. 447.
Μυαλὰ (τὰ), Μυαλὸς (ὁ). 486.

Ν.

Ν, κακῶς προστιθέμενον κατ' ἀρχάς. 329.
Νικόλας. 461, 465.
*Νίος. 329.

Ξ.

Ξαίνω. 446.
Ξεκόπτω. 374.
Ξεπίπτω, ἢ Ξεπέφτω. Ζ. Πίπτω.
Ξεραθυμῶ. Ζ. Εὐθυμῶ.
Ξεστηθίζω. Ζ. Ἐκστηθίζω.
Ξεσυνειθίζω. Ζ. Ἐκσυνειθίζω.
Ξετελεύω. Ζ. Ἐκτελεύω.
Ξεφεύγω. Ζ. Ἐκφεύγω.
Ξεροπήγαδον. 413.

Ο.

Ὀλίγον ἔλειψε νὰ ἀφανισθῇ. 485.
Ὀνόματα εἰς εας. 435.
Οὐρανίσκος. 434.
Οὐρανός. 434.

Π.

**Παραδέρνω. 430.
Παρανυκτερεύω. 338.
Περιγελῶ. 461.
Πετραχήλιον. 427.
Πεύκιον. Ζ. Ἐπεύχιον.
Πηλὸς (ὁ), Πηλὰ (τὰ). 486.
Πιάνω. 395.
Πίπτω. Ἔπεσε, ἢ Ἐξέπεσεν ἤ τι μὴ τινὸς πράγματος. 370. Ἔπεσες ἀπὸ τὸν νοῦν, ἢ ἀπὸ τὰ μυαλά σου. 486.
Πλῆθος (πολύ). 377.
Πολεμῶ νὰ κ. τ. λ. 503.
*Πορτογαλία, ἢ Πορτοκαλία. 473.
Πορτογάλιον, ἢ Πορτοκάλιον. 473.
Πρόβοδον. 358.
Προγονὴ (ἡ), Προγόνιον (τὸ), Προγονὸς (ὁ). 362.
Προευοδῶ, ἢ Προευοδίζω. 358.
Προξενῶ. 419.
Πταίω. 425.
Πύργος. 338.

Ρ.

Ριψοκινδυνεύω. 487.

Σ.

Σάκα (ἡ). 406.
Σακτόν. 406.
Σακτῶ. 406.
Σαλβάριον. 441.
Σαξύριον ἢ Τσαξύριον. 441.
Σκάρος. 429.
Σκληβόνω. Ζ. Στιλβόνω.
Σκοτεινιάζει. 491.
Σκοτίζομαι. 370.
Σπαράσσω, ἢ Σπαράζω. 430.
Ἐσπάραξεν ἡ καρδία μου. 429.
Σπαρνῶ. 429.
**Σπάρος. 429.

Σπαρταρῶ καὶ Σπαρταρίζω. 429.
Στενός. 411.
Στέρευμα. 413.
Στερεύω. Ἐστέρευσεν ἡ βρύσις. — τὸ πηγάδιον. 413.
Στιλβόνω. 451.
Στοίχημα. 406.
Συντυγχάνω, καὶ Συντυχαίνω 410.
Σχίζω. Ζ. Μέσην.

Τ.

Τετράδιον, Τέτραδον. ιή.
Τραγῳδιστής. 337.
Τραγῳδῶ καὶ Τραγουδῶ. 337.
Τρίπτης [ὁ τρίβων εἰς τὸ λουτρόν]. 437. Τρίπτης [τὸ ὄργανον τῆς τρίψεως] 437.
Τσαξύριον. Ζ. Σαξύριον.
Τσευδός. 395.
Τσιντιόνιον. 441.

Φ.

*Φαρμάκο. 469.
Φίλδα [Λατιν. Fibula], ἡ Φιούμπα [Ἰταλ. Fibbia]. 428.
**Φιλοδωρῶ. 386.
Φιούμπα. Ζ. Φίλδα.
Φόρεμα. 374.
Φορεσία. 374.
Φύκιον. 492.
Φυραίνω. 413.
Φύρασμα. 413.
Φυροπήγαδον. 413.
Φύρω, ἢ Φύρνω. Φυρμένος. 413.

Χ.

Χάσμα. 430.
Χλωμός. 352.
Χορταίνω. Ἐχόρτασαν νὰ τὸν βλέπωσι. 399.
Χρησιμεύω. 346.
Χυμίζω. 381.
Χύνομαι. 381.
Χωρατεύω. 376.
Χωριανός. 376.
Χωριάτης. 376.
Χωρικός. 376.
Χωρίον. 376.
Χωρῶ. Δὲν τοὺς ἐχώρει κανένας τόπος. Δὲν τὸν χωροῦν τὰ φορέματά του. 387. Τὸ σταμνίον χωρεῖ ἑπτὰ βωκάλια. 387.

## ΟΙ ΔΙΟΡΘΩΘΕΝΤΕΣ, ΕΞΗΓΗΘΕΝΤΕΣ, Η ΟΠΩΣΟΥΝ ΚΡΙΘΕΝΤΕΣ ΠΟΙΗΤΑΙ ΚΑΙ ΣΥΓΓΡΑΦΕΙΣ.

Αἰσχύλος. 403.
Ἀῤῥιανός. 452.
Διόδωρος ὁ Σικελιώτης. 474, 475.
Διονύσιος ὁ Ἁλικαρνασσεύς. 416.
Δουκάγγιος. 358.
Ἑβδομήκοντα (οἱ). 384, 385.
Ἐτυμολόγος. 378.
Εὐριπίδης. 500.
Ἡσύχιος. 348, 361, 310, 413, (δίς), 430, 434, 438 (δίς), 439, 477, 479, 483, 502.
Λουκιανός. 467.
Μεταφραστὴς τῶν Ἀπομνημονευμάτων Καίσαρος. 478.
Ὅμηρος. 466.
Παυσανίας. 430.
Πλάτων. 502.
Πολύαινος. 478.
Στράβων. 416, 426 (δίς), 442, 479, 483, 498.
Σουΐδας. 416.
Σχολιαστὴς Θουκυδίδου. 466.
Φώτιος. 410, 418, 456.

ΤΕΛΟΣ.

ΛΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ «ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ» ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

ΛΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ"
ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

Ξ Κ